Digitized by Google

ὡραιότατον[19]· εἰκότως οὖν Δάφνη τὴν ἰδέαν προήνεγκε[20] πρώτη τῶν ἄλλων γενομένη τῆς γῆς.

Ἐκ τοῦ πιθανοῦ. Διαφερούσης δὲ Δάφνης τὴν ὄψιν, ἠράσθη τῆς παιδὸς ὁ Πύθιος, καὶ μάλα εἰκότως· παῖς[21] γὰρ εἴ τι καλὸν ἐν γῇ πολιτεύεται, προῆλθε θεῶν· εἰ δὲ τῶν ἐπὶ γῆς ἀγαθῶν τὸ κάλλος εὐδαιμονέστερον[22], οἷς τὸ κάλλος δωρεὰ τῶν θεῶν, ἐραστὴν εἶχε τὸ κάλλος θεόν· ἃ γὰρ οἱ θεοὶ δροῦνται, στέργουσιν ἅπαντες.

Ἐκ τοῦ δυνατοῦ. Ἐρῶν δὲ ὁ θεὸς προῃρεῖτο τὸ πάθος ἰάσασθαι. Τοιαῦται[23] γὰρ αἱ ἀρεταὶ, πρὸς βίαν ἔχουσι κτώμεναι, καὶ πόνων χωρὶς ἀρετὴν οὐχ ὑπάρχει λαβεῖν· ὅθεν ἐπόνει ποθῶν, καὶ ποθῶν[24] οὐ κατείληφε. Πέρας γὰρ οὐκ ἔστιν ἀρετῆς κατιδεῖν· ὅθεν ἐρᾷν τὸν Πύθιον λέγουσιν, οὐ τὴν[25] φύσιν τῶν θεῶν ἐξελέγχοντες, ἀλλὰ τῆς ἀρετῆς τὴν φύσιν δηλοῦντες ἐπαίτιον· καὶ χαρακτηρίζει τὸ διῶκον τὸ διωκόμενον.

Ἐκ τοῦ ἀκολούθου. Φευγούσης δὲ τῆς παιδὸς, ἡ μήτηρ ἐδέχετο· τὰ γὰρ θνητὰ πάντα τοιᾶσδε γέγονε φύσεως· ἀφ' ὧν προῆλθον, ἐπὶ ταῦτα[26] ἐπείγονται. διὸ χωρεῖ Δάφνη πρὸς γῆν, τῆς γῆς προελθοῦσα.

τος. 19 Vind. Mon. 2. ὡραιότερον. pro πάντων Vind. ἄλλων. 20 Mon. 1. προδιήνεγκε. 21 Port. παῖς. Codd. et Ald. Junt. πᾶν. cfr. Bast comment. palaeogr. p. 726. tum Mon. 1. μὲν γάρ. 22 Vide Menandrum et Melanconium apud Stobaeum serm. 63. itemque dissertationem eruditionis profundissimae de pulchro Socratis, viri summi, Danielis Heinsii. Scheff. 23 Parr. 1983. et 2977. et Marg. exempl. Par. τοιαῦται. Ald. Junt. Port. et Codd. Monn. et Vind. τοιαῦτα. Hinc aestimandum, quod dicit Koen. ad Gregor. Cor. p. 105. ed. Schaef.: „MSS. et editt. omnes magno consensu hic praebent τοιαῦται." locum ipsum sic explicat Bastius l. l. τοιαῦται γάρ (εἰσιν) αἱ ἀρεταὶ, πρὸς βίαν (βιαίως) κτώμεναι (passive) ἔχουσιν (ὑπὸ τῶν ἀρετὴν ἐχόντων). 24 in Mon. 1. superscriptum est: γρ. πονῶν, ut Koen. scripsit ad Gregor. Cor. p. 105. ed. Schaef. 25

Ἐκ τοῦ πρέποντος. Καὶ δεξαμένη τὴν κόρην ἡ γῆ, φυτὸν ἀνέδωκεν. ἄμφω γὰρ ἔργα καθέστηκε[27] γῆς, καὶ παρὰ ταύτην[28] οἱ ἄνθρωποι πίπτοντες, καὶ δένδρα παρ' ἐκείνης φυόμενα.

Ἐκ τοῦ συμφέροντος. Καὶ φανὲν τὸ φυτὸν Ἀπόλλωνι τιμῆς γέγονεν αἴτιον· θεοὶ γὰρ ἔξωθεν[29] τῆς ἑαυτῶν προνοίας[30] οὐδὲ τὰ φυτὰ καταλείπουσιν· ἀλλὰ καὶ στεφανοῦνται γινόμενα· ἀπαρχαὶ γὰρ γῆς θεοῖς ἀνατίθενται, καὶ μαντικῆς γέγονε σύμβολον, προσῆκον οἶμαι καὶ τοῦτο· τὴν τε γὰρ κόρην[31] σωφροσύνην[32] ὀνομάζουσιν, καὶ τὸ χρησμῳδεῖν σωφροσύνης[33] προέρχεται. Οἷς τοίνυν ἠγνόησεν ἡ παῖς[34] ἡδονὴν, ἀρεταῖς ἀνατίθεται, οὐ γὰρ ἦν ἰδεῖν τὸ μέλλον ἀκρασίαν νοσήσασαν[35]. Ἐπὶ τούτοις θαυμάζω τοὺς ποιητὰς, καὶ διὰ τοῦτο τὸ μέτρον τιμῶ.

Cap. VII.

Ὅρος[1] κοινοῦ τόπου.

Κοινός ἐστι τόπος λόγος αὐξητικὸς τῶν προσόντων τινὶ[2] κακῶν· εἴρηται δὲ οὕτως ἀπὸ τοῦ κοινῇ πᾶσιν ἁρμό-

---

οὐ γῆν Vind. om. 26 ἐπὶ ταῦτα Vind. om. 27 Par. καθέστηκε. Edd. Monn. Vind. καθέστηκεν. 28 οἱ Par. Vind. om. 29 in Mon. 1. superscriptum: γρ. ἔξω. 30 Ald. Junt. προνείας. 31 Ald. Junt. κόρον. 32 Codd. et edd. σωφρόνην. Port. ad marg. γρ. σωφροσύνην. Par. σωφρο νην. eraso συ. 33 Edd. σωφρόνης. Port. ad marg. γρ. σωφροσύνης, ut est in Vind. Mon. 1. — in Par. Mon. 2. σωφροσύνῃ. 34 Vind. ἡ παῖς ἠγνόησεν. 35 Par. Monn. νοσήσαντα. Vind. νοσήσασαν. Doxop. in Homil. τινὰ τῶν βιβλίων νοσήσασαν ἔχει, τινὰ δὲ νοσήσαντα, ἀλλὰ κρείττων ἡ πρώτη γραφή. καὶ διὰ τοῦτο τὸ μέτρον τιμῶ· μέτρον λέγει τὰ τῶν ποιητῶν ποιήματα, ἔμμετρα γάρ εἰσιν.

1 Vind. περί. 2 τινὶ Mon. 2. om. Sequitur in edd. et

ἁρμόττειν τοῖς μετασχοῦσι[3] τοῦ αὐτοῦ πράγματος· ὁ γὰρ κατὰ προδότου λόγος κοινῇ πᾶσιν ἥρμοσε τοῖς κοινωνοῦσι[4] τῆς πράξεως. Δευτερολογίᾳ δὲ ἔοικε καὶ ἐπιλόγῳ, διὸ προοίμιον μὲν ὁ κοινὸς τόπος οὐκ ἔχει, προοιμίων δὲ πλαττόμεθα τύπον γυμνασίας[5] ἕνεκα τῆς πρὸς τοὺς νέους, μεθ' ἃ θήσεις κεφάλαια[6], πρῶτον ἐκ τοῦ ἐναντίου, εἶτα ἐποίσεις[7] τὴν ἔκθεσιν, οὐχ ὡς διδάσκων, ἔγνωσται γὰρ, ἀλλ' ὡς παροξύνων τὸν ἀκροώμενον, μεθ' ἣν ἐποίσεις τὴν σύγκρισιν, ἐκ παραθέσεως συνάγων τῷ κατηγορουμένῳ τὸ μεῖζον, εἶτα γνώμην, κεφάλαιον οὕτω καλούμενον[8], διαβάλλων τὴν τοῦ πράξαντος[9] διάνοιαν, εἶτα παρέκβασιν, στοχαστικῶς κακίζων τὸν φθάσαντα βίον, ἔπειτα ἐλέου[10] ἐκβολὴν, καὶ τελευταῖα τοῦ προγυμνάσματος τὰ τελικὰ κεφάλαια, νόμιμον[11], δίκαιον, συμφέρον, δυνατὸν, ἔνδοξον, ἐκβησόμενον.

Par. Mon. 1. 2. καλῶν ἢ κακῶν. Vind. καλῶν ἢ om. cf. Schol. Ald. ad cap. περὶ ψόγου. Ἔοικεν ὁ Ἀφθόνιος τὸν ὑπέρ τινος κοινὸν τόπον μὴ εἰδέναι, ἐπειδήπερ ἐν μὲν τῷ ἐγκωμίῳ διαφορὰν κοινοῦ τόπου καὶ ἐγκωμίου οὐκ εἰσήνεγκεν, ἐν δὲ τῷ ψόγῳ εἰσήνεγκε· τὸ γὰρ ἐν τῷ ὅρῳ τοῦ κοινοῦ τόπου προσκείμενον „ἢ καλῶν" οὐχὶ τοῦ Ἀφθονίου φασὶν εἶναι, ἀλλ' ἑτέρου· καὶ γὰρ καὶ οὐδαμοῦ ἐν τῇ τοῦ κοινοῦ τόπου διδασκαλίᾳ τοῦ ὑπέρ τινος κοινοῦ τόπου ἐμνημόνευσε, διόλου δὲ τοῦ κατά τινος. 3 Ald. Junt. Monn. Vind. μετασχοῦσιν. Par. μετασχοῦσι. 4 Vind. μετασχοῦσι τοῦ πράγματος. 5 Vind. γυμνασίου. 6 Par. κεφάλαιον. 7 Mon. 1. εἶτα ἐποίσεις [supra lin. ἐπάξεις] τὴν ἀπαγγελίαν καὶ πίστιν. 8 Quod addit, ne quis putet agi hic de γνώμῃ progymnasmate, quo de supra egerat. Notandum autem, esse inter τὰ κεφάλαια, id est partes tractationis, quae vocatur γνώμη. Scheff. 9 Doxopát. ὁ μὲν ἐξηγητὴς τὴν τοῦ πράγματος διάνοιαν ἀνέγνω, καί φησιν, ὅτι πρᾶγμα λέγει ὁ Ἀφθόνιος αὐτὸ τὸ ὑποκείμενον, καθ' οὗ τὸν λόγον ποιούμεθα, τυραννίδα, μοιχείαν, τὸ λιπεῖν τὴν τάξιν· τῶν δὲ βιβλίων τὰ πλείω τὴν τοῦ πράξαντος διάνοιαν ἔχει, καὶ ἔστιν κρείττων ἡ τοιαύτη γραφή. 10 Mon. 2. ἐλαίου. 11 Vind.

Digitized by Google

Κοινὸς τόπος κατὰ τυράννου.

Προοίμιον ά. Ὡς[12] ἑστήκασι νόμοι καὶ δικαστήρια παρ' ἡμῖν πολιτεύεται, νόμοις ὑπεχέτω τὴν κόλασιν, ὁ μηκέτ' εἶναι τοὺς νόμους ποιῶν. Εἰ μὲν[13] γὰρ ἔμελλε τὴν παροῦσαν δίκην διαφυγὼν, δημοτικώτερος[14] ἔσεσθαι, τυχὸν ἄν τις αὐτὸν ἀφῆκε τῆς δίκης· ἐπειδὴ δὲ τὸ παρὸν ἐκφυγὼν, βιαιότερος[15] ἔσται, ποῦ δίκαιον τυραννίδος ἀρχὴν τὴν τοῦ παρόντος καταστῆναι συγγνώμην;

Προοίμιον β'. Οἱ μὲν οὖν ἄλλοι πάντες ὅσοι τὸ δικάζειν εἰλήχασιν, οὐδέν τι βλάβος[16] ἐκ τῆς τῶν κρινομένων ἀφέσεως κέκτηνται· τυραννίδος δὲ ἄφεσις ἐπὶ τοὺς δικάζοντας ἐποίσει τὴν βλάβην· οὐδὲ γὰρ τὸ δικάζειν ἔτι καταλιμπάνεται τυράννου κρατήσαντος.

Ἐκ τοῦ ἐναντίου. Δοκεῖτε δέ μοι μᾶλλον περὶ τῆς τοῦ παρόντος διανοίας σκοπεῖν ἀκριβέστερον, εἰ τὰς τῶν προγόνων λογιεῖσθε[17] γνώμας. ἡμῖν γὰρ[18] ὥσπερ καλῶς ποιοῦντες οἱ πρόγονοι πολιτείαν εὗρον δυναστείας ἀπηλλαγμένην· καὶ μάλα δικαίως[19]· ἐπειδὴ γὰρ ἄλλοτε ἄλλαι τοῖς ἀνθρώποις τύχαι[20] προσπίπτουσι, καὶ μεταποιοῦσι τὰς[21] τῶν ἀνθρώπων γνώμας, ἐπανορθούμενοι

νομίμῳ, δικαίῳ, συμφέροντι, δυνατῷ, ἐνδόξῳ, τῷ ἐκβησομένῳ. 12 Varie se torquent interpretes in reddenda hac periodo. Ego ita verterim: Ut permaneant leges, et judicia apud nos exerceantur, secundum leges poenas subeat, quisquis hoc agit, ut ne leges existant. Scheff. ὡς = ἕως. 13 μὲν Vind. Mon. 1. om. in Mon. 1. supra lineam positum est. Scheff.: „Post ἔμελλε vellem comma scribi, ut oratio fieret evidentior.“ 14 Opponitur sequenti βιαιότερος. Itaque modestiorem reddere, quam populariorem, aut aequabiliorem, quod fit ab aliis, mallem. Scheff. 15 In Mon. 1. supra lineam: τυραννικώτερος. Vind. βεβαιότερος. vide ep. crit. p. 53. 16 Mon. 2. βλάβης. 17 Par. Mon. 2, λογίσοισθε. 18 γὰρ recepi ex Mon. 1. tum Par. οἱ πρόγονοι ὥσπερ καλ. ποιοῦντες. 19 Mon. 1. εἰκότως. 20 Vind. εὐχαῖς. 21 Par. Vind. τῶν ἀνθρ. τὰς

Digitized by Google

τὸ τῆς τύχης ἀνώμαλον τῇ τῶν νόμων ἰσότητι, νόμους ἐξεῦρον, μίαν πᾶσιν ἐξ αὐτῶν ἐργαζόμενοι[22] γνώμην· καὶ τοῦτο ταῖς πόλεσι γίνεται νόμος, ἐπανόρθωμα[23] κακῶν, ὧν αἱ τύχαι ποιοῦσιν.

Ἔκθεσις. Ὧν οὗτος οὐδὲν ἐνθυμούμενος, βεβούλευταί τι βούλευμα κάκιστον, τὸν τῆς πολιτείας μεταθεῖναι θεσμόν· καὶ τοιαῦτα πρὸς ἑαυτὸν[24] διελέγετο, τί ταῦτα θεοί; παρὰ[25] τοὺς πολλοὺς ὀφθεὶς ἴσον καθάπαξ τοῖς ἄλλοις ἔχων[26] ἀνέξομαι; καὶ μάτην[27] ἐῶ τὴν τύχην φιλοτιμεῖσθαι τὸν πλοῦτον, εἰ ταὐτὰ τοῖς πολλοῖς ὑποστήσομαι; καὶ συνίοντες κρινοῦσί με[28] πένητες; καὶ τὸ δοκοῦν τοῖς πολλοῖς νόμος προῆλθεν ἐμοί; τίς οὖν ἔσται τούτων ἀπαλλαγή; καταλήψομαι τὴν ἀκρόπολιν, καὶ τοὺς κάκιστα ἀπολουμένους ἐκποδὼν καταστήσομαι νόμους· καὶ οὕτω[29] νόμος ἔσομαι τοῖς πολλοῖς, οὐχ[30] οἱ πλείους ἐμοί· ταῦτα πρὸς ἑαυτὸν διεξήρχετο, οὐκ ἐπιθεὶς τὸ πέρας· θεῶν γὰρ κατεκώλυσεν[31] εὔνοια. μὴ οὖν δι' ὧν[32] χάριν τοῖς θεοῖς ἐποφείλομεν, ταῦτα τουτονὶ[33] διασώσειε[34] τήμερον.

Σύγκρισις. Δεινὸν ὁ φονεύς, ἀλλ' ὁ[35] τύραν-

γνώμας. 22 Ald. ἐργαζόμοι. Vind. ποριζόμενοι, supra lineam manus secunda ἢ ἐργαζόμενοι. 23 Ald. Junt. ἐπανώρθομα. 24 Vind. αὐτόν. 25 Mon. 1. ὑπέρ. 26 Par. ἔχων τοῖς ἄλλοις. 27 Vertunt et haec, ut ipsi sua vix intellexisse videantur. Puto hoc velle dicere: frustra Fortunam permitto ambire divitias. An, inquit, hoc concedam, ut fortuna, quae me ambit, propter divitias meas, omniaque offert, quae donare potest, frustra sit, nec a me exaudiatur vel admittatur? Quod est longe elegantissimum et cum sententiae fundamento prolatum, cujus nihil cernitur in interpretatione vulgari. Scheff. 28 με ex Vind. recepi: abest ab edd. et ceteris codd. 29 Par. οὕτως. 30 Mon. 2. οὐχὶ πλ. 31 Port. διεκώλυσεν. 32 Vind. τὴν χάριν. 33 Par. τοῦτον καί. 34 Vind. διασώσειεν.

νος μεῖζον καθίσταται· ὁ μὲν γὰρ εἰς ἕνα[36] παρατυχόντα μιαιφονεῖ· ὁ δὲ ὅλας μεταβάλλει τὰς τῆς πόλεως τύχας. ὅσῳ τοίνυν τὸ λυπεῖν ἐν βραχεῖ τοῦ πάντας μιαιφονεῖν ὑπάρχει καταδεέστερον, τοσούτῳ[37] ἀνδροφόνου[38] τύραννος φαυλότερον.

Γνώμη. Ἕπεται τοῖς ἄλλοις ἅπασιν[39] ἀνθρώποις, κἂν τὰ[40] δεινότατα πράξωσι, τὴν γνώμην γοῦν[41] ἐξελέσθαι τῆς πράξεως, μόνος δὲ ὁ[42] τύραννος ἀκούσιον[43] εἰπεῖν οὐκ ἔχει τὴν τόλμαν· εἰ μὲν γὰρ ἄκων ἐνεχείρει τῷ τυραννεῖν, τυχὸν ἄν τις αὐτὸν ἀφῆκε τῆς γνώμης· ἐπεὶ[44] δὲ βεβουλευμένος[45] ἔδρασε, ποῦ δίκαιον αἰτίας ὑπεξελεῖν[46] τὸν[47] πρὸ τῶν ἔργων τῇ γνώμῃ γενόμενον;

Παρέκβασις. Οἱ μὲν οὖν ἄλλοι πάντες ἄνθρω-

---

35 Par. ἀλλὰ τύρ. 36 Mon. 1. τὸν παρατ. 37 Par. τοσούτω. Vind. Mon. 1. τοσοῦτον. 38 Ald. Junt. Monn. Vind. ἀνδροφόνος τυράννου. Port. Par. ἀνδροφόνου τύραννος. 39 ἅπασιν Vind. om. Saepe excidit Aristid. τέχν. p. 462. καὶ διεξιὼν ἡλίκα τὴν Ἑλλάδα πᾶσαν ἀδικοῦσιν. Par. πᾶσαν om. Apsin. p. 690. προκαθιστάμεθα δὲ ἐν τοῖς ζητήμασιν ἢ ἐκ διανοίας ἐξετάσεως. Par. post ζητήμ. addit πᾶσιν. Vit. Josephi c. 4. ἀλλὰ καὶ κατ' εὐτυχίαν ἐλαττοῦνται. Par. 1423. ἅπαντες ἑλ. c. 9. καταλυθῆναι δὲ παρ' αὐτοῖς τήν τε βασιλικὴν τράπεζαν καὶ τὰ ἀρχαῖα. Par. 1423. addit πάντα. 40 τὰ Vind. om. 41 Men. 1. οὖν. 42 ὁ Par. Mon. 2. Vind. om. 43 Edd. Par. εἰπεῖν οὐκ ἔχει [Par. ἔσχε] τὴν τόλμαν ἀκούσιον. Monn. Vind. ἀκούσιον ἐ. οὐκ ἔσχε [in Mon. 1. superscriptum ἔχει] τὴν τόλμ. 44 Mon. 1. ἐπειδὴ δὲ. 45 Ald. Junt. Monn. Vind. βεβουλευμένως. 46 Port. ὑπεξελθεῖν. ad marg. γρ. ὑπεξελεῖν, ut legitur in Ald. Junt. et in codd. Scheff.: „Fr. Portus conjiciebat ὑπεξελεῖν. Ego nihil censeo mutandum.“ Lectio ὑπεξελθεῖν orta ex absentia genitivi αἰτίας, quem recepi ex Mon. 1. 47 Par. τὸ eraso ν. Vind. Mon. 1. τὸ — γινόμενον. Scheff.: „Puta τύραννον, quod intelligendum est. Interpres denuo aliud egisse videtur“. 48 Par. ὑμῖν.

Digitized by Google

ποι παρ᾽ ἡμῖν[48] οἱ κρινόμενοι τὸ παρὸν μόνον ὑπεύθυνον ἔχουσι, διὰ δὲ τὸ φθάσαν πολλάκις[49] ἀφίενται· μόνας δὲ ὁ παρὼν ἐπ᾽[50] ἀμφοτέρῳ κρίνεται βίῳ· τό τε γὰρ φθάσαν ἐπὶ μετρίοις[51] οὐκ ἤγαγε, καὶ τὸ παρὸν τῶν γεγενημένων ἐστὶ χαλεπώτερον· ὥστε ἀμφοτέρων ὑπεχέτω τὴν δίκην, ὧν τε πρότερον, καὶ ὧν μετ᾽ ἐκεῖνα[52] λελύπηκε[53].

Ἐλέου ἐκβολή. Τίνες οὖν αὐτὸν ἐξαιτούμενοι λύσονται; νὴ Δία παῖδες; ἀλλ᾽ ὁπότ᾽[54] ἂν ὀδύρωνται, τότε παρεστάναι τοὺς νόμους νομίσατε· οἷς πολλῷ δήπου δικαιότερον[55] ἢ τοῖς τούτου παισὶ τὴν ψῆφον ἐπενεγκεῖν· διὰ μὲν γὰρ[56] τοὺς τούτου παῖδας ἡ[57] τυραννὶς βεβαιωθήσεται[58], διὰ δὲ τοὺς νόμους τὸ δικάζειν ὑμεῖς[59] παρειλήφατε· ὥστε δι᾽ οὓς ὑμεῖς δικασταὶ καθεστήκατε, τούτοις ἐστὲ δικαιότεροι τὴν ψῆφον ἐπενεγκεῖν.

Νόμιμον. Καί τοι[60] εἰ νόμος, τοὺς ἐλευθεροῦντας τὴν πατρίδα τιμᾶν, τοὺς καταδουλουμένους[61] κολάζεσθαι λείπεται.

Δίκαιον. Δίκαιον δὲ τοσαύτην ἐν ἡμῖν[62] ὑποστῆναι τὴν δίκην, ὁπόσην αὐτὸς κατειργάσατο.

Ξυμφέρον. Ἀυσιτελήσει δὲ πεσὼν τύραννος· ἑστάναι γὰρ παρασκευάσει τοὺς νόμους.

Δυνατόν. Ῥᾷον δὲ τὴν τοῦ παρόντος ἐργάσασθαι κόλασιν· οὐ γὰρ ὥσπερ αὐτῷ δορυφόρων ἐδέησεν

49 Par. om. 50 Vind. ἐπ᾽ αὐτῷ γε ἀμφ. 51 Vind. Mon. 2. ἐπὶ μετρίου. 52 Vind. μετὰ ταῦτα. 53 Vind. Mon. 1, λελύπηκεν. 54 Vind. ὁπόταν. Vind. et Mon. 2. ὀδύρονται. 55 In Mon. 1. superscriptum βοηθῆσαι. 56 Vind. γε. 57 Par. Mon. 1. Vind. ἡ τούτου τυραννὶς. servato τούτου antecedente. 58 Vind. βεβαιώσεται. 59 Port. ἡμεῖς. 60 Scheff.: „καὶ εἰ ποιεῖ ὁ νόμος". in notis: „Omnes veteres: καί τοι εἰ νόμος, atque sic scribendum". 61 Ald. Junt. καταδουλομένους. 62 Vind. ὑμῖν. 63 τῆς Ald. Junt. Monn.

Digitized by Google

εἰς τὴν τῆς[63] τυραννίδος ἐπίθεσιν[64], οὕτω καὶ ἡμῖν δεήσει συμμάχων εἰς τὴν τοῦ τυράννου κατάλυσιν· ἀλλὰ δικαστῶν ἀρκέσει ψῆφος, ὅλην[65] ἀνελεῖν τυραννίδος τὴν δύναμιν.

Cap. VIII.

Ὅρος[1] ἐγκωμίου.

Ἐγκώμιόν ἐστι λόγος ἐκθετικὸς τῶν προσόντων τινὶ[2] καλῶν· εἴρηται δὲ οὕτως ἐκ τοῦ ἐν κώμαις ᾄδειν[3] τὸ παλαιόν· κώμας δὲ ἐκάλουν τοὺς στενωποὺς. Διενήνοχε[4] δὲ ὕμνου, καὶ ἐπαίνου, τῷ τὸν μὲν ὕμνον εἶναι θεῶν, τὸ δὲ ἐγκώμιον θνητῶν· καὶ τῷ τὸν μὲν ἔπαινον ἐν βραχεῖ[5] γίνεσθαι, τὸ δὲ ἐγκώμιον κατὰ τέχνην ἐκφέρεσθαι. Ἐγκωμιαστέον δὲ πρόσωπά τε καὶ πράγματα, καιρούς

om. est in Par. Vind. Port. 64 Par. Mon. 2. ἐπίδειξιν. 65 Par. Vind. ὅλης.

1 Vind. περί. 2 τινί Par. om. 3 Convenit Theon, Auctor Etymologici Magni, Phavorinus, Scaliger, Vossius, alii. Sunt tamen, qui derivationem reddant aliam. Scheff. 4 Edd. et Monn. διενήνοχεν. Par. Vind. διενήνοχε. 5 Idem censet Scaliger l. III. Poët. c. 10., qui videtur hinc sumsisse. Verum carpit eum Vossius lib. I. Inst. Orat. c. 5., qui contra censet ἔπαινον esse totum, ἐγκώμιον vero partem. At profecto si τὸ ἔπαινος vulgariter accipiatur, etiam ἐγκώμιον est ἔπαινος, tali enim acceptione ἐπαινεῖ, quisquis quoquo modo facta alterius commendat. Id quod sine dubio volebat Scaliger, quando dixit, omnem ἐγκωμιάζοντα ἐπαινεῖν. Verum alia est ratio Rhetorum, qui τὸ ἔπαινος accipiunt sensu magis proprio pro brevi judicii honore, factis alicujus habito. Atque sic et Xenophon. in Paed. V. ubi ait: ὡς δὲ τοῦτ' ἤκουσαν πάντες μὲν ἐπῄνουν, πάντες δ' ἐνεκωμιάζον [sic]. Praemittit ἐπῄνουν, tanquam minus, et calore subito effusum, ac subdit ἐνεκωμιάζον, tanquam majus, et cum meditatione prolatum, quasi diceret, non laudarunt solum, sed et verbis amplissimis plurimum commendarunt.

Digitized by Google

τε καὶ τόπους, ἄλογα ζῶα, καὶ πρὸς τούτοις φυτά· πρόσωπα μὲν, ὡς Θουκυδίδην, ἢ Δημοσθένην· πράγματα δὲ, ὡς δικαιοσύνην, ἤ σωφροσύνην· καιροὺς δὲ, ὡς ἔαρ, ἢ θέρος· τόπους δὲ, ὡς λιμένας καὶ κήπους· ἄλογα ζῶα, ὡς ἵππον, ἢ βοῦν· φυτὰ δὲ, ὡς ἐλαίαν[6], ἢ ἄμπελον. Ἐγκωμιαστέον δὲ καὶ κοινῇ, καὶ καθ' ἕκαστον· κοινῇ μὲν, ὡς ἅπαντας Ἀθηναίους· ἰδίᾳ δὲ, ὡς Ἀθηναῖον ἕνα· ἡ μὲν οὖν διαίρεσις αὕτη τοῦ ἐγκωμίου· ἐργάσαιο δ' αὐτὸ[7] τοῖσδε τοῖς κεφαλαίοις· προοιμιάσῃ μέν πρὸς τὴν οὖσαν ὑπόθεσιν· εἶτα θήσεις τὸ γένος, ὃ διαιρήσεις εἰς ἔθνος, πατρίδα, προγόνους, καὶ πατέρας· εἶτα ἀνατροφὴν, ἣν διαιρήσεις εἰς ἐπιτηδεύματα, καὶ τέχνην, καὶ νόμους· εἶτα τὸ[8] μέγιστον τῶν ἐγκωμίων κεφάλαιον, ἐποίσεις τὰς πράξεις· ἃς διαιρήσεις εἰς ψυχὴν[9], καὶ σῶμα, καὶ τύχην· ψυχὴν μὲν, ὡς ἀνδρείαν[10], ἢ φρόνησιν· σῶμα δὲ, ὡς κάλλος, ἢ τάχος, ἢ ῥώμην· τύχην δὲ, ὡς δυναστείαν καὶ πλοῦτον, καὶ φίλους· ἐπὶ τούτοις, τὴν σύγκρισιν ἐκ παραθέσεως συνάγων τῷ ἐγκωμιαζομένῳ τὸ μεῖζον· εἶτα ἐπίλογον εὐχῇ μᾶλλον προσήκοντα.

Ἐγκώμιον[11] Θουκυδίδου.

Τιμᾷν ἄξιον τοὺς εὑρόντας τὰ χρήσιμα, οἷς ἐπορίσαντο κάλλιστα, καὶ τὸ παρ' ἐκείνων φανὲν ἐπανατίθεσθαι δικαίως τοῖς δείξασιν· οὐκοῦν Θουκυδίδην ἐπαινέσω τοῖς λόγοις αὐτὸν τοῖς αὐτοῦ τιμᾷν προελόμενος. Ἅπαντας μὲν οὖν τοὺς εὐεργέτας τιμᾶσθαι καλόν· τοσούτῳ δὲ μᾶλλον τὸν[12] Θουκυδίδην τῶν ἄλλων, ὅσῳ τῶν ἁπάντων εὗρε τὸ κάλλιστον· οὔτε γὰρ λόγων ἐν τοῖς οὖσι

Scheff. 6 Par. 1. ἄμπελον ἢ ἐλαίαν. 7 Vind. αὐτήν. 8 τό Vind. om. 9 Valde duriter dicitur, πράξεις διαιρήσεις εἰς ψυχὴν, nec enim ψυχὴ est πρᾶξις. Quare suspicor deesse quidpiam, fortasse κατὰ, vel quid simile. Scheff. 10 Par. ἀνδρίαν. 11 Vind. εἰς Θουκυδίδην. 12 τὸν Vind. om.

Digitized by Google

κρεῖττον' ὑπάρχει λαβεῖν, οὔτε Θουκυδίδου περὶ τοὺς λόγους σοφώτερόν ἐστιν εὑρεῖν. Προῆλθε τοίνυν Θουκυδίδης ἐκ γῆς, ἣ καὶ βίον αὐτῷ παρέσχε καὶ τέχνην. Οὐ γὰρ ἑτέρωθεν γέγονεν, ἀλλ' ὅθεν οἱ λόγοι· καὶ μητέρα βίου τὰς Ἀθήνας εὑρών, προγόνοις μὲν βασιλεῦσιν ἐχρήσατο, καὶ τὸ τῆς τύχης αὐτῷ δυνατώτερον ἐκ τοῦ προτέρου προελήλυθε[13] γένους. καὶ προσλαβὼν ἄμφω, γένους ἰσχὺν, καὶ πολιτείαν δημοτικὴν, εἰς ἐπανόρθωσιν ἑκατέρου[14] τὸ παρ' ἑκατέρου φέρεται κέρδος· τό μὴ πλουτεῖν ἀδίκως διὰ τῆς ἰσηγορίας ἐπανορθούμενος, καὶ πολιτικὴν ἔνδειαν τῇ παρὰ τοῦ γένους εὐδαιμονίᾳ συγκρύπτων. Καὶ τοιούτων φανεὶς τρέφεται μὲν πολιτείᾳ καὶ νόμοις, ἃ τῶν ἄλλων ἀμείνω πεφύκασι[15]. Καὶ πρὸς ὅπλα καὶ νόμους ἅμα ζῆν ἐγνωκὼς, φιλοσοφεῖν ὁ αὐτὸς καὶ στρατηγεῖν ἐβουλεύσατο, οὔτε τοὺς λόγους ὅπλων ἀποστερῶν, οὔτε τὰς μάχας ἐν μέρει τιθεὶς τῆς φρονήσεως[16]. καὶ μίαν ποιεῖται μελέτην, ὧν μίαν οὐκ εἶχε τὴν τέχνην, εἰς ἓν συνάγων, ἃ τῇ φύσει διέστηκεν· ὡς δὲ[17] εἰς ἄνδρας ἀφίκετο, ἐζήτει καιρὸν εἰς ἐπίδειξιν, ὃν καλῶς προησκήσατο[18]. καὶ ταχὺ παρέσχεν ἡ τύχη τὸν πόλεμον, καὶ τὰ πεπραγμένα πᾶσι τοῖς Ἕλλησιν οἰκείαν αὐτὸς ἐποιήσατο τέχνην· καὶ φυλακὴ γέγονεν ὧν ὁ πόλεμος ἤγαγεν. ἃ γὰρ ἐποίουν ὡς ἕκαστοι, ταῦτα συγκρύπτειν οὐκ ἀφῆκε[19] τὸν χρόνον· ἐξ ὧν ἁλισκομένη μὲν ἔγνωσται Πλάταια[20],

---

13 Mon. 2. προελήλυθε. Edd. Mon. 1. Vind. προσλήλυθεν. 14 Vind. ἑκατέρας τὸ παρ' ἑκατέρας φέρ. 15 Mon. 1. πεφήνασι. superscripto πεφύκασι. 16 Contrarium profertur ab interpretibus hoc loco. Vereor ne hic quoque desit aliquid, scripseritque noster, οὔτε τὰς μάχας λόγων, ut sit sensus, putasse partem prudentiae, neutrum altero privare. Scheff. 17 Vind. δ' εἰς. tum Junt. ἀφίκεντο. 18 Mon. 2. προσήκατο. 19 Edd. Mon. 1. ἀφῆκεν. Vind. Mon. 2. ἀφῆκε. 20 A Thebanis tempore nocturno, de quo Thucydides l. II. Scheff.

Digitized by Google

δηούμενα[21] δὲ τὰ τῆς Ἀττικῆς ἐγνωρίζετο· καὶ περιπλεομένη παρὰ τῶν Ἀθηναίων ἐδηλοῦτο Πελοπόννησος[22]· ναυμαχίας[23] εἶδεν ἡ Ναύπακτος· λαθεῖν οὐκ ἀφῆκε ταῦτα Θουκυδίδης συγγράφων. Λέσβος[24] ἑάλω, καὶ μέχρι τοῦδε[25] κηρύττεται· πρὸς τοὺς Ἀμβρακιώτας καθίστατο μάχη[26], καὶ τὸ γεγονὸς οὐκ ἀφεῖλεν ὁ[27] χρόνος· δίκη Λακεδαιμονίων[28] οὐκ ἀγνοεῖται παράνομος. Σφακτηρία καὶ Πύλος[29], τὸ μέγα τῶν Ἀθηναίων οὐκ ἔλαθεν ἔργον[30]· ὅθεν Κερκυραῖοι[31] μὲν παρὰ τὰς Ἀθήνας ἐκκλησιάζουσι[32]· Κορίνθιοι δὲ πρὸς αὐτοὺς ἀντιφθέγγονται. Αἰγινῆται δὲ[33] κατηγοροῦντες εἰς Λακεδαίμονα ἔρχονται. καὶ σωφρονῶν μὲν ἐπ' ἐκκλησίας Ἀρχίδαμος[34]· Σθενελαΐδας δὲ ἐπὶ[35] μάχην κινῶν· καὶ πρὸς τούτοις ὁ

21 A Peloponnesiis ductu Archidami regis Lacedaemoniorum. Idem dicto libro. Scheff. 22 Classe centum navium, cui Corcinus, Proteas et Socrates praefuere. Idem eodem loco. Scheff. Ald. Junt. Mon. 2. *Πελοπόνησος.* Monn. *ἐδηοῦτο,* [de qua permutatione vide epist. crit. p. 43.,] sed *ἐδηλοῦτο* respondet h. l. antecedentibus *ἔγνωσται, ἐγνωρίζετο.* 23 Quas Phormio commisit cum Peloponnesiis. Idem ibidem. Scheff. 24 Ab Atheniensibus. Videtur enim eam occupationem intelligere, quam Thucydides describit l. III. quamquam capta fuerit et secunda vice, de qua idem l. VIII. Scheff. 25 Mon. 1. ad marg. *χρ. τούτου.* 26 Acarnensium videlicet. Idem l. III. Scheff. 27 Ald. Junt. Mon. 2. ὁ om. est in Mon. 1. Vind. Port. 28 De civibus et urbe Plataeensium. Idem ibid. Scheff. 29 Ubi Lacedaemonios interceperunt, eosque ad pacem petendam compulerunt, atque tandem per Cleonem et Demosthenem vicerunt. Idem l. IV. Scheff. 30 Mon. 1. *ἔργον οὐκ ἔλαθεν.* 31 De hac utriusque populi legatione agit l. I. Scheff. 32 Edd. Mon. 1. Vind. *ἐκκλησιάζουσι.* Mon. 2. *ἐκκλησιάζουσιν.* 33 *δὲ* Vind. Mon. 1. om. Habes et haec l. I. Scheff. 34 Extat et haec deliberatio l. I. cum responsione Stenelei de bello Atheniensibus inferendo. Scheff. 35 Mon. 1. *πρὸς* superscripto *ἐπί.*

Digitized by Google

Περικλῆς[36] πρεσβείαν ἀτιμάζων Λακωνικὴν, καὶ χαλεπαίνειν[37] οὐ συγχωρῶν Ἀθηναίους νοσοῦντας· ταῦτα καθάπαξ παρὰ[38] τῆς Θουκυδίδου συγγραφῆς πρὸς ἅπαντα τηρεῖται τὸν βίον. Εἶτα τίς[39] αὐτῷ παραβαλεῖ[40] τὸν Ἡρόδοτον; ἀλλ᾽ ἐκεῖνος μὲν διηγεῖται πρὸς ἡδονήν· ὁ δὲ πρὸς ἀλήθειαν ἅπαντα φθέγγεται· ὅσον δὴ τὸ πρὸς χάριν τοῦ πρὸς ἀλήθειαν ἔλαττον, τοσοῦτον Ἡρόδοτος τῶν Θουκυδίδου καλῶν ἀπολείπεται. Πολλὰ ἦν ἕτερα περὶ Θουκυδίδου διεξελθεῖν, εἰ μὴ τὸ πάντα ἐρεῖν, τὸ τῶν ἐπαίνων παρείλετο πλῆθος.

Σοφίας[41] ἐγκώμιον.

Σοφίαν εὐτυχὲς μὲν λαβεῖν, ἐπαινέσαι δὲ πρὸς ἀξίαν ἀδύνατον, ᾗ τοσοῦτον εὐδαιμονίας περίεστιν, ὡς κοινὸν κτῆμα καταστῆναι θεῶν. Ἄλλος μὲν γὰρ ἄλλό τι τῶν θεῶν ἐπετήδευσεν· Ἥρα τῶν γάμων ἐπιστατεῖ, πολέμων Ἄρης μετὰ τῆς Ἀθηνᾶς· πυρὶ παρεχάλκευσεν Ἥφαιστος· Ποσειδῶν ἡγεῖται τοῖς πλέουσιν· ἄλλος ἄλλό τι τῶν θεῶν ἐπῃσκήσατο· σοφίας δὲ ἅπαντες μετέχουσιν[42]· ἰδίως δὲ παρὰ πάντας ὁ Ζεύς· ὅσῳ γὰρ τῶν θεῶν ἐστὶ δυνατώτερος, τοσούτῳ πάντων κατέστη σοφώτερος· καὶ σοφία Διὶ τὴν δυναστείαν πιστοῦται, καὶ θεοὶ μὲν αὐτὴν ἐκτήσαντο σύμφυτον, τὸ δὲ κτῆμα προῆλθεν εἰς γῆν, καὶ θεῶν παῖδες εἰς τὸν βίον ἠνέγκαντο· διὸ καὶ θαυμάσαι τοὺς ποιητάς μοι περίεστιν, οἷς Παλαμήδην, καὶ Νέστο-

---

36 Eam intelligit, quam Athenienses mitti ad Lacedaemonios voluere de pace, quam ostendit Atheniensibus non esse honestam. Vide Thucyd. l. II. Interpres mentem non percepit. Scheff. 37 Ald. Junt. χαλαιπένειν. 38 Ald. Junt. Mon. 2. Vind. καὶ τῆς. Mon. 1. Port. καί om. 39 Port. εἶτά τις. tum Ald. Junt. Mon. 1. 2. παραβάλλει. Port. παραβάλλοι. Vind. παραβαλεῖ. 41 Caput hoc abest a Vind. 42 Ald. Junt. μετέχουσι. 43 Fr. Portus vult, οὐ γὰρ ἄν, quod non conve-

ρα, καὶ εἴ τις ἄλλος ἐν τοῖς πρώτοις σοφώτατος ᾄδεται, θεῶν παῖδας ἐποίησαν, οὐ καταστάντας τὴν φύσιν θεῶν· ἦ[43] γὰρ ἂν καὶ αὐτοὶ θεοὶ καθειστήκεσαν, καὶ τῇ κοινωνίᾳ τοῦ γένους, τὸ κοινὸν ἐδήλουν[44] τῆς ἀρετῆς· ἀλλ' οἷς[45] τὴν θεῶν ἀρετὴν προσεκτήσαντο, θεῶν ἐνομίζοντο παῖδες, καὶ δοκοῦσι θεῶν, ὧν σοφία κτῆμα τοῦ γένους προῆλθεν ὑπόμνημα. Σοφία τοίνυν ἐφ' ἑκάτερα κρατεῖ τῶν καιρῶν· τὰ μὲν γὰρ ἄλλα παρὰ τὴν εἰρήνην μόνον[46] εὐδοκιμεῖ· τὰ δὲ παρὰ τὸν πόλεμον μόνον θαυμάζεται· μόνη δὲ σοφία τῶν ὄντων ἑκατέρων κρατεῖν, ὡς ἑνὸς ἐξεπίσταται· πολιτεύεται μὲν γὰρ κατὰ πόλεμον, ὡς εἰρήνην παντελῶς ἀγνοήσασα· τῆς δὲ εἰρήνης οὕτω μετέσχεν, ὡς ἀγνοῦσα καθάπαξ τὰς μάχας· καὶ παρ' ἣν ἂν κρατῇ[47], μόνης εἶναι νομίζεται· νομοθετεῖ μὲν γὰρ ἐν εἰρήνης καιρῷ, καὶ παντοδαποῖς[48] ἡσυχίας εἴδεσι κέχρηται· τοῖς δὲ πολέμοις εἰσηγεῖται τὰς νίκας· καὶ σοφία κρατεῖν ἐν τοῖς ὅπλοις παρέχουσα[49], παρὰ τὰς ἐκκλησίας ἄλλον οὐκ ἐᾷ κατορθοῦν· ἀλλ' ἐπ' ἀμφότερα κρατεῖν οἶδεν ἐπίσης, πολεμοῦντας, καὶ μένοντας[50]· μόνη σοφία τὰ θεῶν ὑποκρίνεται· μόνη γὰρ ὡς θεὸς τὸ μέλλον ἐπίσταται· αὕτη γεωργοῖς ἀνῆκε τὴν γῆν, καὶ τοῖς πλέουσι νέμει τὴν θάλασσαν· οὔτε καρποὺς ὑπῆρχε λαβεῖν σοφίας χωρὶς, οὔτ' αὖ πάλιν ἐπιβαίνειν νεὼς χωρὶς τοῦ σοφῶς

nit. Scheff. 44 Mon. 2. ἐδήλου. 45 Illud οἷς sic est positum hoc loco, ut supra, οἷς Παλαμήδην ᾄδεται. Itaque sententia: sed ut quorum opera Deorum virtutem essent consecuti, ab iisdem haberentur et pro filiis Deorum. Vult, poëtas tribuisse ipsis virtutem humana ampliorem, ut non sine caussa videantur simul fecisse filios Deorum. Scheff. 46 Port. μόνην. 47 Mon. 2. κρατεῖ. 48 Edd. Mon. 1. παντοδαπῆς. Mon. 2. παντοδαποῖς. 49 Mon. 1., in quo hoc folium manu recentiore scriptum est: παρασχοῦσα. 50 Istuc μένειν ita usurpatum absolute, ut oppositum sit τοῦ πολεμεῖν, non memini me alibi observare. Quare suspicor deesse quid-

Digitized by Google

κυβερνήσοντος· ὥστε πᾶν εἴ τι θάλαττα φιλοτιμεῖται, καὶ ὅσα γῆ τοῖς ἀνθρώποις παρέχει, ταῦτα σοφίας καθεστήκασιν[51] εὕρεσις· αὕτη λαθεῖν οὐ κατέλιπεν ἃ τῶν ἀπορρήτων οὐρανὸς ἔχει παρ' ἑαυτῷ. καὶ γὰρ ὅσον ἥλιος περιέρχεται κύκλον, καὶ ἃ τῶν ἀστέρων περιέδραμεν ἕκαστος[52], μόνη σοφία τοῖς ἀνθρώποις ἐξεῦρεν. ἤδη καὶ τὰ τῆς γῆς[53] ὁ σοφὸς οὐκ ἠγνόησεν, καὶ ὡς τελευτῶντες ἐσόμεθα, μόνη σοφία παρέσχεν. Τροίαν εἷλεν·[54] ἣν ἑλεῖν ὁ πολὺς οὐ δεδύνηται χρόνος, σοφὸν παρεστήσατο βούλευμα[55]· καὶ Περσῶν[56] ὅλην διέλυσε[57] δύναμιν, δι' ἑνὸς[58] κυροῦσα βουλεύματος· ὁ Κύκλωπος ὀφθαλμὸς διεφθείρετο[59], βεβουλευκότος Ὀδυσσέως σοφώτερον· ὥστε πᾶν εἴ τι[60] κρατεῖ, σοφίας προῆλθεν· εἶτα τίς αὐτῇ τὴν ἀνδρείαν παραβαλεῖ[61]; ἀλλ' ὃ ποιεῖν πέφυκε δύναμις, ἐκ σοφίας κομίζεται[62]· κἂν τῆς ἀνδρείας ἀνέλῃς τὴν φρό-

piam, forte ἐπὶ ἡσυχίᾳ. Scheff. 51 Mon. 1. καθέστηκεν. ita Pausan. VII. 9. 6. γράμματά τε αὐτίκα ὑπὸ τῆς βουλῆς ἔς τε Ἀθήνας κατεπέμπετο. Angel. κατεπέμποντο. 52 ἕκαστος Ald. Junt. Mon. 2. om. est in Mon. 1. Port. 53 Atqui hoc praecessit jam. Quare ista lectio mihi valde est suspecta. Mallem τὰ τῆς ζωῆς. Scheff. Mon. 1. ἤδη δὲ καὶ κατὰ γῆν. Sq. ὁ abest a Monn. Ald. Junt. posuit Port. 54 εἷλεν Mon. 1. om. 55 Graecorum atque Heleni equi machinam admoventium, de qua re Virgilius, Dyctis Cretensis, atque alii. Scheff. 56 Ad marg. exempl. Par. Τρώων. Schol. Ald. ἕτεροι Τρῶων ἀναγινώσκουσι. 57 Edd. Mon. 1. διέλυσεν. Mon. 2. διέλυσε. 58 Mon. 1. τοῦτο κυροῦσα. 59 Portus mallet διεπείρετο, sed nil necesse est. Scheff. Par. et Monn. tuentur ἐφθείρετο. 60 Port. ὅ τι. 61 Ald. Junt. Mon. 2. παραβαλλεῖ. Mon. 1. Port. παραβαλεῖ. Port. iterum εἶτά τις. 62 Mon. 1. 2. νομίζεται. exempl. Par. κομίζ. Vita Joseph. c. 28. τὰ ἐκ τῆς ἁρπαγῆς κομισθέντα χρήματα. Par. 1423. νομισθέντα. Dem. in Mid. p. 530. παρ' ὧν τὰ ἀνδράποδα εἰς τοὺς Ἕλληνας κομίζεται. 3 codd. Bekkeri νομίζεται.

Digitized by Google

νησιν, κατηγορούμενον ἔμεινε· πολλὰ ἦν ἄλλα περὶ τῆς σοφίας διεξελθεῖν· ἀλλ' εἰς ἅπαν ἐρεῖν τοῖς διεξιοῦσιν ἀμήχανον.

Cap. IX.

Ὅρος ψόγου.

Ψόγος ἐστὶ λόγος ἐκθετικὸς τῶν προσόντων τινὶ[1] κακῶν. Τόπου δὲ κοινοῦ διενήνοχε τῷ τὸν μὲν τόπον ἐπάγεσθαι κόλασιν, τὸν δὲ ψόγον μόνην[2] ἔχειν διαβολήν[3]· διαιρεῖται δὲ τοῖς αὐτοῖς κεφαλαίοις, οἷσπερ καὶ τὸ ἐγκώμιον, καὶ τοσαῦτα δεῖ ψέγειν, ὅσα καὶ ἐγκωμιάζειν· πρόσωπά τε καὶ πράγματα, καιρούς τε καὶ τόπους, ἄλογα[4] ζῶα, καὶ πρὸς τούτοις φυτά· ψεκτέον δὲ καὶ κοινῇ, καὶ καθ' ἕκαστον· καὶ προοιμιαζόμενος[5] ἐποίσεις τὸ γένος, ὃ[6] διαιρήσεις ὁμοίως τῷ ἐγκωμίῳ, καὶ τὴν ἀνατροφὴν, καὶ τὰς πράξεις, καὶ τὴν σύγκρισιν, καὶ τὸν ἐπίλογον οὕτω θήσεις, ὡς καὶ ἐν τοῖς ἐγκωμίοις.

Ψόγος[7] Φιλίππου.

Οὔτε τὴν ἀρετὴν ἐπαίνων χωρὶς, οὔτε τὴν κακίαν ἔξω ψόγου προσήκει καταλιπεῖν, ὅτι καὶ[8] δι' ἀμφοτέρων ἐγκαταλείπεται κέρδος, ἐπαινουμένων μὲν ἀγαθῶν, κακιζομένων δὲ πονηρῶν[9]· ἅπαντας μὲν οὖν ἀκοῦσαι κακῶς

1 τινὶ Mon. 2. om. 2 Vind. κοινὴν μόνην. super κοινὴν scribitur: γρ. ψιλήν. 3 Medio sensu, sic ut nudam signet incusationem, quomodo et Isocrates usurpavit, et aliam dixit esse ψευδῆ, aliam non esse. Nisi malimus accipere pro judicio vel opinione de re, quomodo apud Hesychium est ὑπόληψις. Interpretatio vulgaris non est idonea. Scheff. 4 Ald. ἄλλογα. 5 Vind. inserit μὲν. 6 Mon. 2. καί. 7 Habes idem progymnasma elaboratum a Libanio, quocum conferre possunt, qui dant operam Graecae eloquentiae. Scheff. 8 καὶ Vind. om. 9 Vind. iterum ἀγαθῶν.

Digitized by Google

δίκαιον τοὺς διακειμένους κακῶς, τοσούτῳ δὲ μᾶλλον ἁπάντων τὸν Φίλιππον, ὅσῳ καὶ πάντας πονηροὺς ὑπερέβαλλε[10]. Προῆλθε μὲν γὰρ ἔθνους, ὃ τῶν βαρβάρων καθίσταται χείριστον, τόπον ἐκ τόπου δι' ἀνανδρίαν μεταβάλλειν ζητοῦντος[11]. Ἀργεῖοι[12] μὲν γὰρ τὸ πρῶτον ἐξέωσαν, εἶτα πλανώμενοι, πρὸς ἣν ἔχουσι καταπεφεύγασι· ταῖν δυοῖν δυστυχίαιν[13] εἰς τὴν οἴκησιν χρώμενοι, τοῖς μὲν κρείττοσιν εἴκοντες, τοὺς δὲ χείρους ἐκβάλλοντες, ἐξ ἀνανδρίας καὶ πλεονεξίας οἰκεῖν βεβαίως οὐ συγχωρούμενοι; καὶ γεγενημένος ἔθνους τοιούτου, φαυλοτέρας προελήλυθε πόλεως. Μακεδόνες γὰρ τῶν βαρβάρων οἱ[14] χείριστοι, Πέλλη δὲ τῆς Μακεδόνων γῆς τὸ φαυλότατον[15], ἐξ ἧς οὐδὲ[16] δουλούμενοι χαίρουσιν ἄνθρωποι. Καὶ τοιαύτης γῆς γεγονὼς προγόνοις ἐχρήσατο χαλεπωτέροις τῆς γῆς. Φίλιππος γὰρ τούτῳ καθίστατο πρόγονος[17], κρατεῖν τῆς χώρας ἐκ τοῦ γένους οὐ συγχωρούμενος[18]· εἶτα Ἀμύντας πατὴρ εἰς βασιλείαν ἑτέρων δεό-

10 Port. ὑπερέβαλε. 11 Mon. 1. ἐπιζητοῦντος. 12 Habet ex Herodoti lib. VIII., qui Gavonem, Argeum et Perdiccam ex Argo profugos condidisse scribit regnum Macedoniae. Vide totum locum. Scheff. 13 Suam, qui ejecti erant, et aliorum, quos exules ejiciebant. Interpretatio nimis est obscura. Scheff. 14 Scheff. καὶ χείρ. in notis: „scribe οἱ χείριστοι. Ita enim habent omnes aliae editiones". 15 Ante Philippi quidem tempora fuisse minutum, etiam Eclogae Strabonis docent. Scheff. 16 Vind. καί. Rhetor noster incommode expressit Demosthenem Philipp. III. p. 119. ὀλέθρου Μακεδόνος, ὅθεν οὐδ' ἀνδράποδον σπουδαῖον οὐδὲν ἦν πρότερον πρίασθαι. Aptius imitatus est Lucian. Parasit. c. 42. Φίλιππος γὰρ ὁ Μακεδόνων ὄλεθρος, ὅθεν οὐδὲ ἀνδράποδον πριαιτό τίς ποτε. 17 Fuit nonus a Philippo, uti clare docet Rupertus in doctissimis animadversionibus ad Besoldum. Itaque hic πρόγονος unus ex majoribus Philippi, sicut saepe alias apud nostrum. Scheff. 18 Vertunt varie; ut cui ob genus, ut regnum

Digitized by Google

μενος· Ἀθηναῖοι[19] γὰρ ἐληλαμένον κατήγαγον[20]. Καὶ τοιούτων ὀφθεὶς, μένων παρὰ Θηβαίοις[21] ὠμήρευε, καὶ διατρίβων ἐπὶ μέσης τῆς Ἑλλάδος, οὐ μετετίθει τῇ συνουσίᾳ τὸν τρόπον, ἀλλ' ἀκρασίαν βαρβαρικὴν ἐν Ἑλληνικοῖς ἐπιτηδεύμασιν ἔφερε· καὶ διῃρημένων ἁπάντων Ἕλλησι καὶ βαρβάροις, ἐφ' ἑκατέρων ἦν ὁ αὐτὸς, πονηρίαν ἴσην ἐν οὐχ ὁμοίοις ἐργαζόμενος γένεσι. Καὶ πρῶτον κατεδουλοῦτο[22] τὸ συγγενὲς, τὴν ἀπιστίαν οἷς προῆλθεν ἐπιδεικνύμενος· ὅθεν ἐπιὼν τοὺς προσχώρους διέφθειρε, καὶ Παίονας[23] λαβὼν Ἰλλυριοὺς προσετίθετο,

obtineret, permissum non est: item, quo minus ejus terrae regnum ei obtingeret, obstitit generis indignitas. Atqui falsum hoc; fuit enim filius Argaei regis, quod Justinus lib. VII. c. 2. aliique testantur. Itaque vix dubito, quin hic aliqua excident. Scheff. 19 Schol. Ald. ἔν τισι τῶν βιβλίων Θηβαῖοι γράφονται [l. γράφεται]. 20 De hac ejectione Amyntae regis per Illyrios facta scribit Diodorus l. XIV. Ideo et lib. XVI. Philippum ait regnum jugo Illyriorum pressum accepisse. At vero non ab Atheniensibus servatum scribit, verum Thracibus. Etiam Libanius non Amyntam ab Atheniensibus servatum scribit, sed Philippum. Non est mihi dubium. quin hic totus locus cum sequentibus corruptus sit et mutilus. Scheff. 21 Ald. Junt. Vind. Mon. 1. Ἀθηναίοις. Mon. 2. Port. Scheff. Θηβαίοις. Haud raro nomina haec permutata inveniuntur: vide interpr. ad Dem. Lept. p. 489. 11. Theon. Prog. c. 5. Ἐπαμεινώνδας ὁ τῶν Θηβαίων στρατηγός. Med. et ed. princ. Ἀθηναίων. Phöbamm. II. 4. ex Demosth. pro Cor. οὐδὲ ἐπρέσβευσα μὲν, οὐκ ἔπεισα δὲ Θηβαίους. Ald. Vind. Par. Monn. Ἀθηναίους. Farn. Θηβαίους. Pausan. VII. 1. 5. πολεμησάντων Ἀθηναίοις Ἐλευσινίων. Angel. Riccard. Θηβαίοις. Riccard. in marg. Ἀθηναίοις. 22 Perdiccae, qui Philippi frater fuit, filium intelligit, cujus regnum aliquandiu tutoris nomine gubernavit. Mox vero ipse delatum sibi a populo, ut videri voluit, accepit. Vide Justinum. Nam Diodorus paulo aliter. Scheff. Mon. 1. et Vind. post πρῶτον inserunt μέν. 23 De

Digitized by Google

καὶ Τριβαλλῶν[24] ἦρει τὴν γῆν ἐπιὼν, τοσαῦτα λαμβάνων ὁπόσα τῶν γενῶν ἠτύχει προσκείμενα· καὶ τὰ μὲν σώματα τῶν βαρβάρων ἦρει μαχόμενος, τὰς δὲ γνώμας μετὰ τῶν σωμάτων οὐχ ἦρει· ἀλλ᾽ ὠνειροπόλουν[25] ἀπόστασιν οἱ τοῖς ὅπλοις δουλεύοντες· καὶ τοῖς λογισμοῖς ὑπῆρχεν αὐτόνομα, τὰ[26] τοῖς ἔργοις δουλεύοντα[27]· καὶ παραστησάμενος τοὺς τῶν[28] βαρβάρων ὁμόρους, ὁδῷ προϊὼν ἐχώρει παρὰ τοὺς Ἕλληνας· καὶ πρῶτον μὲν τὰς ἐπὶ Θρᾴκης Ἑλλήνων κατεστρέφετο πόλεις, αἱρῶν[29] μὲν Ἀμφίπολιν, τὴν δὲ Πύδναν χειρούμενος, καὶ Ποτίδαιαν[30] μετ᾽ αὐτῶν ἐπαγόμενος, οὔτε τὰς Φερὰς ἔξω τῶν Παγασῶν, οὔτε Μαγνησίαν[31] ἔξω Φερῶν ποιούμενος, ἀλλ᾽ ὅλαι Θετταλῶν[32] ἡλίσκοντο πόλεις, καὶ ὥσπερ σύμβολον[33] τοῦ γένους τὴν δουλείαν ἐφέροντο. Ἄξιον δὲ καὶ περὶ τῆς αὐτοῦ τελευτῆς διελθεῖν· ὡς γὰρ ἐπιὼν τὰ πολλὰ

---

hoc iterum Diodorus l. XVI., Justinus et Libanius, qui et de sequentibus testantur. Scheff. Mox Vind. Ἰλλυριούς. 24 Mon. 1. Τριβαλῶν ἦρει γῆν τ. λαμβ. ὅσα. 25 Ald. Junt. ὀνειροπόλουν. 26 τὰ Vind. om. 27 Ald. Junt. δουλεύοντας. 28 τῶν abest ab edd. et Monn., recepi ex Vind. 29 Vind. ἑλών. 30 In Mon. 1. superscriptum est: Βέρροιαν. Sequuntur in contextu manu diversa et litteris paene erasis: ταῦτ᾽ ἐπιτιθεὶς, καὶ παρὰ Θετταλοὺς ἐπειγόμενος. 31 De his Thessaliae civitatibus nominatim alii nil prodidere, quod sciam. Scheff. Ald. Junt. et Codd. Μάγνησσαν. Port. Μαγνησίαν. Suid. Μαγνησία, πόλις. 32 Vind. Θεταλῶν. 33 Vertunt, velut notam, aut, generis mercedem, aut, velut ad serviendum constructae forent. Puto σύμβολον τοῦ γένους denotare signum, quo ipsorum natio internoscatur ab aliis, et hic respectum fieri ad servitutem frequentissimam gentis hujus, praesertim apud Graecos. At vero tale quidpiam de Thessalis haud legas. Itaque videndum, annon in superioribus scribendum sit Θρᾳκῶν pro Θετταλῶν, quod et interpreti placuisse videtur.

Digitized by Google

λὰ κατεστρέφετο, καὶ παρασπονδῶν κατεδουλοῦτο τοὺς σπενδομένους αὐτῷ, ἀγανακτοῦντες ἐπὶ τοῖς παρασπονδηθεῖσιν οἱ θεοὶ[34] πρέπουσαν αὐτῷ τελευτὴν ἐπηγάγοντο· οὐ γὰρ ἀνεῖλον μαχόμενον, οὐδὲ μάρτυρα τῆς αὐτοῦ τελευτῆς ἀριστέα[35] ἐποίησαν, ἀλλ' ἐπ' αὐταῖς ταῖς[36] ἡδοναῖς διαφθείρουσι, καλὸν ἐντάφιον τοῖς Φιλίππου κακοῖς πεποιημένοι τὰς ἡδονάς· ὡς ἂν κατ' ἄμφω τῆς ἀκρασίας φέροιτο μάρτυρας, καὶ βιοὺς, καὶ κτεινόμενος. Εἶτα τίς αὐτῷ παραθήσει τὸν Ἔχετον[37]; ἀλλ' ὁ μὲν μικρὰ τὴν ἄκρων ἀποστερῶν, τὸ λοιπὸν εἶα[38] τοῦ σώματος, ὁ δὲ ὅλα μεθ' ὅλων διέφθειρε σώματα· ὅσῳ δὴ χαλεπώτερον ὅλον[39] ἢ μέρος διαφθειρόμενον[40], τοσούτῳ Φίλιππος Ἐχέτου δεινότερος. Λήγειν ὁ Φίλιππος περιὼν οὐκ ἠπίστατο, λήγειν δὲ ἀνάγκη τὸν περὶ αὐτοῦ λόγον διεξερχόμενον. 11

Cap. X.

Ὅρος[1] συγκρίσεως.

Σύγκρισίς ἐστι λόγος ἀντεξεταστικὸς, ἐκ παραθέσεως συνάγων τῷ παραβαλλομένῳ τὸ μεῖζον ἢ τὸ ἴσον. Δεῖ δὲ συγκρίνοντας ἢ καλὰ παραθεῖναι χρηστοῖς, ἢ φαῦλα φαύλοις, ἢ χρηστὰ πονηροῖς, ἢ μικρὰ παραθεῖναι τοῖς μείζοσι· καὶ ὅλως ἡ σύγκρισις διπλοῦν ἐγκώμιόν ἐστιν, ἢ ψόγος ἐξ ἐγκωμίου[2] συγκείμενος, καὶ πᾶς μὲν

Scheff. Vind. *σύμβουλον*. 34 Mon. 2. inserit *καί*. 35 Hoc vocabulum mihi valde suspectum est, nec enim opponitur ἡδοναῖς. Scribo plane *ἀριστείαν*. Scheff. 36 *ταῖς* Ald. Junt. et codd. om.; posuit Portus. 37 Fuit hic Epirotarum tyrannus, qui hominibus aures naresque amputare solebat. Vide Homerum Odyss. Φ. et Suidam. Scheff. 38 Mon. 2. εἶτα. 39 Vind. ἅπαν. 40 Vind. *φθειρόμενον*.

1 Vind. *περὶ*. 2 Vind. et Mon. 1. addunt: *καὶ ψόγου*.

Digitized by Google

τόπος συγκρίσεως δεινὸς καθάπαξ[3] καθέστηκε, μάλιστα δὲ ὁ τὰ μικρὰ παραβάλλων τοῖς μείζοσι· τοσαῦτα δὲ συγκρίνειν προσήκει, ὅσα[4] καὶ ψέγειν καὶ ἐγκωμιάζειν· πρόσωπά τε καὶ πράγματα, καιρούς τε καὶ τόπους, ἄλογα ζῶα, καὶ πρὸς τούτοις φυτά. Οὐ[5] δεῖ δὲ συγκρίνοντας ὅλον ὅλῳ παραβάλλειν (ὕπτιον γὰρ τοῦτο[6] καὶ οὐκ ἀγωνιστικὸν), ἀλλὰ κεφαλαίῳ κεφάλαιον· ἀγωνιστικὸν γὰρ τοῦτό γε· ἐπεὶ τὸ διαιρεῖν[7] ἐγκωμίου τρόπος, οὐ συγκρίσεως· σύγκρισις δὲ ἐν αὐτῷ οὐκ ἔστιν, ἐπείπερ ὅλον ἐστὶ τὸ προγύμνασμα σύγκρισις.

Σύγκρισις Ἀχιλλέως καὶ Ἕκτορος.

Ἀρετὴν ἀρετῇ συγκρῖναι ζητῶν, ἀντεξετάζω τὸν Πηλέως πρὸς Ἕκτορα· καθ' αὑτὰς μὲν γὰρ αἱ ἀρεταὶ τίμιαι, παραβαλλόμεναι δὲ ζηλωτότεραι[8] καθεστήκασιν. Γεγόνασι τοίνυν ἄμφω γῆς οὐ μιᾶς, ἐπαινουμένης δὲ ὁμοίως[9] ἑκάτερος. ὁ μὲν γὰρ Φθίας, ὅθεν ὁ τῆς Ἑλλάδος[10] προῆλθεν ἐπώνυμος. ὁ δὲ Τροίας, ἧς οἰκισταὶ

Eadem verba Scheffero deesse videntur. 3 Angel. ἅπαξ. ad marg. γρ. καθάπαξ. 4 Vind. Mon. 2. ὅσαπερ. sq. καὶ ψέγειν Mon. 2. om. 5 Vind. δεῖ δὲ συγκρ. μὴ ὅλον etc. 6 τοῦτο Edd. Vind. et Mon. 2. om., recepi ex Mon. 1. 7 Hoc vult, opinor, quando laudamus, solemus partes singulas consectari, et in eis, quae laudanda sunt, proponere. At in comparatione hoc non agitur, verum illa tantum tractantur, quae inter sese possunt comparari. Mallem porro legere ἐγκωμίου τόπος, quam τρόπος, Scheff. 8 Ald. Junt. ζηλοτώτεραι. 9 Edd. et Monn. ὅμως. Vind. ὁμοίως. Cfr. paullo post: τὸ γεγενῆσθαι χώρας ὁμοίας. Schol. Ald. in Aphthon. p. 3. τοῖς δὲ νέοις ὅμως δυσμεταχείριστον τὸ πρᾶγμα ἐφαίνετο. Farn. ὁμοίως. Menand. p. 634. ὅμως δὲ κέρδος μέλλοντες κερδαίνειν etc. Med. 2. ὁμοίως. Pausan. VI. 1. 1. οἱ δὲ καὶ ἐπὶ ἄλλοις ἔργοις, ὅμως οὐ τετυχήκασιν εἰκόνων. Angel. ὁμοίως. Joseph. bell. Jud. III. 5. 4. καὶ τρίτον δὲ ὁμοίως αἱ σάλπιγγες προσημαίνουσι τὴν ἔξοδον. Par.

Digitized by Google

θεῶν οἱ[11] πρῶτοι γεγόνασιν· ὅσον[12] δὴ τὸ γεγενῆσθαι χώρας ὁμοίας οὐχ ἧττον[13] εἰς ἔπαινον, τοσοῦτον Ἕκτωρ Ἀχιλλέως οὐκ ἀπολείπεται[14]. Καὶ γεγονότες γῆς ἐπαινουμένης ἀμφότεροι, ἄμφω[15] τὴν ἴσην ἔσχον συγγένειαν· ἑκάτερος γὰρ προῆλθε Διός· Πηλέως μὲν γὰρ Ἀχιλλεὺς, Αἰακοῦ δὲ Πηλεὺς, καὶ Διὸς Αἰακός. Ἕκτωρ τε ὁμοίως Πριάμου καὶ Λαομέδοντος, Λαομέδων δὲ προῆλθε Λαρδάνου, Λάρδανος δὲ Διὸς ἐγεγένητο παῖς. Καὶ προγόνου γεγονότες Διὸς, πατράσι παραπλησίοις ἐχρήσαντο. Ἀχιλλεῖ μὲν γὰρ πατέρες[16] Αἰακὸς καὶ Πηλεύς· ὧν ὁ μὲν αὐχμῶν[17] ἐξαιρεῖται[18] τοὺς Ἕλληνας, ὁ δὲ Λαπίθας ἀνελὼν[19], ἆθλον τῆς[20] ἀρετῆς θεᾷ[21] συνοικεῖν ἐκληρώσατο[22]. Ἕκτορι δὲ πρόγονος ὑπῆρχε Λάρδανος, θεοῖς τὸ πρώην συνδιαιτώμενος. πατὴρ δὲ Πρίαμος, κρατῶν πόλεως τετειχισμένης ὑπὸ θεῶν· ὅσον δὴ παραπλήσιον τὸ θεοῖς συνοικεῖν[23] καὶ συνδιαιτᾶσθαι τοῖς κρείττοσι, τοσοῦτον Ἕκτωρ Ἀχιλλεῖ παραπλήσιος. Καὶ γεγο-

---

1129. ὅμως. 10 Hellas enim, quae Latinis Graecia, nomen habet ab Hellene, Phthii filio. Stephanus de urbibus: Ἑλλὰς ἐκτίσθη ὑπὸ Ἕλληνος, οὐ τοῦ Δευκαλίωνος, ἀλλὰ τοῦ Φθίου καὶ Κρουσήππης [sic] τῆς Ἴρου. ὁ δὴ Φθίος ἦν Ἀχαιοῦ. Phthias ergo nomen habuit a Phthio, patre Hellinis, a quo Hellines dicti, qui Latinis Graeci. Scheff. 11 Scheff. καὶ πρῶτοι. in notis: „scribe οἱ πρ. intelligit porro Apollinem et Neptunum, qui eam condiderunt.“ tum Port. γεγόνασι. 12 Mon. 2. ὅσῳ — τοσούτῳ. Vind. ὅσῳ — τοσοῦτον. 13 Vind. Mon. 1. οὐ χεῖρον. 14 Ald. Junt. ἀπολίπεται. 15 ἄμφω τὴν Mon. 1. om., supra lineam habet τήν. 16 μὲν γὰρ πατέρες Vind. om. 17 Vide Plutarchum in Euagora. Scheff. 18 In Mon. 1., glossa superscripta: ἀπαλλάττει. 19 Vind. ἀναιρῶν. ad marg. γρ. ἀνελών. Mon. 1. ἀνῃρηκώς. supra lineam: γρ. ἀναιρῶν. 20 Vind. articulum om. 21 Thetidi. Vide Ovidium. Scheff. 22 Mon. 1. ἐχρήσαντο, supra lin.: γρ. ἐκληρώσαντο. 23 Ald.

Digitized by Google

νότες ἐκ τοιῶνδε προγόνων ἄμφω πρὸς ἀνδρείαν[24] ἐτράφησαν· ὁ μὲν γὰρ ὑπὸ Χείρωνι τρέφεται, τῷ δὲ Πρίαμος κατέστη τροφεὺς[25], φύσει τῆς ἀρετῆς εἰσφέρων διδάγματα· τὸ δὲ τραφῆναι πρὸς ἀρετὴν ἴσον ὂν ἐπ' ἀμφοτέροιν[26], ἴσην αὐτοῖς ἐπιφέρει τὴν εὔκλειαν. Ἐπεὶ δὲ εἰς[27] ἄνδρας ἄμφω προῆλθον, ἐφ' ἑνὸς πολέμου τὴν ἰσχὺν ὁμοίαν[28] ἐκέκτηντο· πρῶτον μὲν γὰρ Ἕκτωρ ἡγεῖτο τῶν Τρώων, καὶ περιὼν Τροίας καθίστατο πρόβολος· ἔπειτα θεοῖς συμμαχούμενος ἔμενε, καὶ κεῖσθαι πεσὼν παρέσχε τὴν Τροίαν. Ἀχιλλεὺς δὲ τῆς μὲν Ἑλλάδος ἐν τοῖς ὅπλοις ἡγεῖτο, καὶ πάντας φοβῶν κατηγωνίζετο[29] Τρῶας, καὶ συναγωνιζομένην εἶχε τὴν Ἀθηνᾶν, καὶ πεσὼν τοῦ κρατεῖν ἀφῃρεῖτο τοὺς Ἀχαιούς· καὶ ὁ μὲν ἡττηθεὶς ἀνῃρεῖτο διὰ τῆς Ἀθηνᾶς[30]· ὁ δὲ πρὸς Ἀπόλλωνος[31] βαλλόμενος ἔπιπτε· καὶ γεγονότες ἄμφω παρὰ θεῶν, ἐκ θεῶν ἀνῃρέθησαν· ὅθεν γὰρ[32] τὸ γένος, καὶ τὸ τοῦ βίου τέλος εἰλήφασιν· ὅσον[33] δὴ παραπλήσιον βίος καὶ θάνατος, τοσοῦτον Ἕκτωρ Ἀχιλλεῖ παραπλήσιος. Ἦν ἕτερα πλείονα λέγειν περὶ τῆς ἀμφοῖν ἀρετῆς, εἰ μὴ τὴν δόξαν ἄμφω παραπλησίαν εἶχον τῶν ἔργων.

συνοικεῖ. 24 Mon. 1. ἀνδρίαν. 25 videtur quid deesse inter ista duo [sc. τροφεὺς et φύσει]. Interpres velut a natura. Verum non est naturale, ut parentes hoc faciant. Puto istuc innuere, Priamum et bonam ei dedisse naturam sive indolem, quatenus fuit pater, et virtutem, quatenus fuit educator. Scripserit itaque τροφεὺς, σὺν φύσει. Scheff. recte dativus: naturalem indolem virtutis praeceptis imbuens. 26 Vind. ἐπ' ἀμφότερα. 27 Mon. 2. ἀνδρείας εἰς ἄμφω. 28 Mon. 1. ὁμοίως. 29 Ald. Junt. κατηγονίζετο. Vind. ἠγωνίζετο. 30 Quippe quae Jovem de salute Hectoris sollicitum, et jam deliberantem avertit. Vide Homer. Iliad. X. Scheff. 31 Tela Paridis dirigentis in Achillem. Vide Virgil. VI. Ovid. Metam. Scheff. 32 γὰρ Mon. 2. om. 33 Vind. ὅσῳ δὴ παραπλήσιος

Cap. XI.

Ὅρος[1] ἠθοποιΐας. 12

Ἠθοποιΐα ἐστὶ μίμησις ἤθους ὑποκειμένου προσώπου. Διαφοραὶ δὲ αὐτῆς εἰσι τρεῖς, εἰδωλοποιΐα[2], προσωποποιΐα, ἠθοποιΐα· καὶ ἠθοποιΐα[3] μὲν ἡ γνώριμον ἔχουσα πρόσωπον, πλαττομένη δὲ μόνον τὸ ἦθος, ὅθεν καὶ ἠθοποιΐα προσαγορεύεται· οἷον, τίνας ἂν εἴποι λόγους Ἡρακλῆς Εὐρυσθέως ἐπιτάσσοντος[4]· ἐνταῦθα ὁ μὲν Ἡρακλῆς ἔγνωσται, τὸ δὲ τοῦ λέγοντος ἦθος πλαττόμεθα[5]. Εἰδωλοποιΐα δὲ ἡ πρόσωπον μὲν ἔχουσα γνώριμον, τεθνεὸς[6] δὲ, καὶ τοῦ λέγειν παυσάμενον· ὡς ἐν Δήμοις[7] Εὔπολις ἔπλασεν, καὶ Ἀριστείδης ἐν τῷ ὑπὲρ τῶν τεσσάρων[8]· ὅθεν καὶ εἰδωλοποιΐα προσαγορεύεται· προσωποποιΐα δὲ, ὅταν ἅπαντα[9] πλάττηται, καὶ ἦθος, καὶ πρόσωπον, ὥσπερ ἐποίησε Μένανδρος ἔλεγχον[10]. ὁ γὰρ ἔλεγχος πρᾶγμα μὲν, οὐ μὴν ἔτι καὶ πρόσωπον· ὅθεν καὶ προσωποποιΐα προσαγορεύεται. πλάττεται γὰρ μετὰ τοῦ[11] ἤθους καὶ πρόσωπον· ἡ μὲν οὖν διαίρεσις αὕτη· τῶν δὲ ἠθοποιῶν αἱ μέν εἰσι παθητικαὶ, αἱ δὲ ἠθικαὶ, αἱ δὲ μικταί. καὶ παθητικαὶ μὲν, αἱ κατὰ[12] πάντα πάθος ση-

---

1 Vind. περὶ. 2 Ald. Junt. ἰδωλοπ. et paullo post ἠθοποποιΐα. 3 Mon. 1. ἠθ. μὲν οὖν ἐστιν. 4 Mon. 2. προστάσσοντος. 5 Ald. Junt. πραττόμεθα. a Mon. 2. ἐνταῦθα ὁ μὲν Ἡρ. — — πλαττόμεθα absunt. 6 Edd. Mon. 2. τεθνεὼς. sq. δὲ Mon. 2. om. 7 Comoedia sic nuncupata. Scheff. 8 Quae oratio ipsius hodieque exstat. Scheff. Miltiades pag. 162. loquens inducitur: p. 228. Miltiades, Themistocles, Cimon et Pericles. 9 Vind. ἅπαν. Ald. Junt. πλάτηται. Mon. 1. πλάττη. sed erasum est aliquid. 10 Vertunt, in argumento, item, in redargutione. Puto agi de Comoedia, cujus titulus fuit ἔλεγχος, et in qua Menander Elenchum, ut personam aliquam fecit loquentem. Caeterum hoc, quantum scio, ex Aphthonio solo intelligimus, nam alii non meminerunt. Scheff. 11 τοῦ Vind. om. 12 κατὰ Vind. Mon. 1. om. pro πάντα

Digitized by Google

μαίνουσαι· οἷον, τίνας ἂν εἴποι λόγους Ἑκάβη κειμένης τῆς Τροίας· ἠθικαὶ δὲ αἱ μόνον ἦθος εἰσφέρουσαι· οἷον, τίνας ἂν εἴποι λόγους ἠπειρώτης ἀνὴρ [13] πρῶτον θεασάμενος θάλασσαν [14]· μικταὶ δὲ αἱ τὸ συναμφότερον ἔχουσαι· οἷον, τίνας ἂν εἴποι λόγους Ἀχιλλεὺς ἐπὶ Πατρόκλῳ κειμένῳ, βουλευόμενος πολεμεῖν [15]. Ἦθος μὲν [16] γὰρ ἡ βουλὴ, πάθος δὲ φίλος [17] πεσών. Ἐργάσῃ δὲ τὴν ἠθοποιΐαν χαρακτῆρι σαφεῖ, συντόμῳ, ἀνθηρῷ, ἀπολύτῳ, ἀπηλλαγμένῳ πάσης πλοκῆς τε καὶ σχήματος· καὶ διαιρήσεις ἀντὶ κεφαλαίων τοῖς τρισὶ χρόνοις, ἐνεστῶτι, παρῳχηκότι, καὶ μέλλοντι.

Ἠθοποιΐα Παθητικὴ [18].

Τίνας ἂν εἴποι λόγους Νιόβη κειμένων τῶν παίδων.

Οἵαν ἀνθ' οἵας ἀλλάσσομαι τύχην, ἄπαις, ἡ πρὶν εὔπαις δοκοῦσα; καὶ περίεστη τὸ πλῆθος εἰς ἔνδειαν, καὶ μήτηρ ἑνὸς οὐχ ὑπάρχω παιδὸς, ἡ πολλῶν τοῦτο [19] δόξασα πρότερον. ὡς ἔδει τὴν ἀρχὴν μὴ τεκεῖν, ἢ τίκτειν εἰς δάκρυα. τῶν οὐ τεκουσῶν [20] αἱ στερηθεῖσαι εἰσὶν ἀτυχέστεραι· τὸ γὰρ εἰς πεῖραν ἧκον ἀνιαρὸν εἰς ἀφαίρεσιν [21]· ἀλλ' οἴμοι, παραπλησίαν ἔχω τῷ τεκόντι τὴν τύχην. Ταντάλου [22] προῆλθον, ὃς συνδιητᾶτο μὲν τοῖς [23]

Mon. 1. πᾶν. 13 Mon. 1. ἀνὴρ ἠπειρ. 14 Mon. 1. θάλαττταν. 15 Mon. 2. πόλεμον. 16 μὲν Vind. om. 17 Vind. φίλον. 18 παθητικὴ Vind. om. 19 Sc. μήτηρ ὑπάρχειν. Cfr. Dem. Lept. p. 499. ὅτι παντάπασι φύσεως κακίας σημεῖόν ἐστιν ὁ φθόνος, καὶ οὐκ ἔχει πρόφασιν, δι' ἣν ἂν τύχοι συγγνώμης ὁ τοῦτο πεπονθώς. Eur. Suppl. 192. αὐτὸς ἂν τίκτῃ μέλη, χαίροντα τίκτειν· ἦν δὲ μὴ πάσχῃ τόδε etc. Vide Krüger. ad Dion. Hal. Ep. ad Pomp. 7. 20 Vind. τεκόντων οἱ στερηθέντες ἐ. ἀτυχέστεροι. 21 Apte Schol. Ald. confert Thucydidis locum II. 44. καὶ λύπη οὐχ ὧν ἄν τις μὴ πειρασάμενος ἀγαθῶν στερίσκηται, ἀλλ' οὗ ἂν ἐθὺς γενόμενος ἀφαιρεθείη. 22 Sic Hyginus fab. 9. et

Digitized by Google

θεοῖς· θεῶν δὲ μετὰ τὴν[24] συνουσίαν ἐξέπιπτε· καὶ καταστᾶσα Ταντάλου, βεβαιῶ τὸ γένος τοῖς ἀτυχήμασι[25]· συνήφθην Λητοῖ[26], καὶ διὰ ταύτην κακοπραγῶ, καὶ τὴν ὁμιλίαν[27] εἰς ἀφαίρεσιν εἵληφα παίδων, καὶ τελευτᾷ μοι πρὸς συμφορὰς συνουσία θεοῦ. Πρὶν εἰς πεῖραν ἀφικέσθαι Λητοῦς, ζηλωτοτέρα μήτηρ ὑπῆρχον· καταστᾶσα δὲ γνώριμος ἀπορῶ γονῆς, ἣν πρὸ τῆς πείρας εἶχον εἰς πλῆθος· καὶ νῦν ἑκατέρων παίδων κεῖταί μοι γόος, καὶ θρηνεῖν ἀπορώτερον, ὃ κατέστη σεμνότερον· ποῖ τράπωμαι; τίνων ἀνθέξωμαι; ποῖος ἀρκέσει μοι τάφος πρὸς ὅλων παίδων κειμένων ὅλεθρον; ἐπιλείπουσι πρὸς τὰς συμφορὰς αἱ τιμαί· ἀλλὰ τί ταῦτα ὀδύρομαι, παρὸν αἰτῆσαι θεοὺς ἑτέραν ἀλλάξασθαι φύσιν; μίαν τῶν ἀτυχημάτων τεθέαμαι λύσιν, μεταστῆναι πρὸς τὰ μηδὲν αἰσθανόμενα· ἀλλὰ μᾶλλον δέδοικα, μὴ καὶ τοῦτο φανεῖσα, μείνω δακρύουσα.

Cap. XII.

Ὅρος[1] ἐκφράσεως.

Ἔκφρασίς ἐστι λόγος περιηγηματικὸς, ὑπ' ὄψιν ἄγων ἐναργῶς τὸ δηλούμενον. Ἐκφραστέον δὲ πρόσωπά τε καὶ πράγματα, καιρούς τε καὶ τόπους, ἄλογα ζῶα καὶ πρὸς τούτοις φυτά· πρόσωπα μὲν, ὥσπερ[2] Ὅμηρος [ἐν[3] τῇ Ὀδυσσείᾳ περὶ τοῦ Εὐρυβάτου]

Ovid. VI. Met. Alii aliter. Scheff. 23 τοῖς Vind. Mon. 1. om. 24 τὴν Vind. Mon. 1. om. 25 Edd. et Monn. ἀτυχήμασιν. Vind. ἀτυχήμασι. 26 De hac familiaritate praeter nostrum unicus testatur Libanius in simili Progymnasmate. Caetèri omnes contrarium prodidere. Scheff. 27 Ald. Junt. ὁμοιλίαν. Vind. Mon. 2. ὁμηλίαν. Mon. 1. Port. ὁμιλίαν.

1 Vind. περί. 2 Mon. 2. οἷον. ad marg. ὥσπερ. 3 ἐν τῇ Ὀδ. περὶ τ. Εὐρ. Vind. Monn. om. sepsi tanquam glos-

Digitized by Google

Γυρὸς ἔην[4] ὤμοισι, μελάγχροος, οὐλοκάρηνος.

πράγματα δὲ, ὡς ναυμαχίας, καὶ πεζομαχίας, ὥσπερ ὁ συγγραφεὺς[5]· καιροὺς δὲ, ὡς ἔαρ, καὶ θέρος, φράζων ὁπόσα παρ' αὐτὰ τῶν ἀνθέων προέρχεται· τόπους δὲ, ὡς αὐτὸς ὁ Θουκυδίδης[6] τὸν λιμένα τῶν Θεσπρωτῶν εἶπε Χειμέριον, καθάπερ ἔχει σχήματος. Ἐκφράζοντας δὲ δεῖ πρόσωπα μὲν ἀπὸ τῶν πρώτων ἐπὶ τὰ τετευταῖα ἰέναι[7], τουτέστιν ἀπὸ κεφαλῆς ἐπὶ πόδας· πράγματα δὲ ἀπὸ τῶν πρὸ αὐτῶν τε, καὶ ἐν αὐτοῖς, καὶ ὅσα ἐκ τούτων ἐκβαίνειν φιλεῖ· καιροὺς δὲ καὶ τόπους, ἐκ τῶν περιεχόντων[8] καὶ[9] ἐν αὐτοῖς ὑπαρχόντων. Τῶν δὲ ἐκφράσεων αἱ μέν εἰσιν ἁπλαῖ, αἱ δὲ συνεζευγμέναι· καὶ ἁπλαῖ μὲν, ὡς[10] αἱ πεζομαχίας ἢ ναυμαχίας διεξερχόμεναι· συνεζευγμέναι δὲ, ὡς αἱ πράγματα καὶ καιροὺς ἅμα συνάπτουσαι, ὥσπερ ὁ Θουκυδίδης τὴν ἐν Σικελίᾳ[11] νυκτομαχίαν ἐκφράζει· μετὰ γὰρ τῆς μάχης ὅπως ἐπράττετο, καὶ νυκτὸς ὅπως[12] εἶχεν, ὡρίσατο. Ἐκφράζοντας δὲ δεῖ τόν τε χαρακτῆρα ἀνειμένον ἐκφέρειν[13], καὶ διαφόροις ποικίλλειν τοῖς σχήμασι, καὶ ὅλως ἀπομιμεῖσθαι τὰ ἐκφραζόμενα πράγματα.

Ἔκφρασις τῆς ἐν Ἀλεξανδρείᾳ[14] ἀκροπόλεως.

Αἱ ἀκροπόλεις δὲ ἄρα ταῖς πόλεσιν εἰς κοινὴν[15] μὲν

---

sam: Ald. Junt. πρὸς τὸν Εὐρυβάτην. Port. περὶ τοῦ Εὐρυβάτου. 4 Vind. ἐν. tum idem et Mon. 1. μελανόχροος. Od. T. 246. 5 ὁ συγγραφεὺς aut συγγραφεὺς secundum excellentiam hic ponitur pro Thucydide, quod alibi non recordor fieri, aut, quod magis credo, amissa vox est, ὁ Θουκυδίδης, cum praesertim sequatur, ὡς αὐτὸς ὁ Θουκυδίδης, quod αὐτὸς sine respectu ad simile praecedens vix potest aptum videri. Scheff. 6 libro II. 7 ἰέναι Vind. om. 8 Doxop. τινὲς τὸ περιεχόντων ἀντὶ τοῦ ἀπὸ τῶν περιεχομένων φασὶ τεθεῖσθαι ἀττικῶς. 9 Junt. Port. καὶ om. Vind. καὶ ἐν ἀ. ὑπαρχόντων om. 10 Mon. 1. ὡς πεζομ. ἢ ναυμ. εἴ τις ἐκφράσειε. 11 libro VIII. 12 Vind. πῶς. 13 Mon. 1. προφέρεσθαι. 14 Ald. Monn. τῆς ἀκρο-

Digitized by Google

ἐστᾶσιν ἀσφάλειαν· πόλεων γὰρ ἄκραι γεγόνασι· τειχίζονται δὲ οὐ[16] μᾶλλον αὐταὶ τοῖς οἰκήμασιν, ἢ τὰς πόλεις τειχίζουσι[17]. Καὶ τὴν μὲν Ἀθηναίων[18] ἀκρόπολιν μέσος Ἀθηνῶν περιείληφε[19] χῶρος· ἄκραν δὲ ἣν Ἀλέξανδρος τῆς οἰκείας[20] τίθεται πόλεως οἷς προσηγόρευσεν εἴργασται· πρὸς ἄκρον γὰρ ἔστησε[21] πόλεως, καὶ γνησιώτερον[22] αὐτὴν ἐστι προσειπεῖν ἀκρόπολιν, ἢ ἐφ' ᾗ φρονεῖν Ἀθηναῖοι παρέλαβον· ἔχει γὰρ ὧδέ πως[23], ὡς ὁ λόγος διέξεισιν· ἄκρα τις ἐξανέχει τῆς γῆς, μέχρι μὲν πολλοῦ προϊοῦσα εἰς ὕψος, καλουμένη δὲ δι' ἀμφότερον[24] ἀκρόπολις, οἷς τε εἰς ἄκρον ἐπαίρεται, καὶ οἷς ἐπ'[25] ἄκρῳ τέτακται πόλεως· ὁδοὶ δὲ ἐπὶ ταύτην οὐκ ἴσαι[26]· τῇ μὲν γὰρ ὁδὸς, τῇ δὲ γέγονεν εἴσοδος· καὶ τὰς προσηγορίας, αἱ ὁδοὶ μεταβάλλουσιν, ὡς ἔχουσι τρόπου[27] καλούμεναι· τῇ μὲν γὰρ ὑπάρχει[28] ποδὶ προσελθεῖν, καὶ

πόλεως τῆς Ἀλεξανδρείας. Junt. Port. alterum τῆς om. Vind. τῆς ἐν Ἀλ. ἀκρ. 15 Ald. Junt. κεινήν. 16 In Mon. 1. οὐ erasum est. pro αὐταὶ legitur αὖται. 17 Edd. Mon. 1. τειχίζουσιν. Mon. 2. Vind. Par. τειχίζουσι. 18 Ita Aristides, ejusdemque scholiastes. Vide Meursium in peculiari de arce illa libello, cujus nomen Cecropia. Scheff. 19 Par. Vind. Mon. 2. παρείληφε. 20 Mon. 2. οἰκίας. 21 Vind. ἔστηκε. 22 Par. inserit ἄν. Mon. 2. γνησιωτέραν ἀ. ἐ. προσ. τὴν ἀκρόπ. 23 πως Mon. 1. om. 24 Ald. Junt. Monn. ἀμφοτέρων. Vind. Port. ἀμφότερον. Ita Dem. in Mid. p. 515. ἠξίουν καὶ παρεκελεύοντο ἐπεξελθεῖν — — δι' ἀμφότερα, ὦ ἄνδρ. Ἀθην. 25 Vind. Mon. 1. ἐν. 26 Sunt haec admodum obscura. Puto autem agi non de viis duabus, una ab hac, alia ab alia parte, quasi per duas vias, duasque partes aditus patuisset, sed eandem viam in imo quidem fuisse commodam, tum factam abruptam, ut in arcem non nisi per gradus, eosque centūm quis potuerit eniti. Scheff. 27 Edd. Mon. 1. Vind. τρόπων. Port. ad marg. γρ. τόπου. Par. Mon. 2. τρόπου. 28 Ald. Junt.

Digitized by Google

κοινῇ[29], καὶ πρὸς ἅμαξαν τοῖς εἰσιοῦσιν ὁδός· τῇ δὲ, προσανεσπάσθησαν ἀναβαθμοὶ, ἔνθα διελθεῖν ἁμάξαις[30] ἄβατον· κλίμαξ γὰρ ἐπὶ κλίμακι δίδωσιν ἀεὶ τὸ μεῖζον, ὡς ἐξ ἐλάττονος ἄγουσα, καὶ ἀνάγει μετεωρότερον, πρὶν εἰς ἑκατὸν ἥκειν οὐ λήγουσα· πέρας γὰρ ἀριθμοῦ τελευτὴ πρὸς ἐντελὲς ἐκφέρουσα μέτρον· προπύλαιον δὲ διαδέχεται κλίμακας[31] μετρίαις κιγκλίσι περικλειόμενον· καὶ τέτταρες μὲν ἀνέχουσι[32] μέγισται κίονες, ὁδοὺς παντοδαπὰς ἐπὶ μίαν εἴσοδον ἄγουσαι· ταῖς δὲ δὴ κίοσιν ἐπανέχει τις οἶκος μετρίας[33] προβαλλόμενος κίονας, αἳ χροιὰν μὲν οὐχὶ μίαν[34] παρέχουσι, παραβαλλόμεναι δὲ τῇ κατασκευῇ παραπεπήγασι κόσμος[35]. Ὀροφὴ δὲ τῷ οἴκῳ προῆλθεν εἰς κύκλον· παρὰ[36] δὲ τῷ κύκλῳ μέγα τῶν ὄντων ὑπόμνημα πέπηγεν[37]· εἰσίοντι[38] δὲ παρ' αὐτὴν τὴν ἀκρόπολιν τέτταρσι[39] πλευραῖς εἷς χῶρος[40] ἴσαις διήρηται, καὶ τὸ σχῆμα πλαίσιον τυχχάνει τοῦ μηχανήματος· αὐλὴ δὲ κατὰ μέσον περίστυλος· καὶ τὴν μὲν αὐλὴν στοαὶ διαδέχονται· στοαὶ δὲ ἴσαις διαιρούμεναι κίοσι[41], καὶ μέτρον αὐταῖς, μεθ' ὅ, τι πλέον οὐχ ὑπάρχει λαβεῖν· ἑκάστη δὲ στοὰ τελευτᾷ πρὸς ἐγκαρσίαν ἑτέ-

Monn. ὑπάρχειν. Vind. Port. ὑπάρχει. 29 Vind. καὶ κοινὴ πρὸς ἅμαξ. 30 Mon. 1. ἁμάξας. 31 Ald. Junt. Vind. Mon. 2. Par. κλίμακος. Mon. 1. Port. κλίμακας. 32 Par. Mon. 2. ἀνέχουσαι. 33 Vind. addit: πολλάς. 34 Editiones veteres χροιὰν μὲν οὐχ ὁμοίαν ex quo Portus faciebat, οὐχὶ μίαν, quod non displicet, tali sensu, quamlibet habuisse colorem non unum simplicemque, sed multiplices et varios. Scheff., ipse habet χροιὰς μὲν οὐχ ὁμοίας. recepi Porti conjecturam, quam confirmat Vind. 35 Edd. Monn. κόσμον. Port. γρ. κόσμος. ita Par. et Vind. recte, nam πέπηγα sensum passivum habet. 36 Mon. 1. Vind. περί. 37 Vind. γέγονεν. 38 Vind. εἴσω δέ. Mon. 1. εἰσιόντι δέ τινι. 39 Par. τέτρασι. De forma πλευραῖς vide Lobeck. ad Aj. 1240. Monk. et Wüstem. ad Eur. Alc. 376. 40 Mon. 2. εἰς χώρους ἴσους. 41 Edd. Monn.

Digitized by Google

ραν, καὶ κίων διπλῆ πρὸς ἑκατέραν διαιρεῖται στοάν, τῆς μὲν αὖ λήγουσα, τῆς δ' αὖ πάλιν κατάρχουσα. παρῳκοδόμηνται[42] δὲ σηκοὶ τῶν στοῶν ἔνδοθεν, οἱ μὲν ταμίαι[43] γεγενημένοι ταῖς βίβλοις, τοῖς φιλοπονοῦσιν ἀνεῳγμένοι φιλοσοφεῖν, καὶ πόλιν ἅπασαν εἰς ἐξουσίαν τῆς σοφίας ἐπαίροντες· οἱ δὲ τοὺς πάλαι τιμᾷν ἱδρυμένοι θεούς. ὀροφὴ[44] δὲ στοαῖς, ἣν χρυσὸς κατεσκεύασε[45], καὶ κορυφαὶ κίοσι χαλκῷ μὲν δεδημιουργημέναι, χρυσῷ δὲ συγκρυπτόμεναι[46]. Τῆς μὲν οὖν αὐλῆς οὐχ εἷς ἅπας ὁ κόσμος· ἄλλο[47] μὲν γὰρ ἄλλως ἦν· τὸ δὲ τὰ Περσέως εἶχεν ἀθλήματα· καὶ μέσον ἀνέχει τις κίων, μῆκος μὲν ὑπερέχουσα, κατάδηλον δὲ ποιοῦσα τὸν χῶρον· οὔπω τις προβὰς, ὅποι[48] πρόεισιν ἔγνωκε, μὴ[49] σημείῳ τῇ κίονι τῶν ὁδῶν χρώμενος· καὶ περιφανῆ ποιεῖ τὴν ἀκρόπολιν πρὸς γῆν τε καὶ θάλατταν· ἀρχαὶ[50] δὲ τῶν ὄντων τῇ τῆς[51] κίονος κορυφῇ περιεστήκασι, καὶ πρὶν εἰς[52] μέσην διελθεῖν

κίοσιν. Par. Vind. κίοσι. mox Vind. καὶ τὸ μέτρ. 42 Par. Mon. 1. προῳκοὶ. Vind. προσπαρῳκοί. 43 Port. ταμεῖα. 44 Mon. 1. ὀροφαὶ δὲ στοαῖς. supra lin. ταῖς. 45 Vind. κατεσκεύασε. 46 Mon. 2. συγκοπτόμεναι. Mon. 1. manu recentiori συγκεχρισμέναι. 47 Port. ad marg. γρ. ἄλλῳ μὲν γὰρ ἄλλο. Vind. ἄλλο μὲν γὰρ ἄλλῳ. Edd. et Par. Mon. 2. ἄλλο μὲν γὰρ ἄλλως. Mon. 1. ἄλλος μὲν γὰρ ἄλλως: idem conjecerat Scheff.: „Veteres ἄλλο μὲν γὰρ ἄλλως, unde Portus: ἄλλῳ μὲν γὰρ ἄλλο. An scribendum, ἄλλος μὲν γὰρ ἄλλῳ?" 48 Edd. Mon. 2. Vind. ὅπη. Par. Mon. 1. ὅποι. 49 μὴ Vind. om. Doxop. διπλῆ ἡ γραφή· τὰ μὲν γὰρ τῶν βιβλίων σημείῳ τῇ κίονι ἔχει, χωρὶς τοῦ μὴ ἐπιῤῥήματος, τὰ δὲ μὴ σημείῳ, μετὰ τοῦ μή· ἀποδέχεται δὲ τὴν προτέραν γραφὴν ὁ Γεωμέτρης, περὶ μὲν τῆς δευτέρας λέγων, μὴ εἶναι θαυμαστὸν, εἰ μή τις οἶδεν, ὅπη πρόεισι, μὴ σημείῳ τῇ κίονι τῶν ὁδῶν χρησάμενος. 50 Vertunt, principia rerum, primaque elementa. Verum locus mihi totus mutilus corruptusque videtur. Sane, quid hic elementa faciant, non video. Scheff. 51 τῆς Par. om. 52 εἰς Vind. Mon. 1.

Digitized by Google

τὴν αὐλήν, ἵδρυται κατασκεύασμα διηρημένον πρὸς πύλας, ὅσαι τοῖς πάλαι θεοῖς ὀνομάζονται[53]· δύο δὲ ὀβελοὶ ἀνεστήκασι λίθινοι, καὶ κρήνη τῆς[54] τῶν Πεισιστρατιδῶν[55] ἄμεινον ἔχουσα· καὶ τὸ θαῦμα γέγονεν ἄπιστον, τῶν κατασκευασάντων ἔχον τὸν ἀριθμόν. ὥσπερ γὰρ ἑνὸς οὐκ ἀρκοῦντος εἰς ποίησιν, δημιουργοὶ τῆς ὅλης ἀκροπόλεως ὤφθησαν ἐπὶ δέκα δύο προσκείμενοι· κατιόντι δὲ τῆς ἀκροπόλεως, τῇ μὲν ὁμαλὸς διαδέχεται χῶρος σταδίῳ προσεοικώς, ὃ καὶ τῷ χώρῳ[56] γεγένηται κλῆσις· τῇ δὲ ἕτερος μὲν διηρημένος πρὸς ὅμοια, οὐ πρὸς ἴσον δὲ φερόμενος[57]· τὸ μὲν δὴ κάλλος κρεῖττον, ἢ λέγειν· εἰ δέ τι[58] παρεῖται, ἐν[59] παρενθήκῃ γεγένηται θαύματος. οἷς γὰρ οὐκ ἦν εἰπεῖν, παραλέλειπται.

Cap. XIII.

Ὅρος[1] Θέσεως.

Θέσις ἐστὶν ἐπίσκεψις λογικὴ θεωρουμένου[2] τινὸς πράγματος. Τῶν δὲ θέσεων αἱ μέν εἰσι πολιτικαὶ, αἱ δὲ θεωρητικαί· καὶ πολιτικαὶ μὲν αἱ πρᾶξιν ἔχουσαι πόλιν συνέχουσαν· οἷον, εἰ γαμητέον, εἰ πλευστέον, εἰ τειχιστέον· ταῦτα γὰρ πάντα πόλιν συνέχει γινόμενα· θεωρητικαὶ δὲ, αἱ μόνῳ τῷ νῷ[3] θεωρούμεναι· οἷον, εἰ σφαιροειδὴς ὁ οὐρανὸς, εἰ κόσμοι πολλοί. Ταῦτα δὲ[4] εἰς

om. 53 Scheff. ἐπονομάζονται. in notis: „Veteres simpliciter ὀνομάζονται. Portus volebat ὠνομάζοντο. 54 Par. Vind. τῆς om. 55 Doxop. Τινὲς δὲ παροξυτόνως ἀνέγνων, καὶ κρήνη τῶν Πεισιστρατίδων ἄμεινον ἔχουσα, ὡς εἶναι τὰς Πεισιστρατίδας κρήνας, διὰ τὸ τὸν Πεισίστρατον ἀνακάθαραι αὐτάς. 56 Vind. τῷ χωρίῳ γέγονε. 57 Mon. 1. Vind. addunt μέτρον. 58 Mon. 1. τι καί, tum Vind. παραλέλειπται. 59 ἐν recepi ex Par. Mon. 2.

1 Vind. περί. 2 Mon. 2. θεωρουμένη. 3 Vind. μόνῳ θεωρ. τῷ νῷ. 4 Mon. 1. γάρ.

Digitized by Google

πεῖραν μὲν[5] ἀνθρώποις οὐκ ἔρχεται, μόνῳ δὲ θεωρεῖται τῷ νῷ· διενήνοχε δὲ θέσις ὑποθέσεως, τῷ τὴν μὲν ὑπόθεσιν ἔχειν περίστασιν, τὴν δὲ θέσιν ἀπερίστατον εἶναι. περίστασις δέ ἐστι[6] πρόσωπον, πρᾶγμα, αἰτία, καὶ τὰ λοιπά. οἷον, τὸ μὲν εἰ τειχιστέον, ἐπίσκεψις[7] οὐκ ἔχουσα πρόσωπον· τὸ δὲ, ἐπίοντων Περσῶν, Λακεδαιμόνιοι βουλεύονται τειχίσαι[8] τὴν Σπάρτην, ὑπόθεσις· πρόσωπον γὰρ ἔχει Λακεδαιμονίοις σκοποῦντας, πρᾶγμα δὲ τὸ τειχισθῆναι τὴν Σπάρτην, αἰτίαν[9] δὲ ἐπίοντας τοὺς Πέρσας· πρῶτον δὲ ἡ θέσις ἐν προγυμνάσμασιν, ἀντίθεσιν καὶ λύσιν κατὰ ζήτημα δέχεται· διαιρεῖται τοίνυν ἡ θέσις, πρῶτον μὲν τῇ καλουμένῃ ἐφόδῳ[10], ἣν ἀντὶ προοιμίων ἐρεῖς· εἶτα χρήσῃ τοῖς τελικοῖς κεφαλαίοις, νομίμῳ, δικαίῳ, συμφέροντι, δυνατῷ.

Θέσις[11] εἰ γαμητέον.

Ὁ τὸ πᾶν ἐν βραχεῖ τιμῆσαι ζητῶν, ἐπαινείτω τὸν γάμον, προῆλθε μὲν γὰρ οὐρανοῦ, μᾶλλον δὲ οὐρανὸν πληροῖ[12] τῶν θεῶν, καὶ κατέστη πατὴρ τῶν, ὅθεν τὸ πατρὸς ὄνομα δίδοται[13]· καὶ θεοὺς ἐνεγκὼν φυλάττειν αὐτοὺς ἀφῆκε τὴν φύσιν. εἶτα εἰς γῆν προελθὼν, ἅπασι τοῖς λοιποῖς ἐπιφέρει τὴν γένεσιν. καὶ παρενεγκὼν ἃ μένειν οὐκ οἶδεν, τὸ μένειν αὐτὰ ταῖς διαδοχαῖς ἐσοφίσατο[14]. καὶ πρῶτον μὲν ἄνδρας[15] εἰς ἀνδρείαν[16] ἐπαίρει. δι' ὧν γὰρ παῖδας καὶ γυναῖκας οἶδεν[17] ἄγειν ὁ γάμος, ὑπὲρ ὧν πράττεται πόλεμος, ἐρρῶσθαι δίδωσι ταῖς αὐ-

5 μὲν Vind. om. 6 Edd. et Monn. ἐστὶν. Vind. ἐστί. 7 Mon. 1. θέσις, superscripto ἐπίσκεψις. 8 Ald. Junt. Mon. 1. 2. τειχισθῆναι. Vind. Port. τειχίσαι. 9 Vind. ἔτι δὲ αἰτίαν. 10 Sic appellat Plato etiam. Scheff. 11 Eadem Thesis etiam apud Libanium tractata reperitur. 12 Ald. Junt. πληρεῖ. 13 Vind. δίδοται. 14 Vind. ἐχαρίσατο. 15 Vind. ἀνθρώπους. 16 Mon. 1. ἀνδρίαν. 17 Mon. 1. ἄγειν οἶδεν.

Digitized by Google

τοῦ δωρεαῖς. εἶτα δικαίους σὺν ἀνδρείοις[18] ποιεῖ· δι' ὧν γὰρ φιλοτιμεῖται τὰ γένη περὶ[19] ὧν ἄνθρωποι δίκαια πράττουσι δείσαντες, ὁ γάμος δικαίους ἅμα καὶ ἀνδρείους ἀποτελεῖ· καὶ μὴν καὶ σοφοὺς, οἷς προνοεῖσθαι τῶν φιλτάτων ἐπαίρει. καὶ τὸ παράδοξον[20], σωφροσύνην οἶδε κομίζειν ὁ γάμος, καὶ ἐν[21] τῇ φιλοτιμίᾳ τῶν ἡδονῶν τὸ[22] σωφρονεῖν ἀναμέμικται. δι' ὧν γὰρ νόμον ταῖς ἡδοναῖς ἐπιτίθησι, νόμῳ παρέχει σωφροσύνης[23] τὰς ἡδονὰς, καὶ τὸ κατηγορηθὲν αὐτὸ καθ' αὑτὸ σὺν τῷ γάμῳ θαυμάζεται. εἰ τοίνυν ὁ γάμος ἄγει μὲν τοὺς θεοὺς, καὶ μετ' αὐτοὺς τῶν γενῶν τὸ[24] καθ' ἕκαστον, ἀνδρείους τε[25] ἅμα καὶ δικαίους ἀποτελεῖ, καὶ σοφοὺς παρασκευάζει καὶ σώφρονας, πῶς οὐκ εἰς ὅσον οἷόντε τιμητέον τὸν γάμον;

Ἀντίθεσις. Ναί φησιν, ἀλλ' ὁ γάμος συμφορῶν αἴτιος.

Λύσις. Τύχης μοι δοκεῖς, οὐ τοῦ γάμου κατηγορεῖν. ἃ μὲν γὰρ κακοπραγοῦντες πάσχουσιν ἄνθρωποι[26], τύχη παρέσχεν, οὐ γάμος. ἃ δὲ φιλοτιμεῖται τοῖς ἀνθρώποις ὁ γάμος, οὐκέτι ταῦτα κέρδος ἐκ τύχης. ὥστε θαυμάσαι μᾶλλόν ἐστι τὸν γάμον, ὧν ἔχει καλῶν, ἢ κατηγορῆσαι[27] δεινῶν ὧν παρέσχεν ἡ τύχη. εἰ δὲ δὴ καὶ τὰ μάλιστα γάμῳ δοίημεν τὰ τῶν ἀνθρώπων φαυλότατα, τί μᾶλλόν ἐστιν[28] ἀποστατέον τοῦ γάμου; οὐχ ὅσα γὰρ[29] ἂν τοῖς πράγμασι[30] προσῇ δυσχερῆ, ταῦτα καὶ φυγὴν

---

18 Vind. ἀνδρείους. 19 Portus [ad marg.] ὑπὲρ ὧν, atque ita habet in superioribus. 20 Mon. 2. παράλογον. 21 καὶ ἐν τῇ Mon. 2. om. 22 τὸ Mon. 1. om. 23 Vind. σωφροσύνης. 24 Vind. τὰ καθ' ἕκαστα. Mon. 2. τὰ καθέκαστον. 25 Vind. δέ. 26 Mon. 1. ἄνθρωποι πάσχουσιν. Vind. ἄνθρωποι πράττουσι. 27 Vind. κατηγορεῖσθαι. 28 Edd. Monn. ἐστι ἀπ. Vind. ἐστὶν. 29 γὰρ ex Vind. recepi. 30 Edd. Mon. 1.

Digitized by Google

τῶν πραγμάτων ἐργάζεται. καί μοι τὰς καθ' ἕκαστον ἐξέταζε τέχνας, αἷς πρόσεστιν[31] ὅ, τι δήπου καταιτιᾷ. τοὺς γεωργοῦντας ἐνοχλοῦσι σκηπτοί, καὶ τῆς χαλάζης ἐμβολαὶ διαφθείρουσιν[32]. οὐ μὴν οἷς γεωργοῖς[33] τὴν γῆν διαφθείρει σκηπτὸς, τὴν γῆν ἀποφεύγουσιν, ἀλλὰ γεωργοῦντες ἐμμένουσιν, κἂν ἐξ οὐρανοῦ τι λυπῇ[34] προσιόν. αὖθις ἀτυχοῦσιν ἄνθρωποι πλέοντες, καὶ τὰς ναῦς διαφθείρουσιν ἐπιόντες[35] χειμῶνες· οὐ μὴν ἐνθένδε τὸ πλεῖν καταλύουσιν, οἷς ἐν μέρει πεπόνθασιν. ἀλλ' ἀνάγουσι μὲν εἰς τὴν τύχην τὸ δυσχερὲς, ἀναμένουσι δὲ τὸν ἀπὸ θαλάσσης γινόμενον πόρον. καὶ μὴν αἵ τε μάχαι καὶ πόλεμοι τὰ τῶν ἀγωνιστῶν διαφθείρουσιν σώματα, καὶ οὐχ ὅτι πεσοῦνται μαχθμενοι, τὰς μάχας ἐκλείπουσιν, ἀλλ' ὅτι πολεμοῦντες θαυμάζονται, καὶ πεσεῖν ἠγαπήκασιν, καὶ τὸ προσὸν ἀτυχὲς ἐκ τοῦ συνόντος ἀγαθοῦ συναπέκρυψαν. οὐ γὰρ διὰ τὰ φαῦλα φευκτέον ὅσα τῶν ἀγαθῶν, ἀλλ' ἕνεκα τῶν καλῶν ὑποιστέον τὰ χείριστα. οὐκοῦν ἄλογον γεωργοὺς μὲν, καὶ πλέοντας, καὶ πρὸς τούτοις ὅσοι στρατεύονται, φέρειν τὰ πρὸς αὐτοὺς δυσχερῆ τῶν ἐπαινουμένων χάριν τῶν σὺν αὐτοῖς[36], ἡμῖν δὲ γάμον ἀτιμαστέον, διότι γάμος ἄγει τι λυπρόν.

Ἀντίθεσις. Ναί φησιν, ἀλλὰ χηρείαν μὲν γυναιξὶν, ὀρφανίαν δὲ παισὶν ἐπεισήνεγκε.

Λύσις. Ταῦτα θανάτου δεινὰ, καὶ τὸ πάθος οἶδεν ἡ φύσις· σὺ δέ μοι δοκεῖς αἰτιᾶσθαι τὸν γάμον, ὅτι μὴ καὶ θεοὺς τοὺς ἀνθρώπους ἐργάζεται· καὶ τοῦ γάμου κατηγορεῖν, ὅτι μὴ θεοῖς τὰ θνητὰ συνηρίθμησε. τί γὰρ,

---

πράγμασιν. Vind. Mon. 2. πράγμαφι. Mon. 2. addit κἂν. 31 Vind. Mon. 1. πρόσεστι μέν. 32 Ald. Junt. διαφθείρουσι. 33 Mon. 2. γεωργοί. Vind. γεωργοὺς, διαφθείρει σκηπτὸς τὴν γῆν. 34 Vind. λυπῇ τι. 35 Edd. Mon. 1. Vind. ἐπίοντος χειμῶνος. Mon. 2. ἐπιόντες χειμῶνες. Doxop. διπλῆ ἡ γραφή· τὰ μὲν γὰρ τῶν βιβλίων ἐπιόντος χειμῶνος ἔχει, τὰ δὲ ἐπιόντες χειμῶνες. 36

Digitized by Google

εἰπέ μοι, γάμου κατηγορεῖς, ἃ πραγματεύεται θάνατος; τί δὲ ὑμεναίων[37] ἐρεῖς, ὅσα φύσις ἐπίσταται; συγχώρει πεσεῖν τὸν ὅπως πεσεῖται γενόμενον. εἰ δὲ πίπτουσι μὲν ὅτι γεγόνασιν ἄνθρωποι, πεσὼν δὲ χηρεύειν[38] μὲν σύνοικον, ὀρφανὸν δὲ παρασκευάζει τὸν ἐξ αὐτοῦ, τί γάμον ἐρεῖς ἀπεργάζεσθαι τὰ παρὰ μόνης γεγονότα τῆς φύσεως; ἐγὼ δὲ αὖ τοὐναντίον, γάμον ἐπανορθοῦσθαι καὶ[39] ὀρφανίαν καὶ χηρείαν[40] ἡγοῦμαι. τέθνηκέ τῳ[41] πατὴρ, καὶ ταύτῃ παῖς ὀρφανός; ἀλλ' ἕτερον ἐπεισήνεγκε πατέρα τοῖς ὀρφανοῖς ὁ γάμος. καὶ τὸ πάθος γάμου μὲν οὐ προέρχεται, γάμῳ δὲ συγκαλύπτεται, καὶ γίνεται γάμος ὀρφανίας ἀφανισμὸς, οὐχ ὑπόθεσις. εἶτα χηρείαν ἐκ τελευτῆς μὲν ἡ φύσις ἤγεν[42], ἐξ ὑμεναίων δὲ μετέθηκε γάμος. ἦν γὰρ χηρεύειν εἰργάσατο[43] θάνατος, ἀνδρὶ συνοικεῖν παρέσχεν ὁ γάμος, ὥσπερ καταστὰς φύλαξ τῆς αὐτοῦ χάριτος. ἃ γὰρ ἐξ ἀρχῆς εἰσηνέγκατο, παρῃρημένα πάλιν ἀπέδωκεν[44]. ὥς τε[45] χηρείαν ἀναιρεῖν, οὐκ ἐπάγειν οἶδεν ὁ γάμος· καὶ μὴν καὶ πατὴρ θανάτῳ μὲν ἀφαιρεῖται παῖδας· γάμῳ δὲ μετέσχεν ἑτέρων. καὶ πατὴρ γίνεται[46] δεύτερον ὁ προσάπαξ[47] εἶναι μὴ συγχωρούμενος

τῶν αὐτοῖς Mon. 1. Vind. om. 37 Locus est corruptus. Ideo et editiones primae [Portus, neque vero Ald. nec Junt.] stellulam hic posuere. Scribo facili mutatione, τί δὲ ὑμεναίων ἀντερεῖς. Syllabam priorem similitudo litterarum sustulit in praecedentis vocis fine. Scheff. Port. ad marg. ἴσως καθ' ὑμ. malim ὑμεναίων κατερεῖς: cfr. epist. crit. p. 6. et 7. Vind. τί δαί. 38 Edd. et Monn. χηρεύει. Vind. πεσὼν δέ τις χηρεύειν, sc. παρασκευάζει. 39 καὶ Mon. 1. om. 40 Vind. χηρίαν. 41 Ald. Junt. Mon. 1. Vind. τεθνηκέτω. Mon. 2. τι θνησκέτω. bene Port. τέθνηκέ τῳ. 42 Mon. 1. Vind. ἦγεν ἡ φύσις. 43 Ald. Junt. ἠργάσατο. 44 Ald. Junt. ἐπέδωκεν. Port. et Codd. ἀπέδωκεν. 45 Vind. τε ὥσπερ. 46 Vind. παίδων δεύτερος. Doxop. δεύτερος· γράφεται καὶ δεύτερος. 47 Du-

νος. τί οὖν τὰ τοῦ[48] γάμου καλὰ πρὸς αἰτίαν μεταφέρεις τοῦ γάμου; καί μοι δοκεῖς οὐκ ἐλέγξαι[49] ζητεῖν, ἀλλ' ἐπαινεῖν τὸν ὑμέναιον· οἷς γὰρ ἐξαριθμεῖν καταναγκάζεις τῶν ὑμεναίων τὰς χάριτας[50], τούτοις ἐπαινέτης, οὐ κατήγορος τοῦ γάμου γεγένησαι[51]· καὶ κατηγορῶν τοῦ γάμου, θαυμάζειν ἡμᾶς ἀναγκάζεις, καὶ ποιεῖς εὐεργετημάτων κατάλογον, τὰ τοῦ γάμου κατηγορήματα.

Ἀντίθεσις. Ναί, φησιν, ἀλλ'[52] ὁ γάμος ἐπίπονον.

Λύσις. Καὶ τί πόνον ἐπίσταται λύειν ὡς[53] γάμος; ὁπόσα πονεῖ[54], δι' ὑμεναίων ἀνήρηται· καὶ ῥαστώνη παντάπασιν εἰς ὁμιλίαν γυναικὶ συνελθεῖν· ἥλικον εἰς εὐνὴν ἀνὴρ γυναικὶ συνιών; μεθ' ὅσης δὲ ῥαστώνης ἐλπίζεται παῖς; καὶ προσδοκώμενος[55] φαίνεται; καὶ πατέρα φανεὶς προσερεῖ; καὶ πρὸς μελέτην ἔρχεται τέχνης, καὶ πατρὶ συνεργῶν, καὶ παρὰ[56] τὰς ἐκκλησίας δημηγορῶν, καὶ πατέρα γηροτροφῶν, καὶ ὅλως ἅπαν ὅ, τι δέοι γινόμενος· οὐκ ἔστι λόγῳ διεξελθεῖν, ἃ φέρειν οἶδεν ὁ γάμος.

Ἐπίλογος. Μέγα ὁ γάμος, καὶ παράγων θεοὺς,

biae fidei videtur hoc adverbium Schneidero in lex., defenditur a Schaefero ad Dem. c. Mid. p. 512. v. 29. 48 τοῦ Mon. 1. Vind. om. 49 Vind. ἐξελέγξαι. 50 Illud χάριτας suspectum mihi est. Ecquid enim mirum hoc, si commemoratione ista laudatur? Neque tamen temere quid muto, cum et supra habeat γάμῃ [sic] καλὰ. Scheff. 51 Vind. Mon. 1. inserunt: πρὸς ταῦτα. 52 Vind. ἀλλὰ ὁ. 53 Ald. Junt. et Monn. ἢ. Vind. ὡς, superscripto ἢ. Port. ὥς. 54 Rursum asteriscum adscribunt, tanquam mutilus esset locus. Ego suspicor ὁπόσα πόνων legendum. Scheff. Suspicionem movit lectio πονεῖν, quae est in Monn. Ald. et Junt., quamquam hae editiones asteriscum non habeant. Vind. Port. et Scheff. ipse πονεῖ. 55 Portus mallet προσδοκηθεὶς. Scheff. Ald. et Junt. προσδοκόμενος. 56 Mon. 1. περί.

καὶ παρέχων θνητοῖς θεοὺς εἶναι δοκεῖν, οἷς μένειν σοφίζεται. καὶ παιδεύει μὲν τοὺς χρωμένους τὰ δίκαια[57], πρὸς δὲ τὸ σῶφρον[58] παροξύνει σκοπεῖν. καὶ φιλοτιμεῖται τὰς ἡδονὰς, ὅσαι μὴ φανεῖσαι[59] κακίζονται. διὸ τὸν γάμον περὶ πλείστου[60] ἐν πᾶσι ποιητέον καθέστηκεν.

Cap. XIV.

Ὅρος[1] νόμου εἰσφορᾶς.

Καὶ τὴν εἰσφορὰν τοῦ νόμου τινὲς εἶναι δεδώκασι γύμνασμα. ἔστι μὲν γὰρ σχεδὸν ὅλη ὑπόθεσις[2], οὐ μὴν ἅπαντα σώζει τὰ τῆς ὑποθέσεως. εἰσάγεται μὲν γὰρ ἐν αὐτῇ πρόσωπον, οὐ μὴν ἐφ' ἅπασι γνώριμον. ὅθεν θέσεως μέν ἐστι μᾶλλον, ἧττον δὲ ὑποθέσεως. οἷς μὲν γὰρ ὅλως σχήματος[3] δέχεται πρόσωπον, ὑπερβαίνει τὴν θέσιν. δι' ὧν δὲ σαφῆ μὴ σώζει τὴν περίστασιν, ὑποθέσεως λείπεται. νόμου τοίνυν ἐστὶν εἰσφορὰ, διπλῆ γυμνασία, συνηγορία, καὶ κατηγορία νόμου τεθέντος. ἔστι δὲ νόμος[4], εὕρημα μὲν καὶ[5] δῶρον θεῶν, δόγμα δὲ ἀνθρώπων φρονίμων, ἐπανόρθωσις[6] δὲ[7] πλημμελημάτων τῶν[8]

57 Ald. δίαια. 58 Vind. σωφρονεῖν. 59 Ald. Junt. φανῆσαι. 60 Mon. 2. πλείους.

1 Vind. περὶ εἰσφορᾶς νόμου. 2 Ergo progymnasmata, quae hactenus proposita, non sunt ὅλαι ὑποθέσεις, sed illarum tantum partes aliquae, quod bene observandum. Vulgo enim aliter de progymnasmatibus judicare consueverunt. ὅλη ὑπόθεσις autem est, quam Latini vocant caussam, id est plenam, integram, justamque materiam, circa quam oratores versantur. Scheff. 3 Mon. 2. σχήματι. Doxop. ἀντίπτωσίς ἐστι τοῦτο· δέον γὰρ εἰπεῖν, σχῆμα προσώπου, σχήματος πρόσωπον εἶπε, καὶ ἔστιν Ἀττικὸν — — — ἔν τινι δὲ τῶν βιβλίων σχήματι δέχεται πρόσωπον εὕρον. 4 Dem. c. Aristogit. A. p. 774. 5 Mon. 2. καί om. 6 Port. Scheff. ex Demosthene receperunt: ἐπανόρθωμα δὲ τῶν ἑκουσίων καὶ ἀκουσίων ἁμαρτημάτων, πόλεως δὲ κοινὴ

εἰς ἀμφότερα· καὶ ἡ μὲν διαίρεσις[9] αὕτη τῆς εἰσφορᾶς τοῦ νόμου. ἐργάσῃ[10] δὲ αὐτὴν κεφαλαίοις, οἷς καὶ τὴν πραγματικὴν[11], νομίμῳ, δικαίῳ, συμφέροντι, δυνατῷ. προοίμια δὲ θήσεις· καὶ μετὰ τὰ προοίμια, τὸ κεκλημένον ἐναντίον. εἶτα χρήσῃ τοῖς προειρημένοις κεφαλαίοις. ὅθεν καὶ ταύτῃ διήνεγκε θέσεως.

Κατηγορία νόμου τοῦ κελεύοντος ἐπ' αὐτοφώρῳ τὸν μοιχὸν κτείνεσθαι[12].

Οὔτε εἰς ἅπαν ἐπαινέσω τὸν νόμον, οὔτε ἐπὶ παντὶ τὸ γραφὲν αἰτιάσομαι. οἷς μὲν γὰρ ἀναιρεῖ τὰ μοιχῶν, ἐπαινῶ τὸ τιθέμενον· δι' ὧν δὲ δικαστῶν οὐκ ἀνέμεινε ψῆφον, αἰτιῶμαι τὴν αἵρεσιν. εἰ μὲν οὖν δωροδοκίαν τῶν δικαζόντων κατεγνωκὼς ἀνῄρει τὰ δικαστήρια, φαύλην ἐλέγχεται περὶ τοὺς δικαστὰς κεκτημένος[13] τὴν γνώμην. εἰ δὲ δίκαια κρίνειν, ὥσπερ καὶ δίκαια κρίνετε, ποῦ δίκαιον ἐπαινεῖν μὲν δικαστάς, ἐξαιρεῖσθαι δὲ τῶν δικαζόντων[14] τὸν νόμον; οἱ μὲν οὖν ἄλλοι πάντες, ὅσοι τοῖς κειμένοις διαμάχονται νόμοις, οἱ μὲν ἐναντιοῦνται ταῖσδε ταῖς πόλεσιν, οἱ δὲ ὁμολογοῦσιν ἑτέραις. μόνος δὲ ὁ παρὼν πᾶσιν ἐναντίος προελήλυθε[15] νόμος. δοκεῖτε δέ μοι πολὺ κάλλιον ἐξετάσαι τὸν νόμον, εἰ πάντα[16] τὰ παρ' ὑμῖν πολιτευόμενα κρίνητε, τοὺς στρατηγούς, τὰς ἱερωσύνας[17], τὰ ψηφίσματα πάντα. ὀλίγου δέω λέγειν, ὅσα

συνθήκη, καθ' ἣν πᾶσι προσήκει ζῆν τοῖς ἐν τῇ πόλει. Rhetor ex memoria citavit. 7 δὲ Mon. 2. om. 8 Vind. τῶν om. 9 Haec in praecedentibus proposita, quando lex laudari dicitur, vel reprehendi. Alii aliter exposuere. Scheff. 10 Vind. ἐργάσαιο δ' αὐτήν. 11 Scheff. στάσιν desiderari putat. 12 Vind. κτείνειν. 13 Vind. κεκτημένων. 14 Vind. δικαζομένων. 15 Edd. Mon. 1. προελήλυθεν. Vind. Mon. 2. προελήλυθε. Tum Vind. νόμοις· δοκεῖ δέ μοι. 16 Mon. 2. εἰπόντα παρ' ἡμῖν πεπολιτευόμενα κρίνηται. 17 Ald. Junt. ἱεροσύνας.

Digitized by Google

παρὰ τὸν πόλεμον ἄριστα πράττεται, ἅπαντα δικαστῶν οἶδεν ἐξέτασιν. καὶ στρατηγεῖ μὲν, ὃν ὁ κρίνων ἐξήτασεν[18]· ἱερᾶται δὲ, ὃν ὁ δικαστὴς ἐβεβαίωσε. καὶ ψήφισμα κύριον, τὸ παρ' ἑτέροις ἀνακρινόμενον. καὶ νῖκαι[19] πόλεμων γερῶν οὐ μετέχουσι[20], μὴ κρινόμεναι πρότερον. πῶς οὖν οὐκ ἄλογον ἅπαντας μὲν ἀναμένειν τοὺς ἐξετάζοντας[21], μόνον δὲ τὸν παρόντα νόμον τὴν τῶν δικαζόντων ἀναδύεσθαι ψῆφον;

Ἀντίθεσις ά. Ναί, φησιν, ἀλλὰ μεγάλα τὰ μοιχῶν ἀδικήματα.

Λύσις. Τί δὲ τὰ τῶν ἀνδροφόνων οὐ μείζω; τοὺς δὲ προδότας ἐλάττους νομιοῦμεν ἑτέρων[22]; ἱερόσυλοι δὲ τῶν προδιδόντων οὐ[23] φαυλότεροι; ἀλλ' ὅμως ὁ τούτοις[24] ἁλοὺς, ἀναμένει τοὺς κρίνοντας· καὶ οἵτε προδότης ὑπέσχε τὴν δίκην μὴ τοῦ δικαστοῦ ψῆφον ἐπάγοντος, οὔτε
17 ἀνδροφόνῳ πεσεῖν ὑπῆρξε[25], μὴ τοῦ κατηγόρου τὸ πάθος ἐλέγχοντος[26], οὔτε τοῖς ὑφαιρουμένοις τὰ τῶν κρειτ-

---

18 Ald. Junt. ἐξέτασεν. 19 Vind. δὲ inserit. 20 Edd. Monn. μετέχουσιν. Vind. μετέχουσι. 21 Ald. Junt. ἐξαιτάζοντας. Doxop. τινὰ τῶν βιβλίων ἅπαντας ἔχει μετὰ τοῦ σ., τινὰ δὲ ἅπαντα χωρὶς τοῦ σ. 22 Mon. 1. addit: ἀδίκων. 23 οὐ Edd. Mon. 2. Vind. om., recepi ex Mon. 1. Saepe excidit. Apsin. p. 728. Ὅτι οὐ τὰ ἐναντία γράφεις λογισμοὺς εἰς τοῦτο παραλαμβάνειν. Par. οὐ om. Schol. Ald. in Aphthon. p. 4. ὁ ὅρος οὗτος δοκεῖ μόνῳ τῷ μύθῳ ἁρμόζειν, ἀλλὰ καὶ πᾶσι πιθανοῖς καὶ ψευδέσι λόγοις. Mon. οὐ δοκεῖ. Pausan. I. 17. 2. ἐπεὶ οὐ δύνασθαι τὴν σφραγῖδα — ἀφέντι ἐς θάλασσαν ἀνασῶσαί οἱ. Angel. Neapol. Med. 36. 11. οὐ omittunt: in Riccard. manus recentior inseruit. Cfr. ibid. II. 31. 3. et 9. Vita Jos. c. 60. μετ' οὐ πολλὰς δὲ ἡμέρας ἀφικνοῦνται πάλιν, οις ἐπέμψαμεν. et c. 69. μετ' οὐ πολλὰς ἡμέρας. Par. 1423. οὐ utroque loco omittit. Cf. Schaef. Meletem. crit. p. 96. Bekker Lectt. in Apollon. de Pron. p. 161. Boisson. ad Aristaen. p. 298.; ad Eunap. 290. 24 Vind. τούτων. 25 Vind. ὑπῆρχε. 26 Mon. 2. ἐλέγξαντος. 27 Sunt hic τὰ κρειτ-

Digitized by Google

τόνων[27] ὑπῆρξε[28] παθεῖν, πρὶν ταῦτα μαθεῖν παρέστη τοῖς κρίνουσιν[29]. οὐκοῦν ἄτοπον, τὰ μὲν μείζω δίκην ὑπέχειν παρὰ τοῖς κρίνουσιν, καὶ μὴ δοκεῖν τι τούτων ἕκαστον[30], ἂν μὴ δικαστὴς ἐπενέγκῃ τὴν ψῆφον, μοιχὸν δὲ μόνον πεσεῖν ἀνεξέταστον[31], ὃν πρὸ τῶν ἄλλων 5
ἔδει[32] κρίνειν, ὅσῳ τῶν ἄλλων καταδεέστερον;

Ἀντίθεσις β'. Καὶ τί διοίσει μοιχὸν ἀνελεῖν, ἢ παραδοῦναι τοῖς δικασταῖς, εἰ τὸν ἴσον ἐξ ἀμφοῖν ὑποστήσεται θάνατον;

Λύσις. Ὅσον τυράννου καὶ νόμου τὸ μέσον, καὶ 10
δημοκρατίας[33] πρὸς τὰς μοναρχίας ὅσον διάφορον. τυ-

τονα [quidni οἱ κρείττονες?] dii, unde supra ἱεροσύλους memoravit. Consule, quae notavi in indice Aeliani. Scheff. Plene apud Aesch. Prom. 910. κρείσσονες θεοί. Lucian. conviv. c. 7. ὑπεξανίσταντο πάντες αὐτῷ, καὶ ἐδεξιοῦντο ὥς τινα τῶν κρειττόνων, καὶ ὅλως θεοῦ ἐπιδημία τὸ πρᾶγμα. Aristid. or. IX. p. 78. ὅτι Ἑτεωνεὺς οἴχεται παρὰ τοὺς κρείττονας. — Ὑπὲρ τῶν τετ. p. 206. τί οὖν, εἰ τοῖς κρείττοσιν οὕτως ἔδοξεν; Panath. p. 96. ὅτι τῆς Ἑλλάδος ἐστὶν ἔρυμα ὑπὸ τῶν κρειττόνων πεποιημένον. Sopat. ζητημ. p. 303. ἀλλὰ κἂν μάχας λέγῃ, καὶ συνουσίας κρειττόνων etc. Plut. Mar. c. 37. ὁ δ' ἄνθρωπος, εἴτε πάλαι γινώσκων, εἴτε πρὸς τὴν ὄψιν ὡς κρείττονα θαυμάσας, ἀναπαύσασθαι μὲν ἔφη δεομένῳ τὸ σκηνύδριον ἐξαρκεῖν. Sed Lucian. confut. c. 7. οἱ δέ γε θύοντες οὐ τῆς χρείας ἕνεκα θύουσιν, ἀντίδοσιν δέ τινα ποιούμενοι — — ἢ τιμῶντες ἄλλως τὸ βέλτιον. Et paucis interjectis: καί τοι εἴ τις τῶν σοφιστῶν ἐκείνων παρῆν, ἤρετο ἄν σε, καθ' ὅ τι βελτίους φῂς τοὺς θεούς. Menand. p. 613. τῇ δὲ ἀληθείᾳ παρὰ τοῦ θεοῦ παραπέμπονται, καί εἰσιν ἀπόῤῥοιαι ὄντος τοῦ κρείττονος. 28 Par. 2916. ὑπῆρξε om. ad marg. γρ. ὑπῆρξε παθεῖν τι. 29 Ald. Junt. h. l. et paulo post κρείνουσιν. 30 Vind. ὡς ἕκαστον. Scheff.: „asteriscus adjectus docet, aliquid hic desiderari. Veteres editiones tamen asteriscum habent nullum. Puto ergo magis, locum esse depravatum, et scribendum: καὶ μὴ δοκεῖν τοιοῦτον ἕκαστον". 31 Vind. ἀνεξέστατον. 32 ἔδει Vind. om. 33 Ald. Junt.

Digitized by Google

ράννου μὲν γὰρ ἀνελεῖν, ὃν ἂν βούλοιτο· νόμου δὲ κτεῖναι δικαίως τὸν ἐλεγχόμενον· καὶ δῆμος μὲν ὅσα ἂν ἐκκλησιάζων σκοπῇ, πρὸς ἐξέτασιν τίθησι[34]· μοναρχία δὲ κολάζει μὲν[35], ἃ συναμφότερα δῆμός τε καὶ νόμος· ἐξ ἐναντιωμάτων δὲ ἅπαντα πέπραχε[36] πρὸς τὸν μόνον ἄρχειν καὶ τυραννεῖν προελόμενον. πῶς οὖν οὐ διοίσει τὸν μοιχὸν ἀνελεῖν, ἢ παραδοῦναι τοῖς κρίνουσι[37]; καὶ ἔτι πρὸς τούτοις, ὁ μὲν ἑαυτῷ τὸν μοιχὸν ἀνελὼν, ἑαυτὸν κύριον τοῦ δεδρακότος ἐργάζεται· ὁ δὲ δικαστῇ παραδοὺς, κύριον ποιεῖ τοῦ δεδρακότος τὸ δικαστήριον. κρεῖττον δὲ δήπου τὸν δικάζοντα κύριον, ἢ τὸν κατήγορον γίνεσθαι. καὶ μὴν ὁ μὲν ἑαυτῷ διαφθείρας μοιχὸν ἄλλου χάριν ἀνελεῖν ὑποπτεύεται· ὁ δὲ κρίνειν[38] παρεσχηκὼς μόνον ἔδοξε τῶν δικαίων ἀντιλαμβάνεσθαι.

Ἀντίθεσις. Ναί, φησιν, ἀλλὰ χαλεπωτέραν ὑφέξει τὴν[39] τιμωρίαν παραχρῆμα πεσών, κέρδος γὰρ[40] ἕξει τὸν μέχρι κρίσεως χρόνον.

Λύσις. Τοὐναντίον μὲν οὖν ἕξει κρινόμενος· ἀνιαρώτερον[41] γὰρ τὸν μετὰ ταῦτα βίον ὑποίσει· τὸ γὰρ παθεῖν προσδοκᾶν, τοῦ πεπονθέναι δεινότερον· καὶ τιμωρίας ἀναβολὴ, προσθήκη φανεῖται ζημίας. πεσεῖται πολλάκις ὁ πεσεῖσθαι δοκῶν, καὶ τὴν ἐλπίδα τῆς πείρας

Monn. δημοκρατείας. Vind. Port. δημοκρατίας. 34 Edd. Monn. τίθησιν. Vind. Port. τίθησι. 35 Sequitur in edd. et Monn. 1. 2. οὗ συνεξετάζει δὲ, ad quae Scheffer scribit: „Hoc Graeculus odio Regni absurdissimo scripsit, perculsus umbra et inani libertatis specie, qua sola Graeci semper velut pueri gloriabantur". Ejeci auctoritate Vind. et Angel., quorum hic legit: κολάζει δὲ μοναρχία, ἃ μὲν συναμφότερα, ad marg. γρ. μοναρχία δὲ κολάζει, ἃ μὲν συναμφότερα. Mon. 1. ἃ συναμφότερον. 36 Mon. 2. πέπραγε. 37 Edd. Mon. 1. 2. κρίνουσιν. Vind. κρίνουσι. 38 Vind. ὁ δὲ κρίναι ζητῶν μόνων ἔδ. 39 τὴν Vind. om. 40 Mon. 1. δέ. 41 Ald. Junt. Mon. 1. ἀνια-

Digitized by Google

ἕξει δεινοτέραν. ὥστε παραχρῆμα πεσὼν ὁ μοιχὸς, πεσὼν [42] οὐκ αἰσθάνεται. κλέπτει τὴν αἴσθησιν τῆς τιμωρίας τὸ τάχος. ἀνάλγητος θάνατος, ὁ πρὶν δόξαι συμβάς [43]· ὁ δὲ πολλάκις μὲν ἐλπισθεὶς, εἰσάπαξ δὲ γεγονὼς, ταῖς ἐλπίσι τὰς τιμωρίας μετρεῖ. σκόπει τοίνυν [44] παράλληλα θείς. ὁ μὲν ἑαυτῷ [45] διαφθείρας μοιχὸν, οὐδένα μάρτυρα τῆς τιμωρίας ποιεῖται· ὁ δὲ δικασταῖς παραδοὺς, πολλοὺς θεατὰς ποιεῖται τῆς δίκης. λυπηρότερος [46] δὲ τιμωρίας τρόπος ὑπὸ θεαταῖς πολλοῖς καθιστάμενος· καὶ ἄλλως συνοίσει μοιχοῖς κρύβδην πεσοῦσιν. ὑποψίαν γὰρ τοῖς πολλοῖς καταλείψουσιν, ἔχθρας ἕνεκα πίπτοντες. ἐξελεγχομένου δὲ τοῦ πάθους ἐν τοῖς δικασταῖς, ἀναμφισβήτητον ὁ πεσὼν ὑφέξει τὴν δίκην· ὥστε διοίσει [47] πρὸς αὐτοῦ [48] τὸν μοιχὸν πεσεῖν ἀδήλως, ἢ δικασταῖς παραδίδοσθαι. δεινὸν ὁ μοιχὸς, καὶ πᾶσαν παρῆλθεν ἀδικημάτων ὑπερβολήν. ὅθεν ἐξελεγχέσθω πρότερον [49], εἶτα πιπτέτω· καὶ κρινέσθω μᾶλλον, ἢ δίκην ὑπεχέτω [50] πρὸ κρίσεως. ὡς μοιχὸς ἀναιρούμενος, σαφεστέραν δώσει τὴν τῶν παίδων γονήν. οὐ γὰρ ἀμφισβητήσει τις, ὅτου γέγονε παῖς, ἐκλελοιπότων μοιχῶν τολοιπόν. κοινῆς [51] ἀδίκημα-

ρότερον. 42 Vind. Mon. 2. πεσὼν om., In Mon. 1. deletum est. 43 Mon. 2. συμβαίνων. 44 Vind. σκόπει δὲ καίτοι παρ. 45 Mon. 2. ἑαυτόν. 46 Mon. 2. λυπηρότερον. 47 Vind. πρὸς αὐτοῦ διοίσει. Par. 2916. Mon. 2. διοίσει om. Par. 2916. ad marg. ἀντὶ τοῦ προαιρεῖται ὁ μοιχὸς ἀποθανεῖν ἀδήλως καὶ ἀφανῶς, ἢ ἐν τῷ δικαστηρίῳ. 48 Par. 2916. ad marg. γρ. αὐτοῦ τοῦ μοιχὸν τοῦ τε ὑπὸ αὐτοῦ τοῦ μοιχοῦ ἐστι, καὶ θυμῆρές ἐστιν αὐτῷ τῷ μοιχῷ· ἔστι δὲ ἡ σύνταξις Ἀττική, ὥσπερ ἐστὶ καὶ τὸ, πρὸ θυμοῦ μοι ὑπάρχει τόδε, ἀντὶ τοῦ θυμῆρές μοί ἐστι. 49 Vind. πρῶτον. 50 Ald. Junt. ὑπεσχέτω. 51 Portus mallet κοινὸν, atque sic accepit et Agricola, quod ex versione ipsius liquet. Ego tamen censeo mutandum nihil. Putat enim, per adulterium ipsi naturae humanae fieri injuriam, quae nobis omnibus est communis. Scheff.

Digitized by Google

φύσεως, ὅθεν καὶ κοινὴ ψῆφος ἀναιρείτω[52] γινόμενον. ὡς ἐγὼ δέδια, μὴ λαθὼν μοιχὸς, οἷς διαφθείρεται, πολλοὺς ἑτέρους καταλίπῃ[53] τοιούτους. ὃν γὰρ οὐκ ἴσασιν, ἐφ' οἷς διαφθείρεται, ζηλώσουσιν ἕτεροι, καὶ τὸ κεκολάσθαι οὐ πέρας, ἀλλ' ἀρχὴ[54] γενήσεται πάθους[55].

52 Vind. τὸ γιν. 53 Edd. Mon. 2. καταλίποι. Vind. Mon. 1. καταλίπῃ. 54 Ald. Junt. Vind. Mon. 1. ἀρχὴν. Mon. 2. Port. ἀρχή. 55 In Angel. adjicitur: *Τέλος τῶν Ἀφθονίου προγυμνασμάτων, ὥσπερ ἐστὶ δῆλον ἐκ τοῦ ἐπιγράμματος, ὅπερ ἐστὶ τοιοῦτον·*

Εἴ σοι ῥητορικῆς φίλης πόθος ἔμπεσε θυμῷ,
Μή σε γε γυμνασίη Ἀφθονίοιο λάθῃ.

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΚΑΙ ΡΗΤΟΡΙΚΩΤΑΤΟΥ

ΚΥΡΙΟΥ

ΜΑΤΘΑΙΟΥ ΤΟΥ ΚΑΜΑΡΙΩΤΟΥ[2]

ΕΠΙΤΟΜΗ ΕΙΣ ΤΑ ΤΗΣ ΡΗΤΟΡΙΚΗΣ ΠΡΟΓΥΜΝΑΣΜΑΤΑ[1]

Ὅρος προγυμνάσματος.

Προγύμνασμά ἐστιν ἄσκησις μετρίων πρὸς μειζόνων ἐπίρρωσιν πραγμάτων, ἢ προγύμνασμά ἐστιν εἰσαγωγικὴ τριβὴ διὰ λόγων τῶν κατὰ ῥητορικὴν μερῶν καὶ εἰδῶν χρήσιμά τινα προασκουμένη.

Εἰσὶ δὲ προγυμνάσματα τὸν ἀριθμὸν δεκατέσσαρα· μῦθος, διήγημα, χρεία, γνώμη, ἀνασκευή, κατασκευή, κοινὸς τόπος, ἐγκώμιον, ψόγος, σύγκρισις, ἠθοποιΐα, ἔκφρασις, θέσις καὶ νόμου εἰσφορά.

Τούτων τὰ μὲν ὑπὸ τὸ συμβουλευτικὸν τῆς ῥητορικῆς ἀνάγεται εἶδος, ὡς ὁ μῦθος, ἡ χρεία, ἡ γνώμη καὶ θέσις, εἰ καὶ τῷ πανηγυρικῷ κατὰ τὴν ὕλην ἡ θέσις ἐπικοινωνεῖ. τὰ δὲ ὑπὸ τὸ δικανικὸν, ὡς ἡ ἀνασκευὴ καὶ ἡ κατασκευὴ, ὅ τε κοινὸς τόπος, καὶ πρὸς τούτοις ἡ τοῦ

1 Descripsi ex cod. Taurinensi.

2 Cod. *Μακαριώτου.*

Digitized by Google

νόμου εἰσφορά· τὰ δὲ τοῦ πανηγυρικοῦ εἰσιν εἴδους, ὡς τὸ ἐγκώμιον καὶ ὁ ψόγος, ἥ τε σύγκρισις καὶ ἡ ἠθοποιΐα· τὰ δὲ πᾶσιν ἐπικοινωνεῖ, ὡς ἡ ἔκφρασις καὶ τὸ διήγημα·

Περὶ μύθου.

Μῦθός ἐστι λόγος ψευδὴς, εἰκονίζων ἀλήθειαν· τούτου δὲ τὸ μέν ἐστι λόγικὸν, ἐν ᾧ τι ποιῶν ἄνθρωπος πέπλασται, τὸ δὲ ἠθικὸν, τὸ τῶν ἀλόγων ἦθος ἀπομιμούμενον· τὸ δέ ἐστιν ἐξ ἀμφοτέρων μικτόν· ἔστι δὲ καὶ ὁ μῦθος διήγημα ἐκ τῶν περιστατικῶν καὶ αὐτὸς, ὡς καὶ τὸ διήγημα ὑφαινόμενος. Χρήσιμον δὲ τὸ τοῦ μύθου οὐχ ἁπλῶς, ἀλλὰ διὰ τὴν ἐξ αὐτοῦ γινομένην ἐξ ὁμοιώσεως παραίνεσιν.

Περὶ διηγήματος.

Διήγημά ἐστιν ἔκθεσις πράγματος γεγονότος ἢ ὡς γεγονότος· τούτου δὲ τὸ μέν ἐστι δραματικὸν, ὡς πεπλασμένον, τὸ δὲ ἱστορικὸν, τὸ παλαιὰν ἔχον ἀφήγησιν, τὸ δὲ πολιτικὸν, ᾧ χρῶνται παρὰ τοὺς ἀγῶνας οἱ ῥήτορες. Παρέπεται δὲ τῷ διηγήματι τὰ καλούμενα ἐξ περιστατικὰ, ἐξ ὧν καὶ γίνεται· τὸ πράξαν πρόσωπον, τὸ πραχθὲν πρᾶγμα, ὁ χρόνος, καθ' ὃν ἐπράχθη, ὁ τόπος, ἐν ᾧ, ὁ τρόπος, ὅπως, ἡ αἰτία, δι' ἣν. Ἀρεταὶ δὲ διηγήματος σαφήνεια, συντομία, πιθανότης καὶ ὀνομάτων ἑλληνισμός.

Περὶ χρείας.

Χρεία ἐστὶν ἀπομνημόνευμα σύντομον, εὐστόχως ἐπί τι πρόσωπον ἀναφέρον· ἔστι δὲ ἡ μὲν λογικὴ, ἡ λόγῳ μόνῳ δηλοῦσα τὴν ὠφέλειαν· οἷον ὁ Πλάτων τοὺς τῆς ἀρετῆς κλῶνας ἱδρῶσι καὶ πόνοις ἔλεγε φύεσθαι· ἡ δὲ πρακτικὴ, ἡ πρᾶξιν σημαίνουσά τινος τῶν ἀξιοζηλωτῶν εἰς τροπήν τε καὶ μίμησιν· ἡ δὲ μικτὴ ἐξ ἀμφοῖν. Κεφάλαια δὲ, οἷς κατασκευάζεται ἡ χρεία, ἐγκωμιαστικὸν

Digitized by Google

τοῦ εἰπόντος τὴν προτροπὴν ἢ τοῦ πράξαντος, ἣν χρὴ ζηλοῦν· παραφραστικὸν τὸ τῆς αἰτίας, δι' ἣν τόδε τι εἴρηται ἢ πέπρακται. τὸ ἐκ τοῦ ἐναντίου, τί ἂν ἦν, εἰ μὴ τόδε ἐλέγετο ἢ ἐπράττετο· παραβολή, παράδειγμα, μαρτυρία παλαιὰ, ἐπίλογος βραχύς.

Περὶ γνώμης.

Γνώμη ἐστὶ λόγος ἐν ἀποφάσει κεφαλαιώδης, ἐπί τι προτρέπων ἢ ἀποτρέπων. ἔστι δὲ αὐτῆς τὸ μὲν προτρεπτικὸν, τὸ δὲ ἀποτρεπτικὸν, τὸ δὲ ἀποφαντικὸν, καὶ ἔτι τὸ μὲν ἁπλοῦν, τὸ δὲ συνεζευγμένον, πιθανόν τε ἢ ἀληθὲς ἢ ὑπερβολικόν. Κεφάλαια δὲ κατασκευαστικὰ τῆς γνώμης τὰ αὐτὰ, ἅπερ καὶ τῆς χρείας· ἐγκωμιαστικὸν, παραφραστικὸν, τὸ τῆς αἰτίας, τὸ ἐκ τοῦ ἐναντίου, παραβολή, παράδειγμα, μαρτυρία παλαιῶν, ἐπίλογος βραχύς. Ἔστι δὲ ἡ γνώμη ἀεὶ λογικὴ καὶ ἀπροσώπως ἐκφερομένη, τῆς χρείας πρακτικῆς τε οὔσης ἐνίοτε, καὶ ἀεὶ δεομένης προσώπου.

Περὶ ἀνασκευῆς.

Ἀνασκευή ἐστιν ἀνατροπὴ προκειμένου τινὸς πράγματος. Ἀνασκευάζεται δὲ τὰ μήτε λίαν σαφῆ, μήτε ἀδύνατα παντελῶς, ἀλλὰ τὰ μέσην ἔχοντα τάξιν. Κεφάλαια δὲ ἀνασκευῆς ἡ τῶν εἰπόντων διαβολή, ἡ τοῦ εἰρημένου πράγματος ἔκθεσις, ἀσαφὲς, ἀπίθανον, ἀδύνατον, ἀνακόλουθον, ἀπρεπὲς, ἀσύμφορον.

Περὶ κατασκευῆς.

Κατασκευή ἐστι βεβαίωσις προκειμένου τινὸς πράγματος· κεφάλαια δὲ αὐτῆς εὐφημία τοῦ εἰπόντος, του εὑρημένου πράγματος ἔκθεσις, σαφὲς, πιθανὸν, δυνατὸν, ἀκόλουθον, πρέπον, συμφέρον, ὅλως τὰ ἐναντία τῆς ἀνασκευῆς.

Digitized by Google

Περὶ κοινοῦ τόπου.

Κοινὸς τόπος ἐστὶ λόγος αὐξητικὸς τῶν προσόντων τινὶ καλῶν ἢ κακῶν. Κεφάλαια δὲ αὐτοῦ μετὰ τὸ εἰσαγαγεῖν αὐτὸν ἐν εἰκόνι δευτερολογίας καὶ ἐπιλόγου ἢ καὶ μετὰ τὸ προοιμιάσασθαι γυμνασίας χάριν, πρῶτον τὸ ἐκ τοῦ ἐναντίου, εἰ τόδε τι ἐποίει ἀντὶ τούτου· εἶτα ἔκθεσις, οὐ διδακτικὴ τοῦ πράγματος, ἔγνωσται γὰρ, ἀλλὰ παροξυντικὴ τοῦ ἀκροατοῦ, μεθ' ἣν ἡ κρίσις, ἐκ παραθέσεως συνάγουσα τῷ κατηγορουμένῳ τὸ μεῖζον, ἢ τῷ ἐπαινουμένῳ, οἷον εἰ ὁ μοιχὸς κολάσεως ἄξιος, πολλῷ μᾶλλον ὁ προδότης, ὅσῳπερ ὁ μὲν ἕνα τινὰ τυχὸν, ὁ δὲ κοινῇ πᾶσαν ἀδικεῖ τὴν πόλιν· μείζων δὲ ἡ εἰς πάντας ἀδικία τῆς εἰς [1] ἕνα τινὰ· εἶτα γνώμη διαβλητικὴ τῆς τοῦ πράξαντος διανοίας· παρέκβασις στοχαστικῶς κακίζουσα τὸν φθάσαντα βίον ἢ θαυμάζουσα· ἐλέους ἐκβολὴ ἢ εἰσβολὴ, νόμιμον, δίκαιον, συμφέρον, δυνατὸν, ἔνδοξον, ἐκβησόμενον.

Περὶ ἐγκωμίου καὶ ψόγου.

Ἐγκώμιόν ἐστι λόγος ἐκθετικὸς τῶν προσόντων τινὶ καλῶν· ψόγος δέ ἐστι λόγος ἐκθετικὸς τῶν προσόντων τινὶ κακῶν· κεφάλαια δὲ αὐτῶν προοίμιον, γένος, εἰς ἔθνος διαιρούμενον καὶ πατρίδα, προγόνους τε καὶ πατέρας, ἀνατροφὴ, διαιρουμένη εἰς ἐπιτηδεύματα, τέχνην καὶ νόμους, καὶ ἐπὶ πᾶσι τὸ μέγιστον καὶ συνεκτικώτατον, αἱ πράξεις, μεθ' ἃς αἱ συγκρίσεις καὶ οἱ ἐπίλογοι.

Περὶ συγκρίσεως.

Σύγκρισίς ἐστι λόγος ἀντεξεταστικὸς ἐκ παραθέσεως συνάγων τῷ παραβαλλομένῳ τὸ μεῖζον, ἢ τὸ ἴσον, ἢ τὸ ἔλαττον· παραβάλλεται δὲ ἢ χρηστὰ χρηστοῖς, ἢ φαῦλα φαύλοις, ἢ χρηστὰ πονηροῖς, ἢ μικρὰ μείζοσιν, ἢ ἴσα τοῖς

---

1 εἰς abest a codice.

Digitized by Google

ἴσοις· ἐκ τῶν αὐτῶν δὲ τῷ ἐγκωμίῳ καὶ ψόγῳ καὶ ἡ σύγκρισις ἔχει τὴν γένεσιν.

Περὶ ἠθοποιΐας.

Ἠθοποιΐα ἐστὶ μίμησις ἤθους ὑποκειμένου προσώπου· ἔστι δὲ αὐτῆς ἡ μὲν ὁμωνύμως τῷ γένει καλουμένη ἠθοποιΐα, ἡ γνωρίμου τινὸς προσώπου μόνον τὸ ἦθος πλάττουσα εἰς μίμησιν, ἡ δὲ εἰδωλοποιΐα, ἡ πρόσωπον μὲν ἔχουσα ὡρισμένον, τεθνεὸς δὲ καὶ τοῦ λέγειν παυσάμενον, παραλαμβανόμενον δὲ ἴσως, ὡς τοιαῦτα ἂν λέγον, εἴπερ ἦν ἐν ζῶσιν· ἡ δέ ἐστι προσωποποιΐα, ἡ καὶ τὸ πρόσωπον ἀναπλάττουσα καὶ τὸ πρᾶγμα· καὶ ἔτι αἱ μὲν ἠθοποιῶν εἰσι παθητικαὶ, αἱ δὲ ἠθικαὶ, αἱ δὲ μικταί· κατασκευάζεται δὲ ἡ ἠθοποιΐα ἀντὶ κεφαλαίων τῇ τοῦ χρόνου τριάδι, τῷ ἐνεστῶτι δηλαδὴ, τῷ παρῳχηκότι καὶ τῷ μέλλοντι· χαρακτὴρ δὲ αὐτῆς σαφὴς, σύντομος, ἀνθηρὸς, ἀπόλυτος, καὶ πάσης ὁμοίως ἀπηλλαγμένος πλοκῆς καὶ παντὸς σχήματος.

Περὶ ἐκφράσεως.

Ἔκφρασίς ἐστι λόγος περιηγηματικὸς ὑπ᾽ ὄψιν ἄγων ἐναργῶς τὸ δηλούμενον· ἐκφραστέον δὲ πρόσωπά τε καὶ πράξεις, καιρούς τε καὶ τόπους, ἄλογα ζῶα καὶ φυτά. Πρόσωπα μὲν οὖν ἐκφράζουσιν ἀπὸ κεφαλῆς ἀρκτέον· πράγματα δὲ ἀπὸ τῶν πρὸ αὐτῶν τε καὶ ἐν αὐτοῖς· ἐκφράσεως καὶ χαρακτὴρ ἀνειμένος, καὶ διαφόροις ποικιλλόμενος σχήμασι, κατὰ μίμησιν τοῦ ἐκφραζομένου πράγματος.

Περὶ θέσεως.

Θέσις ἐστὶν ἐπίσκεψις λογικὴ θεωρουμένου τινὸς πράγματος. Τῶν δὲ θέσεων αἱ μὲν πολιτικαὶ, αἱ πρᾶξιν ἔχουσαι πόλιν συνέχουσαν, οἷον εἰ γαμητέον, εἰ πλευστέον·

Digitized by Google

αἱ δὲ θεωρητικαὶ, αἱ μόνῳ τῷ νῷ θεωρούμεναι πρὸς εὕρεσιν καὶ γνῶσιν τῆς ἀληθείας, ὡς τὸ, εἰ σφαιροειδὴς ὁ οὐρανὸς, εἰ κόσμοι πολλοὶ, εἰ ἀθάνατος ἡ ψυχή· ποιεῖ δὲ τὴν θέσιν πρῶτον ἡ καλουμένη ἔφοδος, ἥτις ἐν τάξει προοιμίου πρὸς αὐτὸ φέρει τὸ τιθέμενον πρᾶγμα, μεθ' ἣν τὰ τελικὰ καλούμενα κεφάλαια, δηλαδὴ τὸ νόμιμον, τὸ δίκαιον, τὸ συμφέρον, τὸ δυνατόν.

Περὶ νόμου εἰσφορᾶς.

Νόμου εἰσφορά ἐστι συνηγορία ἢ κατηγορία νόμου τιθεμένου ἢ πάλαι κειμένου, μᾶλλον δὲ συνηγορία ἅμα καὶ κατηγορία τοῦ τε νῦν τιθεμένου καὶ τοῦ πάλαι κειμένου, ὡς ἐπιβλαβοῦς, συνηγορούντων δὲ τῷ ἤδη τιθεμένῳ ὡς ἐπωφελεῖ καὶ συνιστώντων αὐτὸν, τῶν δὲ τὸ ἀνάπαλιν τὸν πάλαι μὲν κείμενον ἀξιούντων κύριον εἶναι, περὶ δὲ τοῦ ἤδη εἰσαγομένου κρινόντων, ἐν ἀμφιβόλῳ δεῖν ἔχειν, εἰ ὠφέλιμος ἔσται ἢ βλαβερὸς, μήπω πεῖραν εἰληφότας αὐτοῦ, ἢ καὶ ὡς ἀσυμφόρου φανερῶς οὕτωσὶ κατατρεχόντων αὐτοῦ, ἐκ τῶν ὡς εἰκὸς συμβησομένων δι' αὐτὸν, εἰ κυρωθείη. Ἐπὶ δὲ τῆς εἰσφορᾶς τοῦ νόμου προοιμιαστέον πρῶτον οἰκείως τῇ ἀξιώσει, εἶτα τὸ κεκλημένον ἐναντίον εἰσακτέον, ὡς ἐπὶ τοῦ κοινοῦ τόπου, μεθ' ὃ νομίμῳ χρηστέον, δικαίῳ, συμφέροντι, δυνατῷ.

Τοσαῦτα περὶ τῶν προγυμνασμάτων ὡς ἐν βραχεῖ κατὰ τὸν ἐπίτομον τουτονὶ λόγον.

Digitized by Google

ΑΝΩΝΥΜΟΥ

ΠΕΡΙ ΤΩΝ

ΤΟΥ ΑΦΘΟΝΙΟΥ

ΠΡΟΓΥΜΝΑΣΜΑΤΩΝ[1]

Τὰ τοῦ Ἀφθονίου προγυμνάσματα μικρὰ μέν ἐστιν, ὥσπερ ῥητορικὴ, ἀτελῆ δέ εἰσι, καθὸ τούτων μὲν οὐδὲν εἰς δικαστήριον ἢ εἰς ἐκκλησίαν εἰσάγεται, ἢ διὰ τῶν τελικῶν κεφαλαίων κατασκευάζεται, λέγω δὴ προοιμίων, διηγήσεων, ἀγώνων καὶ ἐπιλόγων· ἕκαστον δὲ μᾶλλον προγύμνασμα τῶν τοιούτων μερῶν τοῦ λόγου ὥσπερ εἰκόνα φέρει παρ' ἑαυτῷ καὶ σκιὰν, ὡς τὸ διήγημα καταστάσεως, ἀνασκευὴ δὲ καὶ κατασκευὴ τῶν ἀγώνων, ὁ κοινὸς δὲ τόπος ἴχνος ἐπιλόγων προστίθησι, προοιμίων δὲ αἱ προκαταρκτικαὶ πάντων τῶν ἐπιδεχομένων προγυμνασμάτων ἔννοιαι. χρὴ οὖν τὸν ταῦτα μελετῶντα οὐχ ὡς τελείοις λόγοις, ἀλλ' ὡς ἀτελέσι λόγοις μᾶλλον χρῆσθαι.

Τὰ προγυμνάσματα ταῦτά εἰσι δεκατέσσαρα, μῦθος, διήγημα, χρεία, γνώμη, ἀνασκευὴ, κατασκευὴ, κοινὸς τόπος, ἐγκώμιον, ψόγος, σύγκρισις, ἠθοποιΐα, ἔκφρασις, θέσις καὶ εἰσφορὰ νόμου. — Τούτων ὁ μὲν μῦθος καὶ ἡ χρεία καὶ ἡ γνώμη τοῦ συμβουλευτικοῦ εἴδους εἰσὶ τῆς ῥητορικῆς· ἡ δὲ ἀνασκευὴ καὶ κατασκευὴ, καὶ ὁ κοινὸς

1 Ex codice Veneto 444.

Digitized by Google

τόπος, καὶ ἡ εἰσφορὰ τοῦ νόμου τοῦ δικανικοῦ· τὸ δὲ ἐγκώμιον καὶ ὁ ψόγος, καὶ ἡ σύγκρισις καὶ ἡ ἠθοποιΐα τοῦ πανηγυρικοῦ· ἡ δὲ ἔκφρασις καὶ τὸ διήγημα κοινά· ἡ δὲ θέσις ἐστὶ μὲν τοῦ συμβουλευτικοῦ, τὴν δὲ ὕλην ἐπιδέχεται ἐκ τοῦ πανηγυρικοῦ.

Μῦθός ἐστι λόγος ψευδὴς, εἰκονίζων ἀλήθειαν· ἐστὶ δὲ αὐτοῦ τὸ μὲν λογικὸν, τὸ δὲ ἠθικὸν, τὸ δὲ μικτόν· λογικὸν μέν, ὅτε ἄνθρωπον ἔχει πρὸς ἄνθρωπον διαλεγόμενον, ἤ τι καθ' ἑαυτὸν πράττοντα· ἠθικὸν δὲ, ὅτε ἄλογα μόνον ζῶα, τὰ ἤθη τούτων μιμούμενος, οἷον λέοντος μὲν τὸ μεγαλόφρον, ἐλάφου δὲ τὸ ἀνόητον, τὸ πανοῦργον τῆς ἀλώπεκος, τοῦ λαγωοῦ τὸ δειλὸν, τὸ λίχνον τῶν μυῶν, καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως· μικτὸν δὲ, ὅτε ἄνθρωπον ἔχει καὶ ζῶον διαλεγόμενα· τὴν δὲ τούτου παραίνεσιν προτάττων μὲν ὀνομάσεις προμύθιον, ἐπιμύθιον δὲ τελευταῖον ἐπενεγκών· ἡ τοιαύτη δὲ παραίνεσις τριχῶς ἐκφέρεται, παραδειγματικῶς, ἐνθυμηματικῶς καὶ προσφωνηματικῶς· παραδειγματικῶς, οὕτως ἡμᾶς ὁ μῦθος διδάσκει· ἐνθυμηματικῶς, οἷον, ὁ γὰρ μὴ τόδε ποιῶν κατηγορίας ἄξιος· προσφωνηματικῶς, οἷον, σὺ, ὦ παῖ, τῶνδε ἢ τῶνδε ἀπέχου.

Διήγημά ἐστιν ἔκθεσις πράγματος γεγονότος ἢ ὡς γεγονότος. Διαφέρει δὲ διηγήσεως τῷ ταύτην μὲν εἶναι καθολικωτέραν, ἐκεῖνο δὲ μερικώτερον· ἔστι δὲ τούτου τὸ μὲν δραματικὸν ἢ πλασματικὸν, τὸ δὲ πολιτικὸν, ὅπερ ἐστὶ πρακτικὸν καὶ δικανικὸν, τὸ δὲ ἱστορικόν. Παρέπεται δὲ τῷ διηγήματι ἓξ· τὸ πράξαν πρόσωπον, τὸ πραχθὲν πρᾶγμα, χρόνος καθ' ὃν, τόπος ἐν ᾧ, τρόπος ὅπως, αἰτία δι' ἣν. Ἀρεταὶ δὲ αὐτοῦ τέσσαρες, σαφήνεια, συντομία, πιθανότης, καὶ ὁ τῶν λέξεων ἑλληνισμός. Πενταχῶς δὲ τὸ διήγημα γίνεται, κατὰ τὸ ὀρθὸν, κατὰ τὸ ἐγκεκλιμένον, κατὰ τὸ ἐλεγκτικὸν, κατὰ τὸ συγκριτικὸν καὶ κατὰ τὸ ἀσύνδετον· καὶ κατὰ τὸ μὲν ὀρθὸν οὕτως.

Φαέθων

Digitized by Google

Φαέθων ἡλίου παῖς ἐρασθεὶς τοῦ ἅρματος τοῦ ἰδίου πατρὸς ἐπέβη καὶ τὰ ἑξῆς· κατὰ δὲ τὸ ἐγκεκλιμένον οὕτως. Φαέθοντα τὸν ἡλίου παῖδά φασιν ἐρασθῆναι τοῦ ἅρματος τοῦ ἰδίου πατρὸς, καὶ τὸν πατέρα πείσαντα ἐπιβῆναι τοῦ ἅρματος· κατὰ δὲ τὸ ἐλεγκτικὸν οὕτως· τί δὲ, οὐκ ἠράσθη Φαέθων, ἡλίου παῖς, τοῦ πατρικοῦ ἅρματος, οὐκ ἔπεισε τὸν πατέρα, οὐκ ἐπέβη τοῦ ἅρματος· κατὰ δὲ τὸ συγκριτικὸν, ὅταν λέγωμεν, ἀντὶ τοῦ σωφρονεῖν ἠράσθη ἀτόπως, ἀντὶ τοῦ κρατῆσαι τοῦ ἔρωτος ἐπέβη τῶν ἵππων, ἐδέξατο τὰς ἡνίας, οὐχ ὑπεῖξε λέγοντι τῷ πατρί· χρησιμεύει δὲ ἕκαστον τούτων, τὸ μὲν κατ' ὀρθὸν ἐν τοῖς ἱστορικοῖς, καὶ ὅτε δεόμεθα σαφηνείας, τὸ δὲ κατὰ τὸ ἐγκεκλιμένον καὶ τὸ ἐλεγκτικὸν ἐν τοῖς ἀγῶσι, τὸ δὲ κατὰ τὸ ἀσύνδετον ἐν τοῖς ἐπιλόγοις· τό δὲ κατὰ τὸ συγκριτικὸν, ὅπου ὁ καιρὸς δίδωσι· πανταχοῦ γὰρ καὶ ἐν ἅπασι τῆς ῥητορικῆς εἴδεσι καὶ τοῖς τοῦ πολιτικοῦ λόγου μέρεσιν αὐτῷ χρώμεθα.

Χρεία ἐστὶν ἀπομνημόνευμα σύντομον εὐστόχως ἐπί τι πρόσωπον ἀναφέρουσα· χρειώδης δὲ οὖσα προσαγορεύεται χρεία· τῆς δὲ χρείας τὸ μέν ἐστι λογικὸν, τὸ δὲ μικτὸν· καὶ λογικὸν μὲν τὸ τῷ λόγῳ δηλοῦν τὴν ὠφέλειαν, οἷον ὁ Πλάτων τοὺς τῆς ἀρετῆς κλῶνας ἱδρῶτι καὶ πόνοις ἔλεγε φύεσθαι· πρακτικὸν δὲ τὸ πρᾶξιν σημαῖνον, οἷον Πυθαγόρας ἐρωτηθεὶς, ὅσος ἂν εἴη ὁ τῶν ἀνθρώπων βίος, μικρόν τι φανεὶς ἀπεκρύψατο, μέτρον τοῦ βίου τὴν θέαν ποιούμενος· μικτὸν δὲ τὸ ἐξ ἀμφοτέρων, λόγου καὶ πράξεως· οἷον Διογένης μειράκιον ἑωρακὼς ἀτακτοῦν τὸν παιδαγωγὸν ἔπαισεν εἰπὼν, τί σὺ τοιαῦτα παιδεύεις; Ἐργάσαιο δ' αὐτὴν τοῖσδε τοῖς κεφαλαίοις· ἐγκωμιαστικῷ, παραφραστικῷ, τῷ τῆς αἰτίας ἐκ τοῦ ἐναντίου, παραβολῇ, παραδείγματι, μαρτυρίᾳ παλαιῶν, ἐπιλόγῳ βραχεῖ· καὶ ἔστιν ἐγκωμιαστικὸν μὲν κατὰ τὸ τὸν εἰρηκότα τὸ τῆς χρείας ῥητὸν ἐγκωμιάσαι δι' αὐτό· παραφραστικὸν

Digitized by Google

δὲ τὸ μὴ αὐτολεξεὶ ἀλλὰ παραφραστικῶς τὸ ῥητὸν εἰσάξαι· τὸ τῆς αἰτίας δὲ, τὸ καὶ τὴν ὠφέλειαν τούτου πράττομένου προσθεῖναι, ἐκ τοῦ ἐναντίου, τὸ καὶ τὴν βλάβην αὐτοῦ μὴ πραττομένου εἰπεῖν· παραβολὴ δέ ἐστι τὸ καὶ ἐκ τῶν ἄλλοις πραττομένων τὴν ὠφέλειαν τοῦ ῥητοῦ πιστώσασθαι· οἷον ὥσπερ οἱ περὶ τὴν γεωργίαν πονοῦντες τοὺς καρποὺς ἡδέως κομίζονται, οὕτω καὶ οἱ περὶ τὴν ἀρετήν, εἰς ἡδὺ τὸ τέλος αὐτοῖς καταντᾷ· παράδειγμα τὸ καὶ τοῦ Κόνωνος μνησθῆναι μετὰ θαύματος, εὐδοκίμου τοῖς ἅπασι γεγονότος, ὅτι δὴ κατὰ τοῦτο τὸ ῥητὸν ἐπολιτεύσατο· μαρτυρία δὲ παλαιῶν, τὸ καὶ ἕτερον ἄνδρα παλαιὸν τῶν ὀνομαστῶν θαυμάσαι, ὡς τὰ αὐτὰ περὶ τοῦτον κἀκεῖνον ἀποφηνάμενον. Ἐπίλογος βραχὺς τὸ ἐπὶ τῷ τέλει διὰ βραχέων θαυμάσαι τὸν εἰρηκότα.

Γνώμη ἐστὶ λόγος ἐν ἀποφάνσεσι κεφαλαιώδης ἐπί τι προτρέπων ἢ ἀποτρέπων· τῆς δὲ γνώμης τὸ μέν ἐστι προτρεπτικὸν, τὸ δὲ ἀποτρεπτικὸν, τὸ δὲ ἀποφαντικόν· καὶ τὸ μὲν ἁπλοῦν, τὸ δὲ συνεζευγμένον· καὶ τὸ μὲν πιθανὸν, τὸ δὲ ἀληθὲς, τὸ δὲ ὑπερβολικόν· καὶ προτρεπτικὸν μέν ἐστιν, ὡς τό·

Χρὴ ξεῖνον παρέοντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν·

ἀποτρεπτικὸν δὲ, ὡς τό·

Οὐ χρὴ πανύχιον εὕδειν βουληφόρον ἄνδρα.

ἀποφαντικὸν δὲ ὡς τό· δεῖ δῆ χρημάτων, καὶ ἄνευ τούτων οὐδέν ἐστι γενέσθαι τῶν δεόντων· καὶ ἁπλοῦν μὲν, ὡς τό·

Εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης·

συνεζευγμένον δὲ, ὡς τό·

Οὐκ ἀγαθὸν πολυκοιρανίη, εἷς κοίρανος ἔστω.

πιθανὸν δὲ, ὡς τό·

Τοιοῦτός ἐστιν ἕκαστος, οἷσπερ ἥδεται ξυνών·

ἀληθὲς δὲ, ὡς τό·

Οὐκ ἔστιν εὑρεῖν βίον ἄλυπον ἐν οὐδενί.

Digitized by Google

ὑπερβολικὸν δὲ, ὡς τό·

Οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο.

ἐργάζεται δὲ τοῖς τῆς χρείας κεφαλαίοις· διενήνοχε δὲ τῆς χρείας τῷ τὴν μὲν χρείαν εἶναι ποτὲ μὲν πρακτικὴν, τὴν δὲ γνώμην ἀεὶ λογικὴν, καὶ τῷ τὴν μὲν χρείαν δεῖσθαι προσώπου, τὴν δὲ γνώμην ἀπροσώπως ἐκφέρεσθαι.

Ἀνασκευή ἐστιν ἀνατροπὴ προκειμένου τινὸς πράγματος. ἀνασκευαστέον δὲ τὰ μήτε λίαν σαφῆ, μήτε ἀδύνατα παντελῶς, ἀλλ' ὅσα μέσην ἔχει τάξιν· δεῖ δὲ ἀνασκευάζοντας πρῶτον μὲν εἰπεῖν τὴν τῶν φησάντων[1] διαβολὴν, εἶτα ἐπιθεῖναι τὴν τοῦ πράγματος ἔκθεσιν, καὶ κεφαλαίοις χρήσασθαι τοῖσδε· πρῶτον μὲν ἀσαφεῖ καὶ ἀπιθάνῳ, πρὸς τοῦτῳ καὶ ἀδυνάτῳ καὶ ἀνακολούθῳ καὶ ἀπρεπεῖ, καὶ τελευταῖον ἐπάγειν τὸ ἀσύμφορον. Τὸ δὲ προγύμνασμα τοῦτο πᾶσαν ἐν ἑαυτῷ περιέχει τὴν τῆς τέχνης ἰσχύν. Ἰστέον δὲ, ὅτι οὐκ ἔχει ταῦτα τὰ κεφάλαια τάξιν ἐν τῇ ἀνασκευῇ καὶ κατασκευῇ, ἀλλ' ὡς ἂν ἡ τοῦ ὑποκειμένου δίδωσι φύσις χρῆσθαι τῇ τέχνῃ, οὕτω πράττειν δεῖ τὰ κεφάλαια, μικρὰ τῆς τάξεως[2] αὐτῶν φροντίζοντας· ἀλλ' οὐδὲ πάντα τὰ κεφάλαια δεῖ βιάζεσθαι, ἂν μὴ χορηγῇ τὸ πρᾶγμα, ἀλλὰ τοῖς ἐμπίπτουσιν ἀρκεῖσθαι· εἰ γὰρ μὴ τοῦτο, εἰς ψυχρολογίαν περιστῆναι τὸν λόγον ἀνάγκη.

Κατασκευή ἐστι προκειμένου τινὸς βεβαίωσις πράγματος· κατασκευαστέον δὲ τὰ μήτε λίαν σαφῆ, μήτε ἀδύνατα παντελῶς, ἀλλ' ὅσα μέσην ἔχει τὴν τάξιν. Δεῖ δὲ κατασκευάζοντας τοῖς ἐναντίοις χρήσασθαι τῆς ἀνασκευῆς, καὶ πρῶτον μὲν εἰπεῖν εὐφημίαν τοῦ φήσαντος, εἶτα ἐν μέρει θεῖναι τὴν ἔκθεσιν καὶ τοῖς ἐναντίοις χρήσασθαι κεφαλαίοις, ἤγουν τῷ σαφεῖ, τῷ πιθανῷ, τῷ δυνατῷ, τῷ ἀκολούθῳ, τῷ πρέποντι καὶ τῷ συμφέροντι· περιέχει δὲ αὕτη ἡ γυμνασία ἐν ἑαυτῇ πᾶσαν

1 Cod. φυσάντων. 2 Cod. πράξεως.

Digitized by Google

τὴν τῆς τέχνης ἰσχὺν, οἷον προοίμιον, διήγησιν, ἀντίθεσιν, λύσιν καὶ ἐπίλογον.

Κοινός ἐστι τόπος λόγος αὐξητικὸς τῶν προσόντων τινὶ καλῶν ἢ κακῶν· εἴρηται δὲ οὕτως ἀπὸ τοῦ κοινῇ πᾶσιν ἁρμόττειν τοῖς μετασχοῦσι[3] τοῦ αὐτοῦ πράγματος· ὁ γὰρ κατὰ προδότου λόγος κοινῇ πᾶσιν ἥρμοσε τοῖς κοινωνοῦσι τῆς πράξεως· δευτερολογίᾳ δὲ ἔοικε καὶ ἐπιλόγῳ, διὸ προοίμιον μὲν ὁ κοινὸς τόπος οὐκ ἔχει· προοιμίων δὲ πλατττόμεθα τύπον γυμνασίας ἕνεκα τῆς πρὸς τοὺς νέους· θήσεις δὲ κεφάλαια πρῶτον μὲν ἐκ τοῦ ἐναντίου, εἶτα ἐποίσεις τὴν ἔκθεσιν, οὐχ ὡς διδάσκων, ἔγνωσται γὰρ, ἀλλ' ὡς παροξύνων τὸν ἀκροώμενον, μεθ' ἣν ἐποίσεις τὴν σύγκρισιν, ἐκ παραθέσεως συνάγων τῷ κατηγορουμένῳ τὸ μεῖζον· εἶτα γνώμην, κεφάλαιον οὕτω καλούμενον, διαβάλλων τὴν τοῦ πράξαντος διάνοιαν· εἶτα παρέκβασιν, στοχαστικῶς κακίζων τὸν φθάσαντα βίον, ἔπειτα ἐλέου ἐκβολὴν, καὶ τελευταῖον τὰ τελικὰ κατὰ νόμιμον, δίκαιον, συμφέρον, δυνατὸν, ἔνδοξον καὶ τὸ ἐκβησόμενον. τελικὰ δὲ καλοῦνται τὰ κατὰ ταῦτα, διὰ τὸ καὶ ἕκαστον αὐτῶν τέλος ἐπιθεῖναι δύνασθαι τῷ λόγῳ· ἐκβαλεῖς δὲ τὸν ἔλεον ἢ διὰ πάντων τούτων τῶν κεφαλαίων, ἢ δι' ἑνὸς, καὶ οὕτω τελειώσεις τὸν λόγον, οὐ γὰρ πᾶσιν ἀναγκαῖον χρῆσθαι, ἀλλὰ τοῖς λυσιτελέσι μόνοις.

Ἐγκώμιόν ἐστι λόγος ἐκθετικὸς τῶν προσόντων τινὶ καλῶν· εἴρηται δὲ οὕτως ἀπὸ τοῦ ἐν κώμαις ᾄδειν τὸ παλαιόν· κώμας δὲ ἐκάλουν τοὺς στενωπούς· διαφέρει δὲ καὶ ὕμνου καὶ ἐπαίνου, τῷ τὸν μὲν ὕμνον εἶναι θεῶν, τὸ δὲ ἐγκώμιον θνητῶν, καὶ τῷ τὸν μὲν ἔπαινον ἐν βραχεῖ γίνεσθαι, τὸ δὲ ἐγκώμιον κατὰ τέχνην. Ἐγκωμιαστέον δὲ πρόσωπά τε καὶ πράγματα, καιρούς τε καὶ τόπους, ἄλογα ζῶα, καὶ πρὸς τούτοις φυτά· πρόσωπα μὲν, ὡς Θουκυδίδην ἢ Δημοσθένην· πράγματα δὲ, ὡς δικαιο-

3 Cod. κατασχοῦσι.

Digitized by Google

σύνην ἢ σωφροσύνην· καιρούς δὲ, ὡς ἔαρ ἢ θέρος. τόπους δὲ etc., ut apud Aphthonium, omissis tantum: ἡ μὲν οὖν διαίρεσις αὕτη τοῦ ἐγκωμίου.

Ψόγος ἐστὶ λόγος ἐκθετικὸς τῶν πρασόντων τινὶ κακῶν. τόπου δὲ κοινοῦ διενήνοχε, τῷ τὸν μὲν τόπον ἐπάγεσθαι κόλασιν, τὸν δὲ ψόγον μόνην ἔχειν διαβολήν· χρήσῃ δὲ καὶ ἐν τούτῳ ταῖς αὐτοῖς τῷ ἐπαίνῳ κεφαλαίοις, ψέγων πάντα καὶ διαβάλλων καθ' ἕκαστον.

Σύγκρισίς ἐστι λόγος ἀντεξεταστικὸς ἐκ παραθέσεως συνάγων τῷ παραβαλλομένῳ τὸ μεῖζον ἢ τὸ ἴσον· δεῖ δὲ συγκρίνοντας ἢ καλὰ παραθεῖναι χρηστοῖς, ἢ φαῦλα φαύλοις, ἢ χρηστὰ πονηροῖς, ἢ μικρὰ παραθεῖναι τοῖς μείζοσι· καὶ ὅλως ἡ σύγκρισις διπλοῦν ἐγκώμιόν ἐστιν, ἢ ψόγος ἐξ ἐγκωμίου καὶ ψόγου συγκείμενος, καὶ πᾶς μὲν τόπος συγκρίσεως δεινὸς ἅπαξ καθέστηκε, μάλιστα δὲ ὁ μικρὰ παραβάλλων τοῖς μείζοσι, καὶ διὰ τοῦτο δεῖ οὐκ ἐπιχειρημάτων καὶ ἐπενθυμημάτων· τοσαῦτα δὲ συγκρίνειν προσήκει, ὅσα καὶ ψέγειν καὶ ἐγκωμιάζειν· δεῖ δὲ συγκρίνοντας μὴ ὅλον ἅλῳ παραβάλλειν, ὕπτιον γὰρ τοῦτο καὶ οὐκ ἀγωνιστικόν, ἀλλὰ κεφαλαίῳ κεφάλαιον, τὸ γὰρ διαιρεῖν ἐγκωμίου τρόπος καὶ οὐ συγκρίσεως·

Περὶ ἠθοποιΐας. Διαφοραὶ δὲ αὐτῆς εἰσι τρεῖς, εἰδωλοποιΐα, προσωποποιΐα, ἠθοποιΐα· καὶ ἠθοποιΐα μὲν ἡ πρόσωπον ἔχουσα γνώριμον, οἷον τίνας ἂν εἴποι λόγους Ἡρακλῆς· ἐνταῦθα γὰρ ὁ μὲν Ἡρακλῆς ἔγνωσται, τὸ δὲ τοῦ λέγοντος ἦθος πλαττόμεθα. Εἰδωλοποιΐα δὲ, ἡ πρόσωπον μὲν ἔχουσα γνώριμον, τεθνεὸς δὲ καὶ τοῦ λέγειν παυσάμενον, ὅθεν καὶ εἰδωλοποιΐα προσαγορεύεται. προσωποποιΐα δὲ, ὅταν ἅπαντα πλάττηται, καὶ τὸ ἦθος καὶ τὸ πρόσωπον. Τῶν δὲ ἠθοποιϊῶν αἱ μέν εἰσι παθητικαὶ, αἱ δὲ ἠθικαὶ, αἱ δὲ μικταί. Καὶ παθητικαὶ μὲν αἱ πάθος δηλοῦσαι· οἷον τίνας ἂν εἴποι λόγους Ἑκάβη κειμένης τῆς Τροίας· ἠθικαὶ δὲ αἱ μόνον ἦθος εἰσφέρουσαι·

Digitized by Google

οἷον, τίνας ἂν εἴποι λόγους ἠπειρώτης ἀνὴρ πρῶτον θεασάμενος θάλασσαν, μικταὶ δὲ αἱ τὸ συναμφότερον ἔχουσαι, καὶ ἦθος καὶ πάθος, οἷον τίνας ἂν etc., ut apud Aphthonium, nisi quod pro παρῳχηκότι habet παρῳχημένῳ.

Ἔκφρασίς ἐστι λόγος περιηγηματικὸς, ὑπ᾽ ὄψιν ἄγων ἐναργῶς τὸ δηλούμενον· ἐκφραστέον δὲ πρόσωπά τε καὶ πράγματα[1], καιρούς τε καὶ τόπους etc. ut apud Aphthonium, nisi quod καθάπερ ἔχει σχήματος omittitur, tum καὶ ὅσα ἐκβαίνειν ἐκ τούτων φιλεῖ scribitur, et καὶ ἐν αὐτοῖς ὑπαρχόντων omittitur.

Θέσις ἐστὶν ἐπίσκεψις λογικὴ θεωρουμένου τινὸς πράγματος· τῶν δὲ θέσεων αἱ μέν εἰσι πολιτικαὶ, αἱ δὲ θεωρητικαί· καὶ πολιτικαὶ μὲν, αἱ πρᾶξιν ἔχουσαι πόλιν συνέχουσαν, οἷον εἰ γαμητέον, εἰ πλευστέον, εἰ τειχιστέον, ταῦτα γὰρ πόλιν συνέχει γινόμενα· θεωρητικαὶ δὲ, αἱ μόνῳ τῷ νῷ θεωρούμεναι, οἷον εἰ σφαιροειδὴς ὁ οὐρανός· διενήνοχε δὲ θέσις ὑποθέσεως, τῷ τὴν μὲν ὑπόθεσιν ἔχειν περίστασιν, τὴν δὲ θέσιν ἀπερίστατον εἶναι· περίστασις δέ ἐστιν πρόσωπον, πρᾶγμα, αἰτία, χρόνος, τόπος καὶ τρόπος, οἷον τὸ μὲν εἰ τειχιστέον, ἐπίσκεψις οὐκ ἔχουσα πρόσωπον, τὸ δὲ ἐπίοντων Περσῶν βουλεύονται Λακεδαιμόνιοι, τειχίσαι τὴν Σπάρτην ὑπόθεσις· πρόσωπον γὰρ ἔχει τοὺς Λακεδαιμονίοις σκοποῦντας, πρᾶγμα τὸ τειχισθῆναι τὴν πόλιν, αἰτίαν τοὺς ἐπιόντας Πέρσας, πρώτη δὲ ἡ θέσις ἐν γυμνάσμασιν etc. ut Aphthonius. Omittitur ἐφόδῳ.

Ἡ τοῦ νόμου εἰσφορὰ σχεδὸν ὅλη ὑπόθεσίς ἐστιν, οὐ μὴν ἅπαντα σώζει τὰ τῆς ὑποθέσεως· εἰσάγεται γὰρ ἐν αὐτῇ πρόσωπον, οὐ μὴν ἐφ᾽ ἅπασι γνώριμον· ὅθεν θέσεως μέν ἐστι μᾶλλον, ἧττον δὲ ὑποθέσεως· οἷς μὲν γὰρ ὅλως σχήματος δέχεται πρόσωπον ὑπερβαίνει τὴν θέσιν, δι᾽ ὧν δὲ σαφῆ μὴ σώζει τὴν περίστασιν, ὑποθέ-

1 In codice superscriptum est πράξεις.

Digitized by Google

σεως λείπεται· ἔστι δὲ διπλῆ γυμνασία, συνηγορία καὶ κατηγορία νόμου τεθέντος· ἐργάσῃ δ' αὐτὴν κεφαλαίοις, οἷς καὶ τὴν πραγματικὴν, νομίμῳ, δικαίῳ, συμφέροντι, δυνατῷ· προοίμια δὲ ἤσεις, καὶ μετὰ τὰ προοίμια τὸ κεκλημένον ἐναντίον· εἶτα χρῆσῃ τοῖς προειρημένοις κεφαλαίοις.

In cod. Vat. 1361. sec. 16. chartac. fol. similis epitome exstat, titulum gerens: „Εἰς τὰ τοῦ Ἀφθονίου προγυμνάσματα", quam integram describere operae non fuit, id quod ex specimine adjecto elucebit.

Μῦθός ἐστι λόγος εἰκονίζων ἀλήθειαν· διαιρεῖται εἰς λογικὸν, ἐν ᾧ τι ποιῶν ἄνθρωπος πέπλασται, ἠθικὸν, τὸ τῶν ἀλόγων ἦθος ἀπομιμούμενος, μικτὸν ἐξ ἀμφοῖν, ἀλόγου καὶ λογικοῦ.

Sequitur — διήγημα. χρεία. γνώμη. κοινὸς τόπος. ἐγκώμιον. ψόγος. σύγκρισις.

Ἠθοποιΐα ἐστὶ μίμησις ἤθους ὑποκειμένου προσώπου· διαιρεῖται εἰς εἰδωλοποιΐαν, ἡ πρόσωπον μὲν ἔχουσα γνώριμον, τεθνεὸς δὲ καὶ τοῦ λέγειν παυσάμενον, ὡς Ἀριστείδης ὑπὲρ τῶν τεοσάρων[1]· προσωποποιΐαν, ὅταν ἅπαντα πλάττηται καὶ ἦθος καὶ πρόσωπον, καὶ λόγος, ὡς ὁ Μένανδρος ἐποίησεν ἔλεγχον, καὶ Ἀριστοφάνης πλοῦτον καὶ πενίαν, καὶ ἠθοποιΐαν, ἡ γνώριμον ἔχουσα πρόσωπον, πλαττομένη δὲ τὸ ἦθος, οἷον τίνας ἂν εἴποι λόγους Ἡρακλῆς Εὐρυσθέως αὐτῷ προστάσσοντος. Τῶν δὲ ἠθοποιΐων αἱ μέν εἰσι παθητικαὶ, αἱ κατὰ πάντα πάθος σημαίνουσαι, τίνας ἂν εἴποι λόγους Ἑκάβη Τροίας κειμένης, ὡς αἱ τραγῳδίαι· ἠθικαὶ, αἳ μόνον ἦθος εἰσφέρουσι, τίνας ἂν εἴποι λόγους ἠπειρώτης ἀνὴρ, πρῶτα θά-

1 p. 162. Jebb. Miltiades, p. 228. Miltiades, Themistocles, Cimon et Pericles loquentes inducuntur.

Digitized by Google

λάτταν καὶ πλοῖα θεασάμενος· μικταὶ αἱ τὸ συναμφότερον ἔχουσαι, τίνας ἂν εἴποι λόγους Ἀχιλλεὺς ἐπὶ Πατρόκλῳ κειμένῳ βουλευόμενος πολεμεῖν, ἦθος μὲν γὰρ καὶ βουλὴ, πάθος δὲ Φίλιππος πεσών.

Sequitur ἔκφρασις, θέσις, νόμου εἰσφορά.

Digitized by Google

III.

ΘΕΩΝΟΣ ΠΡΟΓΥΜΝΑΣΜΑΤΑ.

I. Fabricius et Harlesius

In bibl. graec. lib. IV. c. XXXIII. nr. XIV. Vol. VI. p. 97.

Theon, Alexandrinus, sophista, Aelius cognomine, scripsit et ipse *Τέχνην περὶ προγυμνασμάτων*, (unius enim scripti hunc titulum esse apud Suidam, non duorum, mihi persuadeo), quae etiamnum exstat, atque doctrinam de praeexercitamentis rhetoricae, ab Hermogene et Aphthonio traditam, (licet neutrius meminerit,) luculentius explicat atque erudite illustrat, ut hic liber tironibus eloquentiae merito debeat esse quam commendatissimus.

Alia hujus Theonis scripta, Suidae memorata, quae aetatem non tulere, sunt *ὑπόμνημα εἰς τὸν Ξενοφῶντα*, *εἰς τὸν Ἰσοκράτην*, *εἰς Δημοσθένην*. *Ῥητορικαὶ ὑποθέσεις*, et *ζητήματα περὶ συντάξεως λόγου*. Plura non nominat, etsi plura longe scripsisse eum testatur.

Dubito valde, (licet nihil ambigat Vossius lib. de Rhetoricae natura p. 64.) Theonem hunc esse eundem cum Theone, sophista, quem Damascius apud Photium p. 552. memorat. Certe a Suida distingui video, qui ab illo quo-

Digitized by Google

que τέχνην ῥητορικὴν scriptam refert: et plures fuere Theones rhetores ac sophistae, vel eodem teste Suida. Sed et hoc minime adeo exploratum est, quando vixerit noster, et num idem auctor sit scholiorum in Aratum, et qui Apollonium, Rhodium, teste schol. Aristoph. aliosque poëtas, ut Lycophronem ac Nicandrum, teste Stephano Byz. commentariis illustravit, quod grammatico potius quam sophistae convenit. [Sed Küster ad Suid. II. p. 182. illa scholia nostro adtribuenda esse censet. Num ille Theon, an alius scripserit in Theocritum scholia, haud omnino liquet. Theon quidem, Nicandri interpres atque commentator, medicus fuisse videtur. Cf. Warton ad Theocrit. tom. I. p. 135. et quos ille laudat V. D. Harl.].

II. Joannes Schefferus

ad frontem notarum suarum in Theonem.

Fuere multi Theones, ut ex Suida novimus, interque ipsos etiam Sophistae, unus Sydonius, filius Gymnasii, qui temporibus vixit Constantini, scripsitque μελέτας i. e. declamationes. Item alius Alexandrinus, cognomento Aelius, qui videtur Camerario is ipse, cui libellus hic debetur. Verba Camerarii in epist. dedicatoria editioni Theonis praemissa. *Quis autem hic auctor fuerit, et quo tempore floruerit, certo affirmare non possum. Illum quidem hunc accipio, qui sibi Aelii cognomentum sumsisse à Suida et Alexandrinus fuisse perhibetur.* Ac profecto Suidas ita de hoc Aelio Tuberone: ἔγραψε τέχνην προγυμνασμάτων, Artem de progymnasmatibus (quomodo videlicet componi debeant) conscripsit, quod in nullum alium, quam hunc nostrum, rectius videtur convenire. Quando vero vixerit, Suidas indicare omisit. Neque aliunde satis potest disci. Ideo et Camerarius superius negabat sese certo posse affirmare. Unum tamen est, quod observamus, extitisse

Digitized by Google

ἄνθρωπός ἐστι· καὶ εἰ ἀνεύθυνα τὰ τῶν ἀμβλώσεων ταῖς γυναιξί. Ἀυσίου[52] μὲν οὖ φασιν εἶναι τούτους τοὺς λόγους, ὅμως δὲ οὐκ ἀχάριστον τοῖς νέοις γυμνασίας ἕνεκα καὶ τούτοις ἐντυγχάνειν. Ἔστι δὲ καὶ ἐν ἑκάστῳ λόγῳ εὑρεῖν θετικὸν κεφάλαιον· οἷον ἐν τῷ Δημοσθένους κατὰ Ὀνήτορος ἐξούλης[53], εἰ ἀληθεῖς[54] αἱ βάσανοι, καὶ ἐν τῷ παρὰ Αἰσχίνῃ κατὰ Τιμάρχου, εἰ ἀληθεῖς αἱ φῆμαι, καὶ ἄλλα ἄλλοθεν· εὐπορήσομεν δὲ καὶ νόμων ἀνασκευῆς πολλαχοῦ μὲν παρὰ πλείστοις τῶν ῥητόρων· ἐντελέστατα δὲ παρὰ Δημοσθένει, ἔν τε τῷ κατὰ Ὑπερείδου καὶ Ἀριστοκράτους, καὶ πρὸς Λεπτίνην· κατασκευῶν δὲ παρά τε ἄλλοις, καὶ παρὰ Λυσίᾳ ἐν τῷ πρὸς Διοκλέα[55] ὑπὲρ τοῦ κατὰ τῶν ῥητόρων νόμου. Καὶ γὰρ εἰ μὴ πάσαις κέχρηνται οἱ παλαιοὶ ταῖς ὑφ' ἡμῶν παραδεδομέναις[56] ἁρμοναῖς, τῷ μὴ πρὸς γυμνασίαν ἀλλὰ πρὸς ἀγῶνας τοὺς λόγους πεποιῆσθαι, ἀλλ' ὅμως τήν γε ὅλην διάθεσιν ἐμφαίνουσι τῶν τοιούτων λόγων· ὅτι δὲ οὐδὲ τῆς παραφράσεως ἠμέλουν οἱ παλαιοί, δῆλον ἐκ τῶν μικρὸν ἔμπροσθεν εἰρημένων. Πολλὰ δέ ἐστι καὶ ἐξειργασμένα μᾶλλον παρὰ[57] ἑτέροις αὐτῶν· τὸ γοῦν Κυλώνειον ἄγος[58], μᾶλλον τοῦ[59] Ἡροδότου καὶ Λύφρονος[60] ἐξείρ-

inciperet se movere, de quo ipse Aristoteles in Politicis lib. VII. c. 16. Scheff. 52 Hoc notandum, nam et Suidas docet, multas ei tributas orationes, quae essent aliorum. Scheff. 53 Titulus hic est caussae. Caeterum ἐξούλην sic exponit auctor vetus Argumenti, quod orationi ipsi praefixum est: τὸ τῆς ἐξούλης ὄνομα Ἀττικόν· ἐξέλλειν γὰρ ἔλεγον τὸ ἐξωθεῖν καὶ ἐκβάλλειν βίᾳ. Consule et quae habet Harpocration hac voce. Scheff. 54 In fine orationis prioris haec habentur. Scheff. 55 Periit et haec, cum aliis ipsius. Scheff. 56 Med. παραδιδομέναις. 57 Rom. Camer. παρὰ τοῖς ἑ. Med. Heins. τοῖς om. 58 Quo Minerva fuit laesa, occupata per Cylonem arce temploque Minervae, ac post ad aram ejus interfectis quibusdam Cylonis complicibus, unde ἄγος τῆς Θεοῦ Thucydi-

Digitized by Google

γαστα Θουκυδίδη· καὶ Δημοσθένης δὲ μᾶλλον Ὑπερίδου
τὴν γεγενημένην Ἀθηναίοις ταραχὴν· ὅτι ἦλθεν ἑσπέρας
ἀγγέλλων[61] τις ὡς τοὺς πρυτάνεις, ὡς ἡ Ἐλάτεια κατεί-
ληπται· ἔστι δὲ καὶ ἱστορίας καὶ ὅλους λόγους ἀλλήλοις
ἀντιπαραβάλλειν, σκοποῦντα τὸ ἄμεινον ἐξειργασμένον·
οἷον Δημοσθένους μὲν πρὸς[62] τοὺς Ὑπερίδου, Θεοπόμ-
που δὲ τὰς Ἑλληνικὰς ἱστορίας πρὸς τὰς Ξενοφῶντος·
τὴν δὲ ἀντίῤῥησίν ἐστιν εὑρεῖν μάλιστα ἐν τοῖς λόγοις,
ἐν οἷς ὁ μὲν κατηγορεῖ, ὁ δὲ ἀπολογεῖται περὶ τῶν κα-
τηγορουμένων, οἷον ἐν τῷ Αἰσχίνου κατὰ Κτησιφῶντος,
καὶ Δημοσθένους ὑπὲρ τοῦ στεφάνου, καὶ ἔτι ἐν τῷ ἑκα-
τέρου, περὶ τῆς παραβρεσβείας. εὕροις δ' ἂν καὶ ἐν ἱστο-
ρίαις· παρὰ μὲν Θουκυδίδῃ ἐν μὲν τῇ πρώτῃ Κορινθίων
ἐστὶν ἀντιλογία πρὸς Κερκυραίους, ἐν δὲ τῇ τρίτῃ Διο-
δότου καὶ Κλέωνος· παρὰ δὲ Πλάτωνι καὶ τὴν ἐξεργα-
σίαν καὶ τὴν ἀντίῤῥησιν ἐπὶ τῶν πραγμάτων ἐστὶν ἰδεῖν·
ἐν μέν γε τῷ Φαίδρῳ εἰς[63] τὴν αὐτὴν ὑπόθεσιν τῷ
Λυσίᾳ εἰπὼν ἐξῆς ἀμφοτέροις τοῖς λόγοις ἀντιλέγει, τῷ
τε αὐτοῦ καὶ τῷ Λυσίου, ἐν δὲ τῇ πολιτείᾳ καταρχὰς
διὰ τῶν περὶ τὸν Γλαύκωνα καὶ Ἀδείμαντον συναγορεύ-
σας τῷ Θρασυμάχῳ περὶ τῆς δικαιοσύνης, μετὰ ταῦτα
εὐθὺς ἀπολογεῖται πρὸς πᾶσαν τὴν κατηγορίαν. Ταῦτα
μὲν οὖν παρεθέμην, οὐ νομίζων μὲν, ἅπαντα εἶναι πᾶσιν
ἀρχομένοις ἐπιτήδεια, ἀλλ' ἵνα ἡμεῖς εἰδῶμεν, ὅτι πάνυ

di l. I., quem locum noster habuit in animo. Scheff. marg. Vict. laudat Cicer. de legg. [II. 11.]. 59 Med. δέ pro τοῦ. 60 Quis hic Εὔφρων? Nam Euphronem alibi, qui quidem scripserit historias, non lego. Suidae memoratur Εὔφρων, sed poëta comicus. Itaque opinor hic scribendum vel Εὔφορος, vel Ἔφορος, cum praesertim Ephori testimonio et alibi utatur. Scheff. 61 Med. Rom. Camer. ἀγγέλων. et quamvis correxerit Camer. in corrigendis, tamen Heins. et Scheff. mendam propagaverunt. Pro Cor. p. 284. 62 Med. Rom. Camer. μὲν τῶν κατὰ Γτ. Heins. μὲν πρὸς τούς. 63 Med. ed.

ἐστὶν ἀναγκαῖον ἡ τῶν γυμνασμάτων ἄσκησις, οὐ μόνον τοῖς μέλλουσι ῥητορεύειν, ἀλλὰ καὶ εἴ τις ἢ ποιητῶν[64], ἢ λογοποιῶν, ἢ ἄλλων τινῶν λόγων δύναμιν ἐθέλει μεταχειρίζεσθαι. Ἔστι γὰρ ταῦτα οἱονεὶ θεμέλια πάσης τῆς τῶν λόγων ἰδέας. καὶ ὡς ἂν αὐτά τις ὑπάγηται[65] τῇ τῶν νέων ψυχῇ, ἀνάγκη τὸν[66] αὐτὸν τρόπον καὶ τὰ μετὰ ταῦτα συμβαίνειν· διόπερ χρὴ πρὸς τοῖς εἰρημένοις καὶ αὐτὸν τὸν διδάσκαλον ἀνασκευάς τινας καὶ κατασκευὰς μάλιστα κάλλιστα ποιησάμενον, προστάξαι τοῖς νέοις ἀπαγγεῖλαι, ὅπως τυπωθέντες κατὰ τὴν ἐκείνων ἀγωγὴν μιμήσασθαι δυνηθῶσιν· ἐπειδὰν δὲ καὶ αὐτοὶ γράφειν[67] ἱκανοὶ γένωνται, ὑπαγορευτέον μὲν αὐτοῖς τὴν τάξιν τῶν κεφαλαίων καὶ τῶν ἐπιχειρημάτων, σημαντέον δὲ καὶ τὸν καιρὸν τῆς παρεκβάσεως καὶ τῆς αὐξήσεως καὶ τῶν ἄλλων ἁπάντων· δῆλον δὲ ποιητέον καὶ τὸ ἦθος τοῦ προβλήματος[68]· ἐπιμελητέον δὲ καὶ τῆς συνθέσεως τῶν ὀνομάτων, πάντα διδάσκοντα ἐξ ὧν διαφεύξονται τὸ κακῶς συντιθέναι, καὶ μάλιστα δὲ τὴν ἔμμετρον[69]

Rom. εἰ. marg. Vict. γρ. εἰς. ita Camer. 64 Vict. ad marg. ποιητός. 65 Ed. Rom. ὑπάγειται. marg. Vict. ὑπάγηται. ita Med. et Camer. Sed Heins. ὑπάγεται. 66 Ed. Rom. τῶν. marg. Vict. τόν. 67 Med. γράφειν καί αὐτοί. 68 Utrum nempe concitationem postulet, an moderationem; utrum cum fiducia, num cautione; utrum graviter, an humiliter omnia proponenda, atque sic deinceps. Hoc enim puto esse ἦθος προβλήματος, eique respondere ἦθος λόγου, quod alias character appellatur. Scheff. Philostr. Jun. Im. I. καὶ τί τὸ ἦθος τῆς γραφῆς. II. διδοῦσά τι τῷ θυμῷ ἦθος. VII. ὅμμα τε αὐτῷ χαροπὸν μὲν ὑπόκειται τῷ τῆς ὀφρύος ἤθει, ubi vide annot. Jacobsii. 69 Ἔμμετρος λόγος plane proprius poëtarum. μέτρον enim, quod poëtae custodiunt. Aliud est ῥυθμός. Aristot. III. Rhet. c. 8. ῥυθμὸν δεῖ ἔχειν τὸν λόγον, μέτρον δὲ μή, ποίημα γὰρ ἔσται. Rithmum oportet habere orationem, non metrum, alioquin poëma erit. Noster tamen in oratione repraehendit etiam

Digitized by Google

καὶ εὔρυθμον λέξιν, ὡς τὰ πολλὰ τῶν Ἡγησίου[70] τοῦ ῥήτορος, καὶ τῶν Ἀσιανῶν[71] καλουμένων ῥητόρων, καί τινα τῶν Ἐπικούρου, οἷά που καὶ πρὸς Ἰδομενέα[72] γράφει· ὦ πάντα τὰμὰ κινήματα τερπνὰ νομίσας ἐκ νέου· καὶ τῶν περιφερομένων δ' ὡς ἐκείνου· ἡμεῖς δ' οὐδέπω καὶ νῦν αὐτὰ εὑρίσκομεν ἐν τοῖς συγγράμμασιν αὐτοῦ· λέγε δή μοι Πολύαινε* συναπέριμεν[73] μεγάλη χαρὰ γενη-

τὸ εὔρυθμον. Nempe aliud ἔχειν ῥυθμόν, et aliud esse εὔρυθμον. Εὔρυθμον enim non minus atque ἔμμετρον poëticum. Fabius l. IX. c. 4. Cicero testatur frequenter, se quod numerosum sit quaerere, ut magis non ἀριθμόν [sic], quod esse inscitum atque agreste, quam εὐρυθμόν, quod poëticum est, esse compositionem velit. Ἔμμετρον quoque non oportere orationem esse, licet proxime ut accedat, necesse sit, testatur Hermogenes l. II. de Ideis capite περὶ γλυκύτητος. Scheff. 70 Qui fuit et Orator et Historicus, primus auctor styli Asiatici, ut ex Strabone docet Vossius in de Hist. Graec. Et haec caussa, cur subjungat Ἀσιανοὺς ῥήτορας. Observandum vero, quod inter alia styli hujus vitia recenseat τὸ ἔμμετρον καὶ εὔρυθμον; nam alii monere omiserunt. Scheff. De Hegesia cfr. loco omnium Ruhnken. ad Rutil. Lup. p. 25. sqq. 71 Cic. Brut. c. 13. Nam ut semel e Piraeo eloquentia evecta est, omnes peragravit insulas, atque ita peregrinata tota Asia est, ut de externis oblineret moribus, omnemque illam salubritatem Atticae dictionis, et quasi sanitatem perderet, ac loqui paene dedisceret. Hinc Asiatici oratores non contemnendi quidem nec celeritate nec copia, sed parum pressi et nimis redundantes. Orat. c. 8. Itaque Caria et Phrygia et Mysia, quod minime politae, minimeque elegantes sunt, adsciverint aptum suis auribus opimum quoddam et tanquam adipale dictionis genus. Quint. Inst. or. XII. 10. Asiana gens tumidior alioqui et jactantior vaniore etiam dicendi gloria inflata est. 72 Lampsacenum, unum ex praecipuis Epicuri discipulis, ad quem epistolas scripsit plures. Vide Laërtium in vita Epicuri. Scheff. 73 Nihil usquam inveni, quo expellere pos-

Digitized by Google

ται. τὰ οὖν τοιαῦτα καὶ τελέως ἐστὶν ἐπίπεμπτα[74], καὶ πρόδηλον ἔχει τὴν κακίαν τῆς συνθέσεως· συγγνώμης δ' ἄξιον, ὅταν εἰς ἐκεῖνά τις ἐμπέσῃ ποτὲ τὰ μέτρα, ἅπερ ἔχει ὁμοιότητα πρὸς τὸ πεζόν· οἷόν ἐστι τὸ ἰαμβικόν· διὸ καὶ πάντες οἱ συγγραφεῖς ἄκοντες ἐμπίπτουσιν εἰς τὸ γένος τοῦτο. Ὁ γοῦν Ἔφορος ἐν τῷ περὶ λέξεως[75], δι' αὐτοῦ τοῦ ἀπαγορεύοντος λόγου, μὴ τῇ εὐρύθμῳ χρῆσθαι διαλέκτῳ, εὐθὺς ἐν ἀρχῇ στίχον εἴρηκεν, εἰπών· πάλιν δὲ περὶ τῆς εὐρύθμου διέξειμι. Περιέχεσθαι δεῖ οὐδὲν ἧττον καὶ τῆς εὐπρεπείας, ὥστε μὴ ἐκ τοῦ εὐθέως γυμνῶσαι τὰ αἰσχρὰ, περισταλμένως δὲ ἀπαγγέλλειν, ὡς Αἰσχίνης εἰς ἀῤῥητοποιΐαν τὸν Δημοσθένην διαβάλλων[76], φησὶν αὐτὸν μὴ καθαρεύειν τὸ στόμα, μήδ' ὅθεν τὴν φωνὴν προΐεται· πρὸς δὲ τούτοις χρὴ τὴν ἑρμηνείαν καὶ σαφῆ καὶ ἐναργῆ εἶναι· οὐ γὰρ ἀπαγγεῖλαι[77] μόνον δεῖ, ἀλλὰ καὶ τὸν λόγον ἐνοικειῶσαι τῇ διανοίᾳ τῶν ἀκουόντων, ὡς τὲ γενέσθαι τὸ ὑπὸ Ὁμήρου[78] λεγόμενον,

---

sem hoc monstrum, nisi forte scribendum: σὺν ᾧ περ ἄν ἡμῖν. Scheff. suspicatur, scripsisse nostrum: „λέγε δή μοι Πολύαινε, πῶς ἂν ἡ περὶ ἡμῖν μεγάλη χορὰ γένηται. Polyaenus, quem hic compellat, et ipse illius fuit discipulus, Athenodori filius, Lamsacenus [sic]. Vide Laërtium supra dicto loco". 74 Ed. Rom. ἐπίπεμπτα. corr. marg. Vict. 75 Hoc ejus scriptum puto nostrum unicum laudare. Quod notandum, quia qui caetera ejus scripta commemorant, hoc omiserunt. Scheff. 76 Heins. Scheff. οὔ φησιν. a Med. Rom. Camer. οὐ abest. Iidem ἀλλὰ, quod Heins. et Scheff. ante μήδ' ὅθεν habent, om. Scheff. in notis: „Quia hoc nimis aperte indicasset flagitium, cujus insimulabant Demosthenem. Sed in Camerarii editione aliter se ista habent, atque hunc in modum: φησὶν ἀ. μ. καθαρεύειν, μήδ' ὅθεν τ. φ. προΐεται. Quod videtur esse melius et ad objectionem mollitiei propius spectare. Sed deliberent eruditiores". 77 Heins. παγγεῖλαι. Fideliter repetiit Scheff. 78 Od. Λ. Verum ibi vulgo aliter est scri-

Digitized by Google

Ῥᾴδιόν τε ἔπος ἐρέω, καὶ ἐπὶ φρεσὶ θήσω·

ἡ δὲ διόρθωσίς ἐστιν οὐκ ἀπ' ἀρχῆς πάντα τὰ ἁμαρτήματα περιαίρουσα, ἀλλ' ὀλίγα, καὶ μάλιστα τὰ πρόδηλα, ὅπως μὴ ἀθύμως ὁ νέος διατεθεὶς δυσέλπιστος εἰς τὰ μετὰ ταῦτα γένηται· ἅμα δὲ ὁ διορθῶν ὑπυδεικνύτω, παρὰ τί γέγονε τὸ ἁμάρτημα, καὶ πῶς ἐνδέχεται βέλτιον ποιῆσαι· πολὺ δ' ὠφελιμώτερον καὶ τὸ προστάττειν τοῖς 11
νέοις γράφειν εἴς[79] τινα προβλήματα τῶν ἤδη τοῖς παλαιοῖς ἐξειργασμένων, οἷον τόπον, ἢ διήγησιν, ἢ ἔκφρασιν, ἢ ἐγκώμιον, ἢ ὕθεσιν, ἤ τι ἄλλο τῶν τοιούτων· μετὰ δὲ 10
ταῦτα ποιῆσαι τοῖς ἐκείνων αὐτοὺς ἐντυγχάνειν, ἵν' εἰ μὲν ὁμοίως εἶεν γεγραφότες, πεισθῶσιν· εἰ δὲ μή, ἀλλὰ διορθωτὰς ἔχοιεν αὐτοὺς τοὺς παλαιούς· ἐπεὶ δὲ οὐ πάντες πρὸς πάντα πεφύκαμεν, ἀλλ' οἱ μὲν τῶν παθῶν[80] ἀπολείπονται, περὶ δὲ τὰ ἤθη μᾶλλον κατορθοῦσιν, οἱ δ' 81 15
ἀνάπαλιν, οἱ δ' ἀμφοῖν ὑστεροῦσι, τὰ δὲ ἐνθυμήματα ἄριστον ἐργάζονται, πειρατέον τὰ μὲν φυσικὰ πλεονεκτήματα αὔξειν, τὰ δὲ ἐλλείποντα ταῖς αὐξήσεσιν ἀναπληροῦν, ἵνα δυνηθῶμεν μὴ μόνον τὰ μεγάλα προβλήματα καλῶς λέγειν, ὡς Αἰσχίνης[82], μηδὲ τὰ μικρὰ, ὡς Λυσίας, 20

Ptus iste versus, sc. *ῥᾴδιόν τοι ἔπος ἐρέω καὶ ἐπὶ φρεσὶ θείω.* Scheff. Paullo post Med. Rom. Camer. *ἐστίν.* Heins. *ἔστω.* 79 Nescio, quid hic velit comma [edd. post *γράφειν* comma habent], et illud *εἰς*, nisi forte aliquid hic desit. Scheff. mox Rom. *τοῖς παλαιοῖς* et *ἔφρασιν.* 80 Versio hujus loci [aliique in affectibus gravioribus nihil, in levioribus plurimum] non videtur exhibere mentem Theonis. Dicuntur *ἀπολείπειν παθῶν*, qui affectus nequeunt ciere, contra bene morata utuntur oratione, quod est *καθορθοῦν περὶ τὰ ἤθη. ἐργάζεσθαι* vero *ἐνθυμήματα*, multum pollere argumentatione atque rationibus, ut haec sit sententia, cum in omni oratione sint affectus, mores, et rationes, alium alio genere praestantiorem plerumque esse. Scheff. 81 Med. Rom. Camer. *δέ*, et paullo post Med. *οἱ δὲ ἀμφοῖν.* 82 Quem notandum venit

Digitized by Google

ἀλλὰ καὶ πρὸς ἀμφότερα παρασκευὴν ἔχωμεν, ὡς Δημοσθένης· ἐπὶ πᾶσι δὲ καὶ τὴν προσήκουσαν ὑπόκρισιν ἑκάστῃ τῶν λόγων ἰδέᾳ πειρατέον ἐκμανθάνειν.

Cap. III.

Περὶ Μύθου.

Μῦθός ἐστι λόγος ψευδὴς, εἰκονίζων ἀλήθειαν· εἰδέναι δὲ[1] χρὴ, ὅτι μὴ περὶ παντὸς μύθου ταυτὸν ἡ σκέψις ἐστὶν, ἀλλ᾽ οἷς μετὰ τὴν ἔκθεσιν ἐπιλέγομεν τὸν λόγον, ὅτου εἰκών ἐστιν· ἔσθ᾽ ὅτε μέν τοι τὸν λόγον εἰπόντες, ἐπεισφέρομεν τοὺς μύθους· καλοῦνται δὲ Αἰσώπειοι, καὶ Λιβυστικοὶ[2], ἢ Συβαριτικοί τε καὶ Φρύγιοι, καὶ Κιλίκιοι, καὶ Καρικοὶ[3], Αἰγύπτιοι, καὶ Κύπριοι· τούτων δὲ πάντων μία ἐστὶ πρὸς ἀλλήλους διαφορὰ, τὸ προσκείμενον αὐτῷ ἕκαστον ἴδιον γένος· οἷον, Αἴσωπος εἶπεν, ἢ Λίβυς ἀνὴρ, ἢ Συβαρίτης, ἢ Κυπρία γυνὴ, καὶ τὸν αὐτὸν τρόπον ἐπὶ

---

ex his verbis eminuisse in hoc genere, sicut Lysiam in contrario. Adde de utroque Dionys. Halicarnass. Scheff.

1 δέ Med. Rom. Camer om., posuit Heins. 2 Apud Hesychium videntur esse Λυβικοὶ λόγοι. Ita Theo Smyrnaeus c. 18. καὶ ὁ Λυβικὸς λόγος λέγεται. et Aristot. II. Rhet. c. 20. λόγοι, οἷον οἱ Αἰσώπειοι καὶ Λυβικοί. Scheff. nihil mutandum: Aesch. Eum. 280. ἀλλ᾽ εἴτε χώρας ἐν τόποις Λιβυστικοῖς. Apud Ttetz. ad Lycophr. 519. eundem versum citantem Cod. Vit. 1. et Ciz. Λυβικοῖς. 3 Hasce fabulas alibi laudatas non recordor, quemadmodum nec fabulas Aegyptiacas. Scheff. Notatu dignum est schol. in Cod. Angel. F. 6. 17., quod integrum ad scholia Aldina in Aphthon. adjeci c. I. Καρικὸς δὲ αἶνος λέγεται, ὃν ἀναφέρουσιν εἰς γένει Κᾶρα ἄνδρα· τοῦτον γὰρ ἁλιέα τυγχάνοντα χειμῶνος θεασάμενον πολύποδα εἰπεῖν· εἰ μὲν ἀποδῦς κολυμβήσαιμι ἐπ᾽ αὐτὸν, ῥιγώσω, εἰν δὲ μὴ λάβω τὸν πολύποδα, τῷ λιμῷ τὰ παιδί᾽ ἀπολῶ. Κέχρηται δὲ τῷ λόγῳ τούτῳ καὶ Τιμοκρέων ἐν μέλεσι, καὶ Σιμωνίδης αὐτοῦ μνημονεύει ἐν τῷ εἰς Ὅριλλαν [sic]

Digitized by Google

τῶν ἄλλων· ἐὰν δὲ μηδεμία ὑπάρχῃ προσθήκη σημαίνουσα τὸ γένος, κοινοτέρως τὸν τοιοῦτον Αἰσώπειον καλοῦμεν· οἱ δὲ λέγοντες τοὺς μὲν ἐπὶ τοῖς ἀλόγοις ζώοις[4] συγκειμένους, τοιούσδε εἶναι, τοὺς δὲ ἐπ᾽ ἀνθρώποις τοιούσδε, τοὺς μὲν ἀδυνάτους τοιούσδε, τοὺς δὲ δυνατῶς[5] ἐχομένους τοιούσδε, εὐήθως μοι ὑπολαμβάνειν δοκοῦσιν· ἐν πᾶσι γὰρ τοῖς προειρημένοις εἰσὶν ἅπασαι αἱ ἰδέαι. Αἰσώπειοι δὲ ὀνομάζονται ὡς ἐπίπαν, οὐχ ὅτι Αἴσωπος[5] πρῶτος εὑρετὴς τῶν μύθων ἐγένετο, (Ὅμηρος γὰρ καὶ Ἡσίοδος[6] καὶ Ἀρχίλοχος καὶ ἄλλοι τινὲς πρεσβύτεροι γεγονότες αὐτοῦ φαίνονται ἐπιστάμενοι, καὶ δὴ καὶ Κόννις ὁ[7] Κίλιξ, καὶ Θοῦρος[8] ὁ Συβαρίτης, καὶ Κυβισσὸς[9] ἐκ Λιβύης, μνημονεύονται ὑπό τινων ὡς μυθοποιοί) ἀλλ᾽ 12

ἐπινικίῳ. 4 Vide Vossium l. II. Inst. Or. p. 313. 5 Philostr. l. I. Imag. φοιτῶσιν οἱ μῦθοι παρὰ τὸν Αἴσωπον, ἀγαπῶντες αὐτὸν, ὅτι αὐτῶν ἐπιμελεῖται· ἐμέλησεν μὲν γὰρ καὶ Ὁμήρῳ μύθου καὶ Ἡσιόδῳ, ἔτι δὲ καὶ Ἀρχιλόχῳ πρὸς Λυκίμβην. Ad Aesopum Fabulae proficiscuntur, quod ipsarum sit studiosus, eum diligentes. Nam et Homero quidem curae fuit fabula et Hesiodo, nec non in Lycamben Archilocho. Scheff. Wyttenbach. ad Plut. Symp. p. 158. B. laudato nostro et Philostrati loco subjecit: „In Theonis quidem, ut eruditissimi diligentissimique scriptoris, loco haud scio an Homeri mentio aliunde invecta sit; quippe quem hoc genus fabularum, αἶνον, attigisse a nemine Veterum proditum novimus. Quamquam dubitari nequit, quin diu ante Homerum in vulgari hominum consuetudine frequens fuerit". 6 Med. Αἰόλος. 7 Med. et edd. καὶ Κόννις, καὶ Κίλιξ. Scheff.: „Vix dubito, quin noster scripserit, Κόννις ὁ Κίλιξ. Caeterum hic Connis aliis praeter nostrum, memoratus non videtur". Eandem, pro se quisque, emendationem faciunt Colomes. Opusc. pag. 224. Voss. Instit. Rhet. IV. c. 11. P. 3. p. 199. Koen. ad Gregor. Cor. p. 291. ed. Schaef. 8 Etiam hunc alibi necdum invenire potui. Scheff. 9 Ne hic quidem aliis est nominatus,

Digitized by Google

ὅτι Αἴσωπος αὐτοῖς μᾶλλον κατακόρως καὶ δεξιῶς ἐχρήσατο· ὥσπερ Ἀριστοφάνειόν τι μέτρον, καὶ Σαπφικὸν, καὶ Ἀλκαϊκὸν[10], καὶ ἄλλο ἀπ' ἄλλου λέγεται· οὐχ ὡς τούτων ποιητῶν μόνων, ἢ πρῶτον[11] ἐξευρηκότων[12] τὰ μέτρα, ἀλλ' ὅτι αὐτοῖς ἐπὶ τὸ πλεῖστον ἐχρήσαντο. Προσαγορεύουσι δὲ αὐτοὺς, τῶν μὲν παλαιῶν οἱ ποιηταὶ μᾶλλον αἴνους[13], οἱ δὲ μύθους[14]· πλεονάζουσι δὲ μάλιστα οἱ καταλογάδην συγγεγραφότες, τὸ λόγους ἀλλὰ μὴ μύθους καλεῖν· ὅθεν λέγουσι καὶ τὸν Αἴσωπον λογοποιόν. Πλάτων δὲ ἐν διαλόγῳ τῷ περὶ ψυχῆς, πῇ μὲν μῦθον, πῇ δὲ λόγον ὀνομάζει· εἴρηται δὲ μῦθος, οἷον λόγος τις ὤν[15]· ἐπεὶ καὶ μυθεῖσθαι τὸ λέγειν[16] ἐκάλουν οἱ πα-

---

quantum scio. Scheff. 10 Ed. Rom. Ἀλκαϊνόν. corr. marg. Vict. 11 Marg. Vict. πρώτων. 12 Observa, non idcirco dicta esse haec metra, quasi ejusdem secum nominis habuerint auctores, sicut vulgo credunt. De Alcaico vide Voss. Instit. Poët. l. III. p. 82. et in de Prosodia, ubi agit et de Sapphico. De Aristophaneo Frischlinum in vita Aristophanis. Auctor Graecus vitae hujus tantum ita habet: Ὠνομάσθη δὲ ἀπ' αὐτοῦ, ἐπειδὴ ἔνδοξον τὸ μέτρον τὸ Ἀριστοφάνειον. unde id non sequitur, quod Frischlinus volebat. Scheff. Vide Herm. Elem. doctr. metr. L. II. c. 33. 1. p. 398. 13 Phavorinus: αἶνος παρὰ τοῖς παλαιοῖς λόγος συμβολικὸς ἐκ μύθου ἢ ἱστορίας περιπέτειαν ἔχων πιθανητικήν. Scheff. 14 Sunt tamen, qui haec duo distinguant. Theo Smyrnaeus c. 18. καὶ ὁ Λυβικὸς, καὶ ὁ μῦθος [sic Scheff.], καὶ ὁ αἶνος, λόγος λέγεται. Doctissimus interpres ibi μῦθος fabulam, αἶνος apologum vertit. Phavorinus et Eusthatius aliter. μῦθος αἶνου διαφέρει τῷ τὸν αἶνον μὴ πρὸς παῖδας, ἀλλὰ πρὸς ἄνδρας πεποιῆσθαι, καὶ μὴ πρὸς ψυχαγωγίαν μόνον, ἀλλὰ καὶ παραίνεσιν ἔχειν τινὰ, βούλεται γὰρ ἐπικρυπτόμενος παραινεῖν τι καὶ διδάσκειν, ὅπερ καὶ Ἡσίοδος φαίνεται πεποιηκώς. Scheff. 15 Phavorinus: Μῦθος ἀντὶ τοῦ λόγου λέγουσιν Ἴωνες· ἀεὶ ὁ ποιητὴς μῦθον ἁπλῶς τὸν λόγον φησί· τὸ δὲ ἐπὶ ψευδοῦς λόγου τεθεῖναι αὐτὸν, τὸν [l. τῶν] ὕστερόν ἐστι. Scheff.

Digitized by Google

λαιοί· αἶνος δέ, ὅτι καὶ παραίνεσίν τινα[17] περιέχει, ἀναφέρεται γὰρ ὅλον τὸ πρᾶγμα εἰς χρησίμην ὑποθήκην· νῦν μέν τοι καὶ τὰ αἰνίγματα[18] αἴνους τινὲς καλοῦσι[19], καὶ τοῦτο τὸ γύμνασμα· καὶ γὰρ ἀπαγγέλλομεν[20] τὸν μῦθον, καὶ κλίνομεν, καὶ συμπλέκομεν αὐτὸν διηγήματι, καὶ ἐπεκτείνομεν, καὶ συστέλλομεν. Ἔστι δὲ καὶ ἐπιλέγειν αὐτῷ τινὰ λόγον, καὶ αὖ λόγου τινος προτεθέντος, μῦθον ἐοικότα αὐτῷ συμπλάσασθαι· ἔτι δὲ πρὸς τούτοις ἀφασκευάζομεν, καὶ κατασκευάζομεν· τὴν μὲν ἀπαγγελίαν ἥτις ἐστὶ, καὶ ἐν τῷ περὶ τῆς χρείας δεδηλώκαμεν· ἐν δὲ τοῖς μύθοις ἁπλουστέραν τὴν ἑρμηνείαν εἶναι δεῖ καὶ προσφυῆ, καὶ ὡς δυνατὸν, ἀκατάσκευόν τε καὶ σαφῆ· διὸ καὶ προεκμανθάνειν δεῖ, ὅσους καὶ παρὰ τοῖς παλαιοῖς ἐστιν εὑρεῖν οὕτως ἀπηγγελμένους· χρήσιμον δὲ καὶ τὰ, ὁλοκλήρου τινὸς εἰρημένου μύθου, ἐθισθῆναι τὸν μανθάνοντα χαριέντως ἐκ τῶν μύθων ἄρξασθαι, ὥσπερ Ἡσίοδος[21].

16 Hesych. μυθεῖσθαι, λέγειν, μυθήσασθαι, εἰπεῖν· μυθήσομαι εἴπωμαι ἢ εἴποιμι. Scheff. 17 Hoc, praeter nostrum, non puto quenquam alium ex veteribus habere, quod notandum. Scheff. 18 Eustathius Il. ψ. veteribus hoc tribuit, quod debet observari. Σημείωσαι δέ, ὅτι αἶνον οἱ παλαιοὶ τὸν ἀπόκρυφον λόγον καὶ ἐσχηματισμένον λέγοντες, καὶ ὡς οἷον εἰπεῖν αἰνὸν διὰ τὸ βάθος, ὅθεν καὶ τὸ αἰνίζομαι ἐπὶ αἰνίγματος. Hesych. αἰνιττόμενος, δι' αἰνιγμάτων ἢ παραβολῶν λαλῶν. Scheff. 19 Heins. et Scheff. distinguunt: τὰ αἰνίγματα, αἴνους τινὲς καλοῦσι, καὶ τοῦτο τὸ γύμνασμα. Inde Scheff. in notis: „Distinctio est prava. Scribe καλοῦσι, καὶ τοῦτο, et verte totum locum: nunc vero et aenigmata quidam vocant αἴνους, et hoc progymnasma". 20 Exercitium innuit singulare, quod inferius ἀπαγγελίαν nominas, non uno loco, et a διηγήσει, seu narratione distinguit, estque prorsus illud ipsum, quod expositionem, sive explicationem nominant Latini, cum maxima minimaque in re quapiam repraesentantur. Vide infra in chria

Digitized by Google

Ὣδ' ἵρηξ προσέειπεν ἀηδόνα ποικιλόδειρον[22]
ἐκ μὲν γὰρ τῶν ἐπενεχθέντων,
Ἄφρων δ' ὃς κ' ἐθέλῃ πρὸς κρείσσονας ἀντιφερίζειν,
δηλοῦται, ὅτι ἄρα ἤριζεν ἀηδὼν πρὸς ἱέρακα· κἄπειτα
ἀγανακτήσας ὁ ἱέραξ καὶ συναρπάσας αὐτὴν οὕτω τάδε[23]
εἶπε· κλιτέον δὲ τοὺς μύθους καὶ τὴν χρείαν εἴς γε τοὺς
ἀριθμοὺς καὶ τὰς πλαγίας[24] πτώσεις· μάλιστα δὲ ἐμμε-
λετητέον ταῖς αἰτιατικαῖς, ὅτι καὶ οἱ παλαιοὶ τοὺς πλεί-
στους τῶν μύθων οὕτως ἀπήγγειλαν, καὶ μάλα[25] ὀρθῶς,
ὥς φησιν Ἀριστοτέλης[26]· οὐ γὰρ ἐκ τοῦ αὐτοῦ προσώπου
λέγουσιν, ἀλλ' ἐπὶ τὸ ἀρχαῖον ἀναφέρουσιν, ἵνα παρα-
μυθήσωνται[27] τὸ δοκεῖν ἀδύνατα λέγειν· οὐκ ἀεὶ δὲ χρὴ
καθάπερ ἠναγκασμένῳ τινὶ ἕπεσθαι νόμῳ τῇ τῆς προ-
κειμένης πτώσεως ἀκολουθίᾳ, ἀλλ' ἔνια προσακτέον, καὶ
μικτῷ τρόπῳ[28] χρῆσθαι, ὡς προκεῖσθαι μὲν ἄλλην τινὰ
πτῶ-

---

pag. 75., ubi pariter interpretes non commode reddiderunt. Scheff. 21 Ἔργ. 200—209. Nescio, quid Scheffero acciderit, scribenti: „Hoc inter fragmenta Hesiodi referendum una cum versu sequenti, qui sine dubio cum praecedenti cohaeret. Videtur autem Hesiodus non integram narrasse fabulam, sed ad eam tantum allusisse, prolatis binis istis versibus, nam aliter non excogito, cur noster dicat ἔκ [l. ἐξ] ἐπενεχθέντων δηλοῦται, ὅτι ἤριζεν. Nec enim hoc colligendum fuit, si Hesiodus aperte enarravit. Quare quoque suspicor, in superioribus excidisse negationem, et scribendum esse: καὶ τὸ μὴ ὁλοκλήρου". 22 Ed. Rom. ποικιλότερον. corr. Vict. ad marg. 23 Med. τάδ'. 24 Marg. Vict. πλαγίους. 25 Edd. μάλιστα. Med. marg. Vict. μάλα. 26 Ubi Aristoteles hoc tradat, in iis quidem, quae supersunt hodie, non invenio. libro certe II. Rhet. c. 20., ubi agit de fabula, nihil habet istiusmodi. Scheff. 27 Edd. Rom. et Camer. παραμυθήσονται. corr. marg. Vict. Med. Heins. 28 Post τρόπῳ Heins. et Scheff. posuerunt δεῖ, quod abest a Med. Rom. Camer. Non animadverterunt illi,

Digitized by Google

πτῶσιν, μεταβεβηκέναι δὲ ἐν τοῖς ἑξῆς εἰς ἑτέραν· ἐπιτερπέστερον γὰρ τούτου τὸ [29] καὶ ποικίλον· ὁποῖός ἐστι καὶ παρὰ τῷ Σωκρατικῷ Φαίδωνι μῦθος ἐν τῷ Ζωπύρῳ [30]· τὴν μὲν γὰρ ἀρχὴν ἀπὸ τῆς αἰτιατικῆς ἔχει. φασὶ τοίνυν, ὦ Σώκρατες, τὸν νεώτατον βασιλέως υἱὸν χαρίσασθαί τινι [31] λέοντος σκύμνον· μικρὸν δὲ ὑποβὰς μετέβαλεν εἰς τὴν εὐθεῖαν οὕτω· καί μοι δοκεῖ ὁ λέων, σύντροφος ὢν τῷ παιδὶ νεανίσκῳ ἤδη ὄντι, ἀκολουθεῖν ὅπου βαδίζοι, ὥστε οἵ γε Πέρσαι ἐρᾷν ἔφασαν τοῦ παιδὸς αὐτὸν, καὶ τὰ ἑξῆς· συμπλέκομεν δὲ ὧδε· ἐκθέμενοι τὸν μῦθον ἐπιφέρομεν διήγημα, ὡς ἔοικεν, ἢ ἀνάπαλιν· τὸ μὲν διήγημα πρότερον, ὕστερον δὲ τὸν μῦθον, οἷον πεπλασμένον, ὅτι [32] κάμηλος ἐπιθυμήσασα κεράτων καὶ τῶν ὤτων ἐστερήθη· τοῦτο προεισπόντες ἐποίσομεν [33] τὸ διήγημα τοῦτον τὸν τρόπον· παραπλήσιόν μοι δοκεῖ τι παθεῖν τῇ καμήλῳ ταύτῃ καὶ Κροῖσος ὁ Λυδὸς, καὶ ὅλον ἐφεξῆς τὸ διήγημα τὸ περὶ αὐτόν. Ἐπεκτείνομεν δὲ τὰς ἐν τῷ μύθῳ προσωποποιΐας μηκύνοντες, καὶ ποταμὸν ἤ τι τῶν τοιούτων ἐκφράζοντες· τὸ ἐναντίον δὲ ποιοῦντες συστέλλομεν· ἐπιλέγειν δὲ ὧδε· ὅταν μύθου ῥηθέντος ἐοικότα τινὰ γνωμικὸν αὐτῷ λόγον ἐπιχειρῶμεν κομίζειν, οἷον· κύων [34] παρὰ ποταμόν τινα φέρων κρέας, καὶ κατὰ τοῦ ὕδατος τὴν

---

orationem ad institutum ordinem ἀεὶ δὲ χρὴ — ἕπεσθαι redire. 29 Restitui lectionem Med. et edd. Rom. Camer., quam Heins. mutavit in: ἐπιτερπέστερον γὰρ τοῦτο, καὶ ποικίλον. Non enim dicere vult: jucundius hoc est et varium, sed: varietas, quae hoc modo efficitur, est jucundior. 30 Dialogo sic dicto, cujus meminit Laërtius in vita Phaedonis. Scheff. 31 Camer. τινά. 32 Edd. οἷον. Med. marg. Vict. ὅτι. Fabulam hanc legas inter Aesopicas numero 200., et inter fabulas Aphthonii n. 15., item Gabriae n. 34., Avieni n. 8. Meminit et Libanius declam. 10. Scheff. 33 Camer. ἐποιήσομεν. 34 Etiam haec fabula plerisque antiquiorum narrata. Scheff.

αὐτοῦ σκιὰν θεασάμενος, οἰηθεὶς ἕτερον εἶναι κύνα μεῖζον κρέας ἔχοντα, ὃ μὲν εἶχεν, ἀπέβαλλεν[35]· ἀλλόμενος δὲ εἰς τὸν ποταμὸν ὡς ἁρπάσων, ὑποβρύχιος ἐγένετο. Τὸν λόγον δὲ οὕτως ἐποίσομεν· ὅτι ἄρα πολλάκις[36] οἱ τῶν μειζόνων ὀρεγόμενοι καὶ ἑαυτοὺς πρὸς αὐτοῖς τοῖς[37] ὑπάρχουσιν ἀπολλύουσιν· γένοιντο δ' ἂν καὶ ἑνὸς μύθου πλείονες ἐπίλογοι, ἐξ ἑκάστου τῶν ἐν τῷ μύθῳ πραγμάτων τὰς ἀφορμὰς ἡμῶν λαμβανόντων· καὶ ἀνάπαλιν, ἑνὸς ἐπιλόγου πάμπολλοι μῦθοι, ἀπεικασμένοι αὐτῷ. Τὴν γὰρ τοῦ ἐπιλόγου δύναμιν ἁπλῆν προτείναντες προστάξομεν τοῖς νέοις μῦθόν τινα πλάσαι τῷ προτεθέντι πράγματι οἰκεῖον· προχείρως δὲ τοῦτο ποιεῖν δυνήσονται, πολλῶν ἐμπλησθέντες μύθων, τοὺς μὲν ἐκ τῶν παλαιῶν συγγραμμάτων ἀνειληφότες, τοὺς δὲ καὶ αὐτοὶ μόνον ἀκούσαντες, τοὺς δὲ καὶ παρ' ἑαυτῶν[38] ἀναπλάσαντες· ἀνασκευάσομεν δὲ καὶ κατασκευάσομεν τοῦτον τὸν τρόπον· ἐπεὶ γὰρ καὶ αὐτὸς ὁ

14

35 Rom. Camer. ἀπέβαλεν, et ἁλόμενος. marg. Vict. ἅλλομ. 36 Edd. οἱ τῶν μειζόνων πολλάκις ὀρεγ. Secutus sum ordinem codicis Med. 37 τοῖς edd. Rom. Camer. om., restituit marg. Vict. Heins. Med., absorptum est terminatione antecedentis αὐτοῖς. 38 Edd. αὐτῶν. Med. ἑαυτῶν. Ita Menand. διαίρ. ἐπιδ. p. 637. συνεύξῃ δὲ αὐτῷ καὶ πλοῦν ἀγαθὸν καὶ ἐπάνοδον χρηστόν. Med. 2. ἑαυτῷ et χρηστήν. Joseph. bell. Jud. III. 6. 1. οἰόμενος ἐξ ἐφόδου μὲν αἱρήσειν ῥᾳδίως, μέγα δὲ κλέος ἑαυτῷ παρὰ τοῖς ἡγεμόσι. Par. 1429. αὐτῷ. III. 7. 18. περισβέννυσθαι δὲ αὐτοῖς τὰς ὁρμάς. Par. 1429. ἑαυτοῖς. VII. 5. 5. ἐνεργεστάτην ὄψιν ἑαυτοῦ παρεῖχεν. Par. 1425. αὐτοῦ. VII. 7. 1. οἰόμενος καθαρὸν Ῥωμαίοις ἑαυτὸν ἀποδεῖξαι. Par. 1425. αὑτόν. VII. 8. 7. ἀλλ' ἑαυτὸν ἐπεγείρας. Par. 1425. αὑτόν. VII. 10. 1. Ῥωμαίους μὲν μηδὲν κρείττους ἑαυτῶν ὑπολαμβάνειν. Par. 1425. αὐτῶν. VII. 11. 4. καὶ κατέχειν ἑαυτὸν οὐ δυνάμενος. Par. 1425. αὑτόν. Demosth. apud Aristid. τέχν. A. p. 451. τῶν μὲν λοιδοριῶν καὶ τῶν κατηγοριῶν ἀκούειν ἡδέως, τοῖς ἐπαινοῦσι δ' αὐτοὺς ἄχθεσθαι.

μυθοποιὸς ὁμολογεῖ καὶ[39] ψευδῆ καὶ ἀδύνατα συγγράφειν, πιθανὰ δὲ[40] καὶ ὠφέλιμα, ἀνασκευαστέον μὲν, δεικνῦντας, ὅτι ἀπίθανα καὶ ἀσύμφορα λέγει· κατασκευαστέον δὲ ἐκ τῶν ἐναντίων· ταῦτα γάρ ἐστι τὰ ἀνώτατα κεφάλαια, εἰς ἃ τὰ κατὰ μέρος ἐμπίπτει· τὸ μὲν οὖν προοίμιον πρόσφορον εἶναι δεῖ τῷ μύθῳ· μετὰ δὲ τὸ προοίμιον ἐκθέσθαι δεῖ τὸν μῦθον, ἐνίοτε δὲ καὶ παρατίθεσθαι[41], ὅπερ ἐν ὑποθέσει οὐκ ἀναγκαῖον ἀεὶ διηγεῖσθαι· ἔπειτα δὲ μεταβαίνειν ἐπὶ τὴν ἐπιχείρησιν, καὶ ἀνασκευάζειν τῶν εἰρημένων ἕκαστον ἐν μέρει, ἀπὸ τῶν πρώτων ἀρξαμένους, καὶ πρὸς ἕκαστον μέρος τοῦ μύθου, ἐφ' ἑκάστου τόπου λόγων εὐπορεῖν πειρωμένους· ληπτέον δὲ τὰ ἐπιχειρήματα ἐκ τόπων τῶνδε· ἐκ τοῦ ἀσαφοῦς, ἐκ τοῦ ἀπιθάνου, ἐκ τοῦ ἀπρεποῦς, ἐκ τοῦ ἐλλιποῦς, ἐκ τοῦ πλεονάζοντος, ἐκ τοῦ ἀσυνήθους, ἐκ τοῦ μαχομένου, ἐκ τῆς τάξεως, ἐκ τοῦ ἀσυμφόρου, ἐκ τοῦ ἀνομοίου, ἐκ τοῦ ψευδοῦς· ἀσάφεια μὲν οὖν γίνεται ἤτοι δι' ἓν ὄνομα, ἢ καὶ πλείονα· δι' ἓν μὲν, ὅταν τις ὀνόμασι χρήσηται, ἢ παρὰ τὰ εἰωθότα, ἢ ὁμωνύμως· διὰ πλείω δὲ, ὅταν δυνατὸν ᾖ, μηδενὸς μήτε προστιθεμένου, μήτε ἀφαιροῦντος, πολλαχῶς ἐκδέχεσθαι τὸ εἰρημένον· οἷον, ἐγώ σ' ἔθηκα[42] δοῦλον ὄντ' ἐλεύθερον. οὐ γὰρ σαφὲς, πότερον ἐλεύθερον ἔθηκεν ἀντὶ δού-

---

Par. ἑαυτούς. 39 καὶ edd. om., recepi ex Med. 40 δὲ Med. Rom. om., posuit Camer. 41 Sententia haec est, non semper necessum esse, ut fabula proferatur tota, sufficere, si fiat quaedam allusio, cum ne quidem justis in orationibus semper necessaria sit narratio. ὑπόθεσις est oratio justa, sive caussa integra, quod non satis explicavit interpres. Caeterum suspicor pro παρατίθεσθαι cum negatione μὴ παρατίθεσθαι legendum. Scheff. ἐκθέσθαι exponere. παρατίθεσθαι seponere. 42 Veteris comici est versus, fortasse Menandri, respondet certe versus Terentii, qui secutus est in Andria Menandrum: Feci ex servo, ut esset libertus mihi [I. 1. 10.]. Scheff.

Digitized by Google

λου, ἢ δοῦλον ἀντ᾽ ἐλευθέρου· ἀκριβέστερον δὲ μικρὸν ὕστερον περὶ τῆς σαφηνείας ἐν τῷ περὶ διηγήματος ῥηθήσεται· τὸ δὲ ἀπίθανόν ἐστι, τὸ δυνατὸν μὲν γενέσθαι, ἢ λελέχθαι[43], ἀπιστούμενον δὲ, εἰ γέγονεν, ἢ εἴρηται· ἤτοι διὰ πρόσωπον, ἐφ᾽ ᾧ ἡ πρᾶξις ἢ ὁ λόγος ἀναφέρεται· ἢ διὰ τὸν τόπον, ἐν ᾧ λέγεται γενέσθαι τι ἢ εἰρῆσθαι· ἢ διὰ τὸν χρόνον, καθ᾽ ὃν λέγεταί τι γενέσθαι, ἢ λελέχθαι· ἢ διὰ τὸν τρόπον τῆς πράξεως, ἢ τοῦ λόγου· ἢ διὰ τὴν αἰτίαν τῶν αὐτῶν τούτων, λεγόντων ἡμῶν, ὅτι οὐκ εἰκός ἐστι τὸν τοιοῦτον[44] τόδε τι πρᾶξαι, ἢ τόδε τι εἰπεῖν, ἐν τούτῳ τῷ τόπῳ, ἢ κατὰ τοῦτον τὸν τόπον, ἢ χρόνον, ἢ τοῦτον τὸν τρόπον, ἢ διὰ ταύτην τὴν αἰτίαν· ὁ αὐτὸς δὲ λόγος ἐστὶ καὶ περὶ τοῦ ἀπρεποῦς[45]. Τὸ ἐλλιπὲς, ἢ τὸ πλεονάζον ἐστὶν, ὅταν τι τῶν ῥηθήσεσθαι δυναμένων παραλίπῃ, ἢ εἴπῃ[46] τι μηδὲν ὄν, οἷον ἢ πρόσωπον, ἢ πρᾶγμα, ἢ χρόνον, ἢ τρόπον, ἢ τόπον, ἢ αἰτίαν, ἤ τι τῶν τοιούτων· τὸ δὲ ἀσυνηθές ἐστι, τὸ παρὰ τὴν πεπιστευμένην ἱστορίαν, ἢ[47] τὸ παρὰ τὰς κοινὰς ὑπολήψεις λεγόμενον· οἷον, εἴ τις τοὺς ἀνθρώπους μὴ πεπλάσθαι εἴποι ὑπὸ τοῦ Προμηθέως[48], ἀλλ᾽ ὑπ᾽ ἄλλου τινὸς τῶν θεῶν, ἢ τὸν ὄνον φρόνιμον εἴποι, ἢ ἀόρητον τὴν ἀλώπεκα· ὁ δὲ[49] ἐκ τοῦ μαχομένου τόπος τοιοῦτός ἐστιν, ὅταν δείξωμεν αὐτὸν ἑαυτῷ μαχόμενον τὸν μυθογράφον· τούτῳ δὲ χρηστέον, οὐκ ἐν ἀρχῇ, ἀλλ᾽ ὅταν τι τῶν μέσων ἢ τελευταίων ἀνασκευάζωμεν, ἔπειτα καὶ ἐναντίον αὐτὸ δεικνύωμεν[50] τοῖς προειρημένοις. ἀπό γε μὴν τῆς

Med. Camer. ὄντα. 43 Camer. ἐλελέχθαι. 44 Med. Rom. Camer. τῷ τοιούτῳ. Heins. τὸν τοιοῦτον. 45 Camer. ἀπρεποῦς τὸ ἐλλιπές. 46 Med. εἴποι. 47 Med. Rom. Camer. ἤ. Heins. καί. 48 Nota, haec referri inter ea, quae fide dignis tradita sint historiis, et communem mereantur approbationem. Liquet enim, etiam paganis non omnino omnia de formatione primi hominis a Deo fuisse incognita. Scheff. 49 δὲ Heins. om.

Digitized by Google

τάξεως ἐπιχειρήσομεν, ἐλέγχοντες, ἃ μὲν ἔδει πρῶτον ἐν τῷ μύθῳ ῥηθῆναι, οὐκ ἐν πρώταις ἀπηγγελμένα· ἃ δὲ ἐπὶ τελευτῆς, ἀλλαχοῦ προκείμενα· καὶ ὅλως ἕκαστον ὡς ἂν δυναίμεθα, οὐ κατὰ τὴν προσήκουσαν τάξιν εἰρημένον· καὶ μὴν καὶ ὁ ἐκ τοῦ ἀσυμφόρου τόπος σαφὴς ἐστιν, ᾧ καὶ μᾶλλον χρησόμεθα εἰς ἀνασκευὴν τοῦ ἐπιλόγου· οἱ δὲ ἐκ τοῦ ἀνομοίου, καὶ τοῦ ψευδοῦς μόνον εἰσὶ τοῦ ἐπιλόγου ἀνασκευαστικοί· ἐκ μὲν οὖν τοῦ ἀνομοίου, ἐπειδὰν τὰ ἐν τῷ μύθῳ κατὰ μηδὲν, ἢ μὴ παντὶ τῷ ἐπιλόγῳ προσεοικότα ὑπάρχῃ· ἐκ δὲ τοῦ ψευδοῦς, ὅταν μὴ κατὰ πᾶν συμβαίνῃ· ὡς φησιν ὁ μυθογράφος, ὅτι οἱ τῶν πλειόνων ὀρεγόμενοι καὶ τῶν ὄντων στερίσκονται· οὐ γὰρ ἀεὶ τοῦτο ἀληθές ἐστιν· ἐκ δὲ τῶν ἐναντίων τόπων κατασκευάσομεν· ἀνακεφαλαιοῦσθαι δὲ χρὴ, ὅταν πολλαὶ καὶ ἰσχυραὶ ὦσιν ἀνασκευαὶ καὶ κατασκευαί· ἐπεὶ ὅταν ὀλίγαι καὶ ἀσθενεῖς, οὐ παραληπτέον[51] τὴν ἀνακεφαλαίωσιν· χρησόμεθα δὲ ἐνταῦθα καὶ τῷ[52] διασύρειν[53], καὶ αὐξήσεσιν, καὶ μειώσεσιν, καὶ παρεκβάσει, καὶ ἔθεσι[54], καὶ ἁπλῶς πάσαις ταῖς ἰδέαις τῶν λόγων[55]· καθάπερ γὰρ εἴπομεν, σμικρὸν διαλλάττει τὸ γύμνασμα τοῦτο δικανικῆς ὑποθέσεως· οἱ δ' αὐτοὶ τόποι χρήσιμοι καὶ πρὸς τὴν τῶν διηγημάτων ἀνασκευήν τε καὶ κατασκευήν.

---

est in Med. Rom. Camer. 50 Med. et edd. δείκνυμεν. marg. Vict. δεικνύωμεν. 51 Negatio hic irrepsit contra sensum mentemque scriptoris; nisi forte et hic putamus scripsisse: ἀσθενεῖς ὦσιν. Scheff. Ludit vir bonus in negatione seu ejicienda seu addenda: nihil sanius hoc loco. 52 Edd. Rom. Cam. τό. marg. Vict. τῷ. 53 Med. Camer. αὐξήσ. [sine praecedente καὶ] ἢ μειώσ. 54 Rom. Camer. ἤθεσι. Scheff.: „Memorat hic ἰδέας λόγων, ut mox ipse testatur. at τὰ ἤθη nunquam in hoc censu. Scribe καὶ ἐκθέσι". [credo ἐκθέσει]. 55 Med. ταῖς τῶν λόγων ἰδέαις.

Digitized by Google

16 *Περὶ διηγήματος.*

Διήγημά ἐστι λόγος ἐκθετικὸς[1] *πραγμάτων γεγονότων, ἢ ὡς γεγονότων· στοιχεῖα δὲ τῆς διηγήσεώς εἰσιν ἓξ· τό τε πρόσωπον, εἴ τε ἓν εἴη, εἴ τε πλείω· καὶ τὸ πρᾶγμα τὸ πραχθὲν ὑπὸ τοῦ προσώπου, καὶ ὁ τόπος, ἐν ᾧ ἡ πρᾶξις, καὶ ὁ χρόνος, καθ' ὃν ἡ πρᾶξις, καὶ ὁ τρόπος τῆς πράξεως, καὶ ἕκτον, ἡ τούτων αἰτία· τούτων δὲ ὄντων τῶν ἀνωτάτω στοιχείων, ἐξ ὧν συμπληροῦται ἡ τελεία διήγησις, ἐξ ἁπάντων αὐτῶν καὶ τῶν συνεδρευόντων*[2] *αὐτοῖς συνέστηκεν. Ἐλλιπὴς δέ ἐστιν ἤ τινος τούτων ἐπιδέουσα· παρακολουθεῖ δὲ τῷ μὲν προσώπῳ, γένος, φύσις, ἀγωγή, διάθεσις, ἡλικία, τύχη, προαίρεσις, πρᾶξις, λόγος, θάνατος, τὰ μετὰ θάνατον· τῷ δὲ πράγματι, μέγα ἢ σμικρὸν, κινδυνῶδες ἢ ἀκίνδυνον, δυνατὸν ἢ ἀδύνατον, ῥᾴδιον ἢ δυσχερὲς, ἀναγκαῖον ἢ οὐκ ἀναγκαῖον, συμφέρον ἢ ἀσύμφορον, δίκαιον ἢ ἄδικον, ἔνδοξον ἢ ἄδοξον· τῷ δὲ χρόνῳ παρέπεται, τὸ παρεληλυθὸς, τὸ ἐνεστὸς*[3]*, τὸ μέλλον, τί πρῶτον, ἢ δεύτερον, καὶ τὰ*[4] *ἑξῆς· ἢ τί τῷ καθ' ἡμᾶς βίῳ πρέπει, τί τῷ παλαιῷ. ἐπὶ πᾶσιν αἱ προθεσμίαι, ἃς κατὰ κοινὸν ἢ κατ' ἰδίαν ἄνθρωποι συντίθενται· ἔπειτα χειμῶνος ὄντος, ἢ ἔαρος, θέρους, ἢ μετοπώρου, νυκτὸς οὔσης, ἢ μεθ' ἡμέραν· ἐκκλησίας οὔσης ἐγένετο τὸ πρᾶγμα, ἢ πομπῆς, ἢ ἑορτῆς· καὶ πότερον γάμων ὄντων, ἢ φίλων ὑποδοχῆς, ἢ πένθους, ἢ τοιαύτης βιωτικῆς περιστάσεως. τῷ δὲ τόπῳ παρακολουθεῖ μέγεθος, διάστημα, γειτνιῶσα πόλις, ἢ χώρα· εἰ*[5]

1 Schol. ἤτοι ἀπαγγελτικός. 2 Sunt hic *συνεδρεύοντα*, quae mox *παρακόλουθα*. Scheff. 3 Med. *ἐνεστώς*. 4 Med. Rom. Camer. *τά*. Heins. *τό*. 5 *εἰ* Med. Rom. Camer. om. posuit Heins. Excidit etiam Sopat. *ζητήμ.* p. 357. *ἔπειτα εἰ ἐφοβοῦ, ἄλλως ἔδει διαλῦσαι τὸν φόβον.* Ald. et Vind. *εἰ* om.

Digitized by Google

ἱερὸς ἦν ὁ τόπος, ἢ βέβηλος· ἴδιος, ἢ ἀλλότριος· ἔρημος, ἢ οἰκούμενος· ὀχυρὸς[6], ἢ[7] ἐπισφαλής· πεδινὸς[8], ἢ ὀρεινός· ἄνυδρος, ἢ κάθυγρος· ψιλὸς, ἢ δενδρώδης· καὶ πάντα τὰ παραπλήσια· τῷ δὲ τρόπῳ, ἑκουσίως[9] ἢ ἀκουσίως· ἑκάτερον δὲ εἰς τρία διαιρεῖται· τὸ μὲν ἀκούσιον εἰς ἄγνοιαν, καὶ τύχην, καὶ ἀνάγκην· τὸ δὲ ἑκούσιον, πότερον βίᾳ γέγονεν, ἢ λάθρα, ἢ ἀπάτῃ· τῇ δὲ αἰτίᾳ τῶν πράξεων παρέπεται, πότερον ἕνεκεν ἀγαθῶν κτήσεως γέγονεν, ἢ χάριν κακοῦ ἀπαλλαγῆς· ἢ διὰ φιλίαν, ἢ διὰ γυναῖκα, ἢ τέκνων χάριν, ἢ διὰ τὰ πάθη, θυμὸν, ἔρωτα, μῖσος, φθόνον, ἔλεον, μέθην, καὶ τὰ τούτοις ὅμοια. ἀρεταὶ δὲ διηγήσεως τρεῖς, σαφήνεια, συντομία, πιθανότης. Διὸ κάλλιστον[10] μὲν, εἰ δυνατόν ἐστιν, ἁπάσας τὰς ἀρετὰς ἔχειν[11] τὴν διήγησιν· ἐὰν δὲ τοῦτο ἀμήχανον εἴη, τὸ μὴ ἐναντίαν εἶναί πως τὴν συντομίαν τῇ τε σαφηνείᾳ καὶ τῇ πιθανότητι· τοῦ δὲ[12] κατεπείγοντος μᾶλλον στοχαστέον· οἷον, εἰ μὲν ἧ τὸ πρᾶγμα φύσει περισκελὲς, ἐπὶ τὴν σαφήνειαν ἰτέον καὶ πιθανότητα· εἰ δὲ ἁπλοῦν, καὶ μὴ πολύπλοκον, ἐπὶ τὴν συντομίαν, καὶ τὴν πιθανότητα. δεῖ γὰρ ἔχεσθαι ἀεὶ τοῦ πιθανοῦ ἐν τῇ διηγήσει· τοῦτο γὰρ αὐτῆς μάλιστα ἴδιον ὑπάρχει· καὶ τούτου μὴ προσόντος αὐτῇ, ὅσῳ[13] ἂν σαφὴς καὶ σύντομος ᾖ, τοσούτῳ μᾶλλον

6 Med. ἐχυρός. Confunduntur hae formae: Menand. διαίρ. ἐπιδεικτ. p. 616. ὀχυρότερον τοῖς βασιλέως ὅπλοις τετειχίσμεθα. Par. ἐχυρώτερον. Joseph. bell. Jud. VII. 1. 7. τίνα τρόπον ὀχυρὰς οὕτως. Par. 1428. ἐχυρᾶς. VII. 8. 7. ἅπασί τε τὴν ἐλπίδα νίκης ἐχυρᾶς παρασχεῖν δυνάμεων οὐχ ὑπῆρξε. Par. 1423. ἅπασι τοῖς ἐλπίδα ν. ὀχυρᾶς παρασχεῖν δυναμένοις. 7 ἢ Camer. om. 8 Med. Rom. Cam. πεδινός. Heins. πεδινῆς. 9 Med. ἀκουσίως ἢ ἑκουσίως. 10 Marg. Vict. κάλλιστα. 11 Med. Rom. Camer. ἔχειν δεῖ. Heins. δεῖ ejecit, recte opinor. 12 τε Med. Rom. Camer. om. posuit Heins. 13 Rom. Camer. ὅσον. Med. marg. Vict. Heins. ὅσῳ. Ita Vita Josephi c. 43. ὅσονπερ ἐγίνωσκε σπεύδοντά με. Par. 1423. ὥσῳπερ. vide de hac confu-

Digitized by Google

ἀπιστοτέρα τοῖς ἀκούουσι καταφαίνεται. ἐὰν δὲ τὸ πρᾶγμα φύσει πιθανὸν ᾖ, χρηστέον πῃ μὲν τῇ συντομίᾳ, τὸ [14] δὲ πλεῖστον τοῖς κατασκευάζουσι καὶ εἰς πιθανότητα ἄγουσι τὸ προκείμενον· ἔτι δὲ τὰ μὲν λυπήσοντα τοὺς ἀκουσομένους συντομώτατα διηγητέον, ὡς Ὅμηρος, κεῖται Πάτροκλος. Τοῖς δὲ εὐφραίνουσιν ἐν διατριπτέον, ὥσπερ ὁ αὐτὸς ποιητὴς τοῖς Φαίαξιν [15] οὖσιν φιλομύθοις πεποίηκε τὸν Ὀδυσσέα μετὰ πολλῆς ἀκριβείας καὶ σχολῆς τὰ καθ' ἑαυτὸν διηγούμενον. Σαφὴς δὲ ἡ διήγησις γίνεται διχόθεν· ἐξ αὐτῶν τῶν ἀπαγγελλομένων πραγμάτων, καὶ ἐκ τῆς λέξεως τῆς ἀπαγγελίας, ἧς τὰ πράγματα· ἐκ μὲν οὖν τῶν πραγμάτων, ὅταν λεγόμενα τὰ πράγματα μὴ τὴν κοινὴν ἐκφεύγῃ διάνοιαν, οἷα τὰ ἐν τῇ διαλεκτικῇ, καὶ τὰ ἐν γεωμετρίᾳ, ἢ ὅταν μὴ πολλὰ ὁμοῦ διηγῆταί [16] τις, ἀλλὰ καθ' ἕκαστον εἰς τέλος προάγῃ, ὅπερ ἐγκαλοῦσί τινες τῷ Θουκυδίδῃ [17]· διελὼν γὰρ ἱστορίας κατὰ [18] τὰ θέρη καὶ χειμῶνας, πολλάκις ἀναγκάζεται, πρὶν τελεσθῇ τὸ ὅλον πρᾶγμα, μεταβαίνειν ἐφ' ἕτερόν τι γεγονὸς ὑπὸ τὸν αὐτὸν

sione Jacobs. ad Achill. Tat. 650. 14 Edd. πῇ δέ. Med. marg. Vict. τό. 15 Ab Odyssea *H.* usque ad *N.* Scheff. 16 Edd. et Med. *διηγεῖται*, scripsi *διηγῆται*. 17 Miror diligentissimum Vossium hoc inter naevos Thucydidis non connumerasse. Facit tamen pluribus Dionysius Halicarnassensis in peculiari libello de Thucydide, qui hic consulendus. Scheff. 18 Med. Rom. *καί*, marg. Vict. *γρ. κατά*, sic Camer. et Heins. frequens confusio, de qua vide epist. crit. p. 69. Adde, si lubet, Sopat. ζητήμ. p. 294, ὡς κατὰ τῆς πολιτείας τὴν ἱεροσυλίαν τολμήσαντα. Par. *καί*. p. 413. ἀλλ' ἵνα μείνῃ τις ἡμῶν κατορωρυγμένος ἐν σκότῳ, κατὰ μηδεμίαν εὕρῃ τῶν κατεχόντων ἀπαλλαγήν. scr. *καί*. Joseph. bell. Jud. IV. 7. 2. ἐκινεῖτο δὲ κατὰ τὰ ἄλλα τῆς Ἰουδαίας κλίματα τότε τέως ἠρεμοῦν τὸ ληστρικόν. Par. 1425. καὶ τὰ ἀ. V. 7. 3. καὶ συνδιωχθέντες ἐπὶ τοῦ τείχους, καὶ μὲν τὰς συμπλοκὰς ἠττῶντο, τῆς Ῥωμαίων ἐπιστήμης ὄντες ἄπειροι. Par. 1425. ἀπὸ τοῦ τείχους κατὰ μὲν τ. σ.

Digitized by Google

καιρόν· εἶτα τὸ ὑπόλοιπον τοῦ πράγματος, ἐφ' ἑτέρου χειμῶνος ἢ θέρους πραχθὲν διηγεῖται· ἐνίοτε δὲ καὶ τρίτου καὶ τετάρτου καιροῦ ἐδεήθη, μέχρις ἂν εἰς τέλος προέλθῃ τοῦ πράγματος, οὗπερ ἐξαρχῆς διηγεῖτο, ἀεὶ τὰ καθ' ἕκαστον καιρὸν γινόμενα συναναλαμβάνων[19] τῇ πρώτῃ διηγήσει· ὥστε ἅμα μὲν ἀσαφῆ, ἅμα δὲ δυσμνημόνευτα γενέσθαι τὰ πράγματα. Φυλακτέον δὲ καὶ τὸ μὴ συγχεῖν τοὺς χρόνους, καὶ τὴν τάξιν τῶν πραγμάτων· ἔτι τε καὶ τὸ δὶς τὰ αὐτὰ λέγειν, οὐδὲν γὰρ ἧττον τῶν ἄλλων καὶ τοῦτο συγχεῖ τὴν διάνοιαν. παραιτητέον δὲ καὶ τὸ παρεκβάσεις ἐπεμβάλλεσθαι μεταξὺ διηγήσεως μακράς. οὐ γὰρ ἁπλῶς χρὴ πᾶσαν παραιτεῖσθαι, καθάπερ ὁ Φίλιστος[20]· ἀναπαύει γὰρ τὴν διάνοιαν τῶν ἀκροατῶν. ἀλλὰ τὴν τηλικαύτην τὸ μῆκος, ἥ τις ἀπαλλοτριοῖ τὴν διάνοιαν τῶν ἀκροωμένων, ὥστε δεῖσθαι πάλιν ὑπομνήσεως τῶν προειρημένων ὡς Θεόπομπος[21] ἐν ταῖς Φιλιππικαῖς. δύο γάρ που, καὶ τρεῖς, καὶ πλείους ἱστορίας ὅλας κατὰ παρέκβασιν εὑρίσκομεν[22], ἐν αἷς οὐχ ὅπως Φιλίππου, ἀλλ' οὔτε Μακεδόνος τινὸς ὄνομά ἐστιν. ἀσαφὴς δὲ γίνεται διήγησις, παρὰ τὴν ἔλλειψιν ὧν ἐχρῆν ἀναγκαίως μνήμην ποιήσασθαι, καὶ παρὰ τὴν τῶν ἀποκεκρυμένων ἱστοριῶν ἀλληγορίαν. κατὰ δὲ τὴν λέξιν φυλακτέον τῷ σαφηνίζοντι, τὰ ποιητικὰ ὀνόματα λέγειν, καὶ πεποιημένα[23], καὶ τροπικὰ καὶ ἀρχαῖα, καὶ ξένα, καὶ ὁμώνυμα. ποιητικὰ μὲν οὖν ἐστιν, ὅσα τινὸς ἐξηγήσεως δεῖται, οἷον, κρήγυον[24], ἀντιφερίζειν[25], μάρνασθαι[26],

19 Edd. συλλαμβάνων. Med. marg. Vict. συναναλαμβ. 20 Vide Vossii judicium de hac re in de Hist. Gr. et Arte Hist. Scheff. 21 Hoc de digressionibus Theopompi judicium non opinor alias reperiri apud veteres. Scheff. 22 Cam. εὑρίσσμεν. Heins. εὑρήσομεν. Rom. Med. εὑρίσκομεν. 23 πεποιημένα, proprie quae quis pro se ipse format de novo. Consule Vossium in Inst. Or. l. IV. c. 1. p. 17. Scheff. 24 Quod

καὶ τὰ τοιαῦτα. πεποιημένα δὲ, οἷον κέλαδος[27], κόναβος[28], κελαρύζειν, καὶ τὰ τοιαῦτα. τροπικὰ δὲ, οἷον, Τεῖχος[29] τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα Ζεύς. διὰ γὰρ τῆς τροπῆς ταύτης ἐσήμανεν ὁ Πύθιος τοῖς Ἀθηναίοις, ἐκλιπόντας τὴν πόλιν, εἰς τὰς ναῦς ἐμβῆναι, καὶ ταύταις οἷον τείχει χρήσασθαι. ἀρχαῖα δὲ τὰ πάλαι μὲν συνήθη, νῦν δὲ ἐκλελοιπότα· ὡς λέγει Δημοσθένης, ἐν τῷ κατὰ Ἀριστοκράτους περὶ τοῦ Δράκοντος νόμου τόδε· μηδ' ἀποινᾶν[30], μηδὲ χρήματα πράττεσθαι. τὰ γὰρ χρήματα[31] ἄποινα ὠνόμαζον οἱ παλαιοί. ξένα δὲ τὰ ἑτέροις μὲν ἐπιχώρια, τοῖς δὲ ἄλλοις οὐ συνήθη· ὡς εἴ τις ἀγορὰν ὀνομάζει τὸν λιμένα, καθάπερ Θετταλοὶ[32], ἢ κεῖνον[33], ἀντὶ τοῦ ἐρωμένου[34], ὡς Κρῆτες. ὁμώνυμα δὲ

habet Homerus Iliad. *A.* et Porphyrius exponit *ἀγαθὸν*, ut est auctor Eustathius. Adde Hesychium, ubi male scribitur *κρήγιον*, quod jam viri docti annotarunt. Interpretatio apud nostrum parum bona est. Scheff. 25 Meminit Hesychius, Eustathius, Suidas etc. Scheff. Med. Rom. *ἀλλερίζειν*. Cam. Heins. *ἀντιφερίζειν*. 26 Eustathius ad Iliad. *O. μάρνασθαι τὸ διὰ χειρὸς μάχεσθαι*. Scheff. ed. Rom. *μάρμασθαι*. corr. Vict. idem ad marg. „Haec verba sunt accommodata generi demonstrativo. Cicero in Partit. 352." 27 Quod usurpat Homerus Iliad. *I.* a se ipso formatum, ut opinor, sicut caetera. Interpretis adjectamentum nil huc facit. Scheff. 28 *κόναβος, κελαρίζειν*. utrumque Homeri est, alterum ex Od. *K.*, alterum ex Od. *Σ*. Scheff. Med. Rom. *κελλαρύζει*. Camer. *κελαρύζει*. Heins. *κελαρύζειν*. 29 Est versus Apollinis Delphici apud Herodotum lib. VII., ubi vide integram historiam. Scheff. — Med. Rom. *Τριτογενείη*. 30 Med. Rom. *τόδε, μήδ' ἄποινα μὴ χρήματα*. marg. Vict. *γρ. τὸ δὲ μήδ' ἀποινᾶν*. Camer. *μηδ' ἀποινᾶν, μὴ χρήματα*. 31 Notandum hoc, nam plerique aliter. Phavorinus: *ἄποινα τὰ δῶρα, ἔστι δὲ ἀντὶ τινὸς κτίσματα*, ubi nescio, annon legi debeat *κτήματα*, si non *χρήματα*. Scheff. 32 Hesychius: *Θετταλοὶ καὶ τὸν λιμένα ἀγορὰν καλοῦσιν*. Scheff. 33 Hoc tali sensu alibi legisse non re-

ἐστιν, ὧν φωνὴ μὲν καὶ ὄνομα τὸ αὐτό, ἕτερον δὲ τὸ σημαινόμενον ὑπὸ τῆς φωνῆς, οἷον παῖς· σημαίνει γὰρ καὶ τὸν υἱὸν, καὶ τὸν καθ' ἡλικίαν παῖδα, καὶ τὸν δοῦλον. Ἀσαφῆ δὲ τὴν ἑρμηνείαν ποιεῖ καὶ ἡ λεγομένη ἀμφιβολία πρὸς τῶν διαλεκτικῶν, παρὰ τὴν κοινὴν τοῦ ἀδιαιρέτου τε καὶ διῃρημένου, ὡς ἐν τῷ· αὐλητρὶς πεσοῦσα δημοσία ἔστω· ἓν μὲν γάρ τί ἐστι τὸ ὑφ' ἓν καὶ ἀδιαίρετον, αὐλητρὶς ἔστω πεσοῦσα δημοσία, ἕτερον δὲ τὸ διῃρημένον, αὐλητρὶς παῖς οὖσα ἔστω δημοσία· ἔτι δὲ καὶ ὅταν τι μόριον ἄδηλον ᾖ, μετὰ τίνος [35] συντέτακται, οἷον· οὐκ ἐν ταύροις ὁ Ἡρακλῆς μάχεται. σημαίνει γὰρ δύο· οὐχὶ κενταύροις ὁ Ἡρακλῆς μάχεται, καὶ οὐχὶ ἐν [36] ταύροις ὁ Ἡρακλῆς μάχεται· ὁμοίως δὲ ἀσαφὴς γίνεται φράσις, καὶ ὅταν τι σημαῖνον μόριον ἄδηλον ᾖ, μετὰ τίνος συντέτακται· οἷον,

Οἱ δὲ [37] καὶ ἀχνύμενοί περ' ἐπ' αὐτῷ ἡδὺ γέλασσαν.

ἀμφίβολον γὰρ, πότερον ἐπὶ τῷ Θερσίτῃ ἀχνύμενοι, ὅπερ ἐστὶ ψεῦδος, ἢ ἐπὶ τῇ καθολικῇ [38] τῶν νεῶν· καὶ πάλιν,

Δῆμον Ἐρεχθῆος μεγαλήτορος, ὅν ποτ' Ἀθήνη
Θρέψε Διὸς θυγάτηρ, τέκε [39] δὲ ζείδωρος ἄρουρα.

πότερον τὸν δῆμον, ἢ τὸν Ἐρεχθέα φησὶν ὑπὸ τῆς Ἀθηνᾶς τραφῆναι, καὶ τεκεῖν τὴν γῆν. Παρὰ ταύτην δὲ τὴν ἀμφιβολίαν τὰ Ἡρακλείτου [40] τοῦ φιλοσόφου βιβλία σκοτεινὰ γέγονε κατακόρως αὐτῇ χρησαμένου, ἤτοι ἐξε-

---

cordor. Scheff. Legendum potius κλεινὸν, teste Hesychio s. v. φιλήτωρ, Ephoro apud Strab. X. p. 483. c. Doxopater, qui haec exempla omnia in commentarios suos ad Aphth. transtulit, hoc unum omittit, substituto alio: ὥσπερ ἀγοραῖν λέγουσι μὲν Θετταλοὶ τὸν λιμένα, ἅΐταν δὲ τὸν ἐρώμενον. 34 Rom. ἐρῴμενον. marg. Vict. Med. ἐρωμένου. Cam. Heins. ἐρώμενον. 35 Cam. h. l. et paullo post Rom. et Cam. μετά τινος. 36 ἐν Med. Cam. Heins. om., recepi ex Rom. 37 Il. β. 270. 38 Ed. Rom. καθολικῇ. ut Doxopatri cod. Vind., corr. marg. Vict. 39 τέκε δὲ ζείδ. ἄ. absunt a Med. Rom. Cam. [Il. β. 548.] 40 Notandum, quod obscuritatem istam dicat ex orationis vitio, eo praesertim, quod amphiboliam vocant, provenisse. Scheff.

Digitized by Google

πίτηδες, ἢ [41] καὶ δι' ἄγνοιαν. Παρατηρητέον δὲ καὶ τὸ μὴ [42] ὑπερβατοῖς χρῆσθαι, οἷά ἐστι τὰ πολλὰ τῶν Θουκυδίδου· [43] οὐ γὰρ καθόλου τὸ τῶν ὑπερβατῶν γένος ἀποδοκιμάζομεν, ποικίλη γὰρ διὰ τοῦτον καὶ οὐκ ἰδιωτικὴ γίνεται ἡ φράσις· μηδὲ μεταξυλογίαις [44], καὶ ταύταις διὰ μακροῦ· τὰ γὰρ ἐγγὺς λαμβάνοντα τὴν ἀπόδοσιν [45] οὐ λυπεῖ τοὺς ἀκροατάς· καὶ μέντοι καὶ τὸ ἐλλείπειν τινὰ ὀνόματα πρὸς τὴν σαφήνειαν ἐναντίον ἐστί. Παραφυλακτέον δὲ καὶ τὸ παραλλήλους [46] τιθέναι τὰς πτώσεις ἐπὶ διαφόρων προσώπων· ἀμφίβολον γὰρ γίνεται τὸ ἐπί τινα φέρεσθαι· οἷον ἐπὶ μὲν τῆς αἰτιατικῆς, ἐφ' ἧσπερ καὶ μόνης [47] τῶν πτώσεων πολλοὶ γίνεσθαι τὴν ἀμφιβολίαν νομίζουσιν, ὡς παρὰ Δημοσθένει κατὰ Μειδίου· ἴσασιν Εὐαίωνα πολλοὶ τὸν Λεωδάμαντος ἀδελ-

41 ἢ Med. Rom. om. posuit Cam. 42 Ed. Rom. με, corr. marg. Vict. 43 De hyperbatis Thucydidis notabilis hic locus est, omissus aliis plerisque, praeter Dionysium Hal., qui similiter observavit. Scheff. 44 Ita et scholiastes Thuc. l. II. vocat, quod nos vulgo parenthesin appellamus. Vossius tamen generalius quid putat hic intelligi, quod alias *παρεμβολὴ* vel *ὑποστροφή*, vel etiam *καταπλοκὴ* dicatur. Quanquam rectius opinione mea dicat alibi, *μεταξυλογίαν* sub se comprehendere *παρεμβολὴν* et *παρένθεσιν*. Nam *ὑποστροφὴ* et *καταπλοκὴ* vix huc possunt pertinere. Vide ipsum inst. Orat. IV. et V. Scheff. 45 Sic existimo vocare id, quod respondet illis, quae ante *μεταξυλογίαν* erant proposita. Ut in illo Virgilii, et istum oro, est *πρότασις*, sequitur *μεταξυλογία*, si quis adhuc precibus locus, tum excipit *ἀπόδοσις*, respondens superiori, exue mentem. Simile quid in eo notavit etiam Dionys. Halic. Scheff. 46 Edd. Med. *παραλλήλοις*, scripsi *παραλλήλους*. — l. 11. malim legere: *ἐπὶ τίνα φέρονται*, pro *ἀναφέρονται*. coll. p. 187. l. 10. et 14. 47 Observandum, quod existimarint veteres, accusativum reddere praecipue ambiguam orationem, ut in eo adhibendo simus circumspecti, nec in vitium hoc prolabamur. Scheff. 48 *Κολχοί εἰσιν — Αἰγύπτιοι* Edd. om., recepi ex Med., Doxop. habet: *πότερον οἱ Αἰγύπτιοι Κολχοὶ, ἢ οἱ Κολχοὶ Αἰγύπτιοι.*

Digitized by Google

φὸν ἀποκτείναντα Βοιωτὸν ἐν δείπνῳ· ἄδηλον γὰρ, πότερον Εὐαίων ἀπέκτεινε Βοιωτὸν, ἢ Βοιωτὸς Εὐαίωνα, ὅπερ ἐστὶ ψεῦδος· ἀλλὰ καὶ ὁ Λεωδάμαντος ἀδελφὸς, πότερον Εὐαίων ἐστὶν, ἢ Βοιωτός. ἐπὶ δὲ τῆς εὐθείας, ὡς παρ᾽ Ἡροδότῳ, ἐν τῇ πρώτῃ· εἰσὶ δὲ καὶ Αἰγύπτιοι Κολχοί· ἄδηλον γὰρ, πότερον οἱ Αἰγύπτιοι Κολχοί[48] εἰσιν, ἢ τοὐναντίον οἱ Κολχοὶ Αἰγύπτιοι· καὶ τόδ᾽ αὐτὸ καὶ ἐπὶ τῆς γενικῆς καὶ δοτικῆς. Κολχῶν δὲ ὄντων Αἰγυπτίων· καὶ, Κολχοῖς δὲ οὖσιν Αἰγυπτίοις· ἐπὶ μὲν οὖν τῆς αἰτιατικῆς, ἀναμφισβήτητόν ἐστιν· ἐπὶ δὲ τῶν ἄλλων πτώσεων φανερὸν, ὅτι προσθέσει ἄρθρων οὐκ ἔτι ἀμφίβολος γίνεται ἡ λέξις· εἰσὶ δὲ Αἰγύπτιοι οἱ Κολχοί· δῆλον γὰρ γέγονεν, ὅτι περὶ Κολχῶν λέγει, ὡς εἰσιν Αἰγύπτιοι. Ὁμοίως δὲ ἔσται καὶ σύντομος ἡ διήγησις ἐκ τῶν πραγμάτων καὶ τῆς λέξεως. ἔστι γὰρ ἡ συντομία, λόγος τὰ καιριώτατα τῶν πραγμάτων σημαίνων, μήτε προστιθεὶς τὸ μὴ ἀναγκαῖον, μήτε ἀφαιρῶν τὸ ἀναγκαῖον, κατὰ τὰ πράγματα καὶ τὴν λέξιν. ἐκ μὲν οὖν τῶν πραγμάτων, ὅταν μήτε συλλαμβάνωμεν ἅμα τὰ πολλὰ πράγματα, μήθ᾽ ἑτέροις ἐπεμβάλλωμεν, παραλείπωμέν τε, ὅσα συνυπακούεσθαι δοκεῖ· μήτε πόῤῥωθεν ἀρχώμεθα, μήτε εἰς τὰ παρέλκοντα τὸν λόγον καταναλίσκωμεν, ὡς οἱ μετὰ τὰ πράγματα[49] εἰωθότες διηγεῖσθαι. ταῦτα γὰρ ἂν ἴσως ἱστορίᾳ πρέποι, τό τε μηκύνειν, καὶ τὸ

---

49 Non est dubium, quin hic vitium sit scripturae. Quid enim est διηγεῖσθαι μετὰ τὰ πράγματα? lege plane, οἱ μὲν τὰ πράγματα, et per πράγματα intellige res gestas. Nam ut μετὰ de tempore accipiamus, otiosum fuerit, cum utique narratio vel historia scribatur nulla prius, quam res gestae fuerint, quae conscribi debent. Scheff. Nihil mutandum, οἱ μετὰ τὰ πράγματα διηγούμενοι opponuntur iis, qui rebus gestis sunt coaevi: ii enim, qui a temporibus, quorum historiam scribunt, remoti sunt, πόῤῥωθεν ἄρχεσθαι καὶ εἰς τὰ παρέλκοντα τὸν λόγον

πόρρωθεν ἄρχεσθαι, καὶ ἐπεξεργάζεσθαί τινα τῶν παρέργων εἶναι δοκούντων. διήγησιν δὲ λέγων τις πρὸς τὸ κεφάλαιον τοῦ ὅλου πράγματος, ὃ προὔθετο, ἀποβλέπειν ὀφείλει, τὰ εἰς τοῦτο συντελοῦντα μόνα ἐν τῇ διηγήσει παραλαμβάνων· οἷον, ἐπὶ τοῦ Κύλωνος, εἰ μέν τις ἱστορίαν περὶ αὐτοῦ συγγράφει, προσήκει καὶ τίνων προγόνων ἦν, καὶ τίνος πατρός τε καὶ μητρὸς, καὶ ἄλλα πάμπολλα λέγειν· τό τε ἀγώνισμα, ὃ ἠγωνίζετο ἐν Ὀλυμπίᾳ, καὶ ὅσας νίκας ἀνείλετο, καὶ τὰς Ὀλυμπιάδας ὀνομάζειν ἐφ' ὧν ἐνίκα· διήγημα δέ τις περὶ αὐτοῦ λέγων, οὐδὲν τῶν τοιούτων ἀκριβολογεῖσθαι δίκαιόν ἐστι, καθάπερ ἐποίησεν Ἡρόδοτος[50] τε καὶ Θουκυδίδης, ἑκάτερος τὸ Κυλώνειον ἄγος εἰπεῖν προθέμενος. Ἐν δὲ τοῖς κατὰ τὴν λέξιν παρατηρητέον καὶ τὸ μήτε συνωνύμοις χρῆσθαι· τὰ γὰρ τὴν αὐτὴν ἔχοντα δύναμιν ὀνόματα μακρότερον ποιεῖ τὸν λόγον[51], οὐδὲν δέον, ὡς παρὰ Δημοσθένει ἐν τῶν Ὀλυνθιακῶν δευτέρῳ· δαιμονίᾳ τινὶ καὶ θείᾳ παντάπασιν ἔοικεν εὐεργεσίᾳ· μήτε λόγον ἀντὶ ὀνόματος ποιεῖν, οἷον, ἀντὶ τοῦ ἀπέθανεν, ἐξέλιπε τὸν βίον, καὶ ὅσα τούτοις ὅμοια. Ἔτι δὲ καὶ τὰ συννκαπουόμενα πάντως συμπεριαιρετέον τῷ συντόμως ἀπαγγέλλειν βουλομένῳ· χρηστέον δὲ καὶ τοῖς ἁπλοῖς ὀνόμασι μᾶλλον, ἢ τοῖς συνθέτοις, καὶ τοῖς βραχυτέροις μᾶλλον, ἢ τοῖς μακροτέροις, ὅταν τὸ αὐτὸ σημαίνωσιν· εὐλαβητέον δὲ ὅμως, μὴ λάθῃ τις ἐπιθυμίᾳ συντομίας εἰς ἰδιωτισμὸν ἢ ἀσάφειαν ἐκπεσών. Ὑπέρ γε μὴν τοῦ πιθανὴν εἶναι τὴν διήγησιν παραληπτέον λέξεις μὲν προσφυεῖς τοῖς τε προσώποις, καὶ

καταναλίσκειν solent. 50 l. V. cujus una cum Thucydidis [sic] narrationem, tanquam nihil factam contra leges historiae, a nostro excusari observandum. Scheff. 51 Ita vocat, quod vulgo phrasin dicimus. Caeterum hoc de non temere pro verbo simplici substituenda phrasi pertinet ad narrationem solam, idque propter brevitatem, quod notandum.

Digitized by Google

τοῖς πράγμασι, καὶ τοῖς τόποις, καὶ τοῖς καιροῖς· πράγματα δὲ ὅσα εἰκότα ἐστὶ, καὶ ἀλλήλοις ἀκόλουθα· δεῖ δὲ καὶ τὰς αἰτίας βραχέως προστιθέναι τῇ διηγήσει, καὶ τὸ 21
ἀπιστούμενον πιστῶς λέγειν, καὶ ἁπλῶς στοχάζεσθαι προσήκει τοῦ πρέποντος, τῷ τε προσώπῳ καὶ τοῖς ἄλλοις στοιχείοις τῆς διηγήσεως[52], κατά τε τὰ πράγματα καὶ κατὰ τὴν λέξιν. Παράδειγμα δὲ ἡμῖν ἔσται τὸ ἐν ἀρχῇ τῆς δευτέρας τοῦ Θουκυδίδου περὶ Πλαταιέων καὶ Θηβαίων διήγημα· εἰκὸς γὰρ ἦν τοὺς Θηβαίους ἀεὶ διαφόρους ὄντας τοῖς Πλαταιεῦσι, μαθόντας, ὅτι ἔσοιτο πόλεμος, ἐθελῆσαι προκαταλαβεῖν τὴν Πλάταιαν ἔτι ἐν εἰρήνῃ· ταῦτα δὲ βουλευσαμένοις, ἐκ μὲν τοῦ φανεροῦ μὴ ἐπιχειρεῖν, νυκτὶ δὲ ἀσελήνῳ[53] ἐπιχειρῆσαι, καὶ πρὸς τούτοις ἔχειν τινὰς Πλαταιέων, οἳ καὶ ἀνοίξουσιν αὐτοῖς τὰς πύλας, μηδεμιᾶς φυλακῆς προκαθεστηκυίας διὰ σπονδάς, τούς τε προδιδόντας ἰδίου[54] ἕνεκεν ἐχθροῦ πρός τινας τῶν πολιτῶν, οὓς ᾤοντο διαφθεῖραι τούτων γινομένων· ἀλλὰ μὴ τὸ τοῖς Θηβαίοις[55] προδεδωκέναι. πιθανὸν δὲ, τὸ μὴ αἰσθανομένους τοὺς Πλαταιέας προκατειλημμένην τὴν πόλιν ἐξαπιναίως ὑπὸ τῶν πολεμίων, νομίσαι τε διὰ τὴν νύκτα πολλῷ πλείους εἰσεληλυθέναι, πρὸς ξύμβασίν τε χωρῆσαι· ὕστερον δὲ κατανοήσαντας οὐ πολλοὺς ὄντας, ἐπιθέσθαι αὐτοῖς. καὶ θόρυβος δὲ πάνυ πιθανώτατος· τῶν μὲν Πλαταιέων προσβαλλόντων τοῖς Θηβαίοις, καὶ τῶν γυναικῶν, καὶ τῶν οἰκετῶν ἅμα ἀπὸ τῶν οἰκιῶν, κραυγῇ δὲ καὶ ὀλολυγῇ χρωμένων, λίθοις τε καὶ κεράμοις βαλλόντων τοὺς Θηβαίους, καὶ ὑε-

---

Scheff. 52 Sic ab initio, ubi recenset numero sex, personam, negocium, locum, tempus, modum etc. Vulgo circumstantias vocamus. Scheff. 53 Interpres reddere omisit. Latini dicunt: nocte illuni. Scheff. 54 Med. Rom. ἰδοὺ ἕνεκα. Vict. γρ. ἰδίου ἕνεκα ἐχθροῦ: i. e. propter privatas inimicitias. 55 Med. Rom. τοὺς Θηβαίους [Rom. προδεδοκέναι].

Digitized by Google

τοῦ πολλοῦ ἐπιγενομένου νυκτὸς, πολλοὺς τῶν Θηβαίων διά τε πηλοῦ καὶ σκότους διωκομένων, ἀπειρίᾳ δὲ τῶν ὁδῶν οὐ δυναμένων ἐκφυγεῖν[56]· πιθανὸν δὲ τὸ καὶ κλεῖσαί τινα τὰς πύλας, στυρακίῳ[57] ἀκοντίου ἀντὶ βαλάνου[58] χρησάμενον εἰς τὸν μοχλόν· πολὺ δὲ πιθανώτερον τὸ τῆς δούσης γυναικὸς πέλεκυν· εἰκὸς γὰρ ἦν, γυναῖκα πρὸς ἐρήμοις πύλαις οἰκοῦσαν, θεασαμένην τοὺς πολεμίους ἀποκεκλεισμένους, φοβηθῆναι, μὴ ἀπελπίσαντας τὴν σωτηρίαν, καὶ εἰς ἀπόνοιαν περιστάντας, τραπέσθαι ἐπὶ τὸ κακῶς ποιεῖν, μάλιστα μὲν οὖν οὓς ἐὰν δύνωνται, πολὺ δὲ πρότερον τὰς πλησίον οἰκίας· ἐῶ γὰρ ὅτι κατὰ γυναῖκα ἦν, ἐλεῆσαι καὶ πολεμίους νενικημένους· ὁμοίως δὲ καὶ τὰ ἄλλα πάντα, ἵνα μὴ μακρολογῶμεν. Οὐ μονοειδὴς δὲ τοῦ διηγήματος ἡ γυμνασία, ἀλλὰ καθάπερ 22 ὁ μῦθος, καὶ ἀπαγγέλλεται, καὶ κλίνεται, καὶ συμπλέκεται μύθῳ, συστέλλεταί τε καὶ ἐπεκτείνεται· ἔτι δὲ κατὰ τὴν ἀπαγγελίαν[59] ἐναλλάττομεν τῶν κεφαλαίων τὴν τάξιν. καὶ πρὸς τούτοις ἐστὶ[60] καὶ τὴν αὐτὴν τάξιν φυλάττουσι κατὰ πολλοὺς καὶ ποικίλους τρόπους ποιεῖσθαι τὴν φράσιν· ἔτι δὲ καὶ[61] ἐπιφωνεῖν διηγούμενον, καὶ συμπλέ-

56 Rom. ἐκφρυγεῖν. corr. Vict. 57 Cuspide. Scholia Thucydidis: στυράκιόν ἐστιν ὃ καλούμενος σαυρωτὴρ τῶν δοράτων. Hesych. σαυρωτῆρες, τοῖς στύραξιν τῶν ὀπίσω τῶν δοράτων, ἤτοι σιδήρου τοῦ δόρατος. Ita habent omnes, etiam novissima Lugduno-Batava. Sed scribendum σαυρωτῆρσι, quod nos Suidas docet, qui hunc locum Hesychii, ut plerosque alios, exscribit. Scheff. Vide Boisson. ad Philostr. Her. p. 601. Schweigh. Lex. Herod. s. v. σαυρωτήρ. 58 Interpres Thucydidis: βάλανος τὸ βαλλόμενον εἰς τὸν μοχλὸν σιδήριον, ὃ καλοῦμεν μάγγανον. Scheff. 59 Notanter distinguit a διηγήσι [sic]. Scheff. 60 ἐστὶ Med. Rom. Camer. om. Posuit ad marg. Camer. recepit Heins. Idem post τάξιν posuit καὶ, quod delevi. 61 καὶ Med. om.

Digitized by Google

συμπλέκειν ἀλλήλοις δύο ἢ καὶ τρεῖς διηγήσεις, κατὰ τὴν ἀπαγγελίαν· ἐφ' ἅπασι δὲ τό τε ἀνασκευάζειν καὶ κατασκευάζειν. Περὶ μὲν οὖν ἀπαγγελίας, καὶ κλίσεως, καὶ συμπλοκῆς, ἔτι δὲ[62] συστολῆς τε καὶ ἐπεκτάσεως, ἐν τῷ περὶ μύθων εἴρηται· τὴν δὲ ἀναστροφὴν τῆς τάξεως, πολλαχῶς ποιησόμεθα· καὶ γὰρ ἀπὸ τῶν μέσων ἐστὶν ἀρξάμενον ἐπὶ τὴν ἀρχὴν ἀναδραμεῖν, εἶτα ἐπὶ τὰ τελευταῖα καταντῆσαι, ὅπερ ἐν Ὀδυσσείᾳ Ὅμηρος πεποίηκεν· ἤρξατο μὲν[63] γὰρ ἀπὸ τῶν χρόνων, καθ' οὓς Ὀδυσσεὺς ἦν παρὰ Καλυψοῖ, εἶτα ἀνέδραμεν ἐπὶ τὴν ἀρχὴν μετά τινος οἰκονομίας γλαφυρᾶς, ἐποίει γὰρ τὸν Ὀδυσσέα τοῖς Φαίαξι τὰ καθ' ἑαυτὸν διηγούμενον, εἶτα συνάψας τὴν λοιπὴν διήγησιν ἔληξεν εἰς τὰ τελευταῖα, μέχρι τοὺς μνηστῆρας ἀπέκτεινεν Ὀδυσσεύς, καὶ πρὸς τοὺς γονέας αὐτῶν φιλίαν ἐποιήσατο· καὶ[64] Θουκυδίδης δὲ ἀπὸ τῶν περὶ Ἐπίδαμνον ἀρξάμενος, ἀνέδραμεν ἐπὶ τὴν πεντηκονταετίαν, ἔπειτα κατῆλθεν ἐπὶ τὸν Πελοποννησιακὸν πόλεμον. ἔξεστι δὲ καὶ ἀπὸ τῶν τελευταίων ἀρξάμενον ἐλθεῖν ἐπὶ τὰ μέσα, καὶ οὕτως ἐπὶ τὴν ἀρχὴν καταντῆσαι, ὅπερ Ἡρόδοτος διὰ τῆς τρίτης ἡμᾶς διδάσκει, λέγων οὕτω· πέμψας Καμβύσης εἰς Αἴγυπτον κήρυκα, αἴτεε Ἄμασιν θυγατέρα· αἴτεε δὲ ἐκ συμβουλῆς ἀνδρὸς Αἰγυπτίου, ὃς μεμφόμενος Ἄμασιν, ἔπραξε[65] ταῦτα, ὅτι μιν ἀποσπάσας γυναικός τε καὶ τέκνων, ἔκδοτον ἐποίησεν εἰς Πέρσας· εἶτα καὶ τὰ αἴτια διηγεῖται, ὅτι ὁ τῶν Περσῶν βασιλεὺς ἠτήκει παρὰ τοῦ Αἰγυπτίων βασιλέως ἰατρὸν ὀφθαλμῶν, ὃς εἴη ἄριστος· ἡ γὰρ κατὰ φύσιν ἦν τάξις τῆς διηγήσεως, πρῶτον μὲν τὴν ὀφθαλμίαν εἰπεῖν τοῦ Περσῶν βασιλέως, καὶ ὡς πέμψας εἰς Αἴγυπτον ἤτησε παρὰ βασιλεύοντος ἐκεῖ ἰατρὸν ὀφθαλ-

62 δὲ Heins. om. est in Med. Rom. Camer. 63 μὲν Rom. Camer. Heins. om. recepi ex Med. marg. Vict. 64 marg. Vict. καὶ ὁ. 65 Edd. ἔπραξε. Med. ἔπρηξε.

Digitized by Google

μῶν, ὁ δὲ τοῦτον ἀναπέμπει, ἔπειτα ὅτι χαλεπῶς φέρων ὁ ἰατρὸς, γυναικός τε καὶ παίδων ἀπολειφθεὶς, ἠμύνατο
23 τὸν ἐκδόντα, συμβουλεύσας τῷ Περσῶν βασιλεῖ, αἰτῆσαι θυγατέρα παρὰ τοῦ Αἰγυπτίων βασιλέως, ἵνα ἢ δοὺς ἀνιῷτο, ἢ μὴ δοὺς ἀπέχθοιτο· ἔτι δὲ καὶ ἀπὸ τῶν μέσων ἀρξάμενον, ἐπὶ τὴν τελευτὴν ἐλθεῖν, εἶτα ἐν τούτοις λῆξαι. καὶ πάλιν ἀπὸ τῶν τελευταίων ἀρξάμενον ἀναδραμεῖν ἐπὶ τὴν ἀρχὴν, καὶ λῆξαι εἰς τὰ μέσα, καὶ ἔτι ἀπὸ τῶν πρώτων ἀρξάμενον μεταβαίνειν[66] ἐπὶ τὰ τελευταῖα, καὶ ἐν τοῖς μέσοις παύσασθαι. Κατὰ μὲν οὖν τὴν ἀναστροφὴν τῆς τάξεως οὕτως· ἐπεὶ δὲ εἰώθαμεν ἐκφέρειν τὰ πράγματα, ἐνίοτε μὲν ὡς ἀποφαινόμενοι, ἐνίοτε δὲ ὡς πλέον τι τοῦ ἀποφαίνεσθαι ποιοῦντες, καὶ ἐνίοτε μὲν ὡς ἐρωτῶντες, ἄλλοτε δὲ ὡς πυνθανόμενοι, ἔσθ' ὅτε δὲ ὡς ἐπαποροῦντες, καὶ ἄλλοτε μὲν ὡς προστάττοντες, ἄλλοτε δὲ ὡς εὐχόμενοι, καί ποτε μὲν ὡς ὀμνύοντες, ποτὲ δὲ ὡς ἀπαγορεύοντες, ἄλλοτε δὲ προστιθέμενοι, ποτὲ δὲ προσδιαλεγόμενοι· ἐνδέχεται γὰρ κατὰ πάντας τούτους τοὺς τρόπους εἰσφέρειν, ποικίλλοντας τὰς διηγήσεις. Θουκυδίδης μὲν οὖν ἐν ἀρχῇ τῆς δευτέρας τῶν ἱστοριῶν κατὰ τὸν τοῦ ἀποφαινομένου τρόπον ἐξήνεγκεν τὴν διήγησιν ταύτην· Θηβαίων ἄνδρες, ὀλίγῳ πλείους τριακοσίων, εἰσῆλθον περὶ πρῶτον ὕπνον σὺν[67] ὅπλοις εἰς[68] Πλάταιαν τῆς Βοιωτίας, οὖσαν Ἀθηναίων συμμαχίδα· ἀνοῖξαι[69]

---

66 Med. μεταβῆναι. Rom. μεταθῆναι. marg. Vict. μεταβῆναι.
67 In Thucydide est ξὺν, quod ex lingua veteri Attica usitatum Thucydidi fuisse, docet in vita ejus Marcellinus. Itaque et hic tali modo scribendum, et in sequentibus ξυμμαχίδα, quod rursum ita legitur apud ipsum Thucydidem. Scheff.
68 Thucydides ipse habet ἐς. Scheff. 69 Totum hunc locum usque ad οὖσαν Ἀθηναίων συμμαχίδα, ἀνέῳξαν αὐτοῖς τὰς πύλας. Edd. omnes et Par. om. exstat in Med. et exemplari Victoriano insertus est.

Digitized by Google

δ' αὐτοῖς τὰς πύλας Ναυκλείδην τε[70] καὶ τοὺς μετ' αὐτοῦ, μηδεμιᾶς φυλακῆς προκαθεστηκυίας διὰ τὰς σπονδάς. καὶ οὕτω τὰ μετὰ ταῦτα· εἰ δὲ διαλογικῶς ἐπαγγέλλειν βουλοίμεθα, ὑποθησόμεθά τέ τινας ἀλλήλοις διαλεγομένους περὶ τῶν πεπραγμένων, καὶ τὸν μὲν διδάσκοντα, τὸν δὲ μανθάνοντα τὰ γεγενημένα, οἷον, πολλάκις μέν σε καὶ πρότερον ἐπῆλθεν ἔρεσθαί μοι περὶ τῶν ἐν Πλαταιαῖς συμβεβηκότων Θηβαίοις τε καὶ Πλαταιεῦσιν, ἀτὰρ καὶ νῦν ἡδέως ἂν ἀκούσαιμι, εἴ σοι ἐν καιρῷ ἐστι διηγήσασθαι· ἀλλὰ νὴ Δία καιρός ἐστι, καὶ δὴ καὶ ἤδη σοι λέγω, εἴπερ, ὡς φῂς, ἐπιθυμίαν ἔχεις ἀκοῦσαι περὶ τούτων· Θηβαῖοι γὰρ, ἀεὶ διάφοροι ὄντες τοῖς Πλαταιεῦσιν, ἐβούλοντο τὴν Πλάταιαν ἐν εἰρήνῃ προκαταλαβεῖν. ἄνδρες οὖν ἐξ αὐτῶν ὀλίγῳ πλείους τριακοσίων, εἰσῆλθον περὶ πρῶτον ὕπνον σὺν ὅπλοις εἰς τὴν πόλιν, οὖσαν Ἀθηναίων συμμαχίδα. πῶς οὖν νυκτὸς οὔσης καὶ τῶν πυλῶν κεκλεισμένων, ἔτι δὲ καὶ φυλακῆς καθεστηκυίας ῥᾳδίως ἔλαθον εἰσελθόντες; μικρὸν μὲν ἔφθης· ἐπεὶ καὶ αὐτὸς ἔμελλον εἰπεῖν, ὅτι τὰς πύλας ἀνέῳξαν αὐτοῖς ἄνδρες, Ναυκλείδης τε καὶ οἱ μετ' αὐτοῦ, φυλακῆς οὐδεμιᾶς προκαθεστηκυίας διὰ τὴν εἰρήνην, καὶ τὰ ἑξῆς. Τὸν αὐτὸν τρόπον διεξελευσόμεθα ἐρωτῶντές τε καὶ ἀποκρινόμενοι κατὰ τὸν διαλεκτικὸν νόμον· ἔτι δὲ ἀποφαινόμενοι τὰ πράγματα, ποτὲ μὲν καταφάσκομεν, οἷον, Θέων διαλέγεται· ἔστι δὲ μὴ μόνον καταφάσκοντας, ἀλλὰ καὶ ἀποφάσκοντας ἐκφέρειν τὰς διηγήσεις, καταφάσκοντας μέν, ὡς ἔφαμεν τὸν Θουκυδίδην τὴν διήγησιν ἐξενηνοχέναι· ἀποφάσκοντας δὲ, οἷον οὔτε Θηβαίων ἄνδρες ὀλίγῳ πλείους τριακοσίων εἰσῆλθον περὶ πρῶτον ὕπνον σὺν ὅπλοις εἰς Πλάταιαν τῆς Βοιωτίας, οὖσαν Ἀθηναίων ξυμμαχίδα, οὔτε τὰς πύλας ἀνέῳξαν Ναυκλείδης τε καὶ οἱ μετ' αὐτοῦ, καὶ οὕτω μέχρι τέλους· ἔστι δὲ καὶ ἄλλος

70 Med. Vict. δέ. scripsi τε, ut est paullo inferius.

Digitized by Google

τρόπος ἀσύνδετος καλούμενος, ὅτ' ἂν τοὺς συνδέοντας τὴν φράσιν συνδέσμους παραλείπωμιεν[71], οἷον, Θηβαίων ἄνδρες, ὀλίγῳ πλείους τριακοσίων, εἰσῆλθον περὶ πρῶτον ὕπνον σὺν ὅπλοις εἰς Πλάταιαν τῆς Βοιωτίας, οὖσαν Ἀθηναίων συμμαχίδα· ἀνέῳξαν αὐτοῖς τὰς πύλας, καὶ τὰ ἑξῆς. ἡμεῖς δὲ εἰ βουλοίμεθα πλέον τι τοῦ ἀποφαίνεσθαι ποιεῖν, οὕτως ἐροῦμεν· μεγάλων ὡς ἔοικε πραγμάτων αἰτία γέγονεν Ἀθηναίοις καὶ Λακεδαιμονίοις καὶ τοῖς ἐξ ἑκάστων συμμάχοις, Θηβαίων εἰς Πλάταιαν ἄφιξις· Θηβαίων γὰρ ἄνδρες, ὀλίγῳ πλείους τριακοσίων, εἰσῆλθον περὶ πρῶτον ὕπνον σὺν ὅπλοις εἰς Πλάταιαν τῆς Βοιωτίας καὶ οὕτω τὰ λοιπὰ τῆς διηγήσεως συνάψομεν· εἰ δὲ ἐρωτᾷν βουλοίμεθα, οὕτως ἐροῦμεν· ἆρά γε ἀληθές ἐστιν, ὅτι Θηβαίων ἄνδρες, ὀλίγῳ πλείους τριακοσίων, εἰσῆλθον περὶ πρῶτον ὕπνον σὺν ὅπλοις εἰς Πλάταιαν τῆς Βοιωτίας· καὶ οὕτως ἐρωτηματικῶς τὰ μετὰ ταῦτα διελευσόμεθα· οὕτω[72] δ' ἂν πυθοίμεθα, τίνες ἦσαν οἱ Θηβαίων ἄνδρες, οἱ ὀλίγῳ πλείους ἦσαν τριακοσίων, εἰσῆλθόν τε[73] περὶ πρῶτον ὕπνον σὺν ὅπλοις εἰς Πλάταιαν τῆς Βοιωτίας; καὶ τὰ λοιπὰ πυνθανόμενοι ἐποίσομεν· τὸ δὲ ἐπαπορεῖν καὶ τὸ ἐρωτᾷν, κατὰ μὲν τὴν προφορὰν, οὐδὲν ἀλλήλων διήνεγκε, διόπερ τῷ ἑτέρῳ αὐτῶν ἀρκεσθησόμεθα· ἐάν τε γὰρ ἐρωτῶμεν, ἐάν τε ἐπαπορῶμεν, οὕτως ἐξοίσομεν·

Ἆρ' ἔστι[74] πάντων ἀγρυπνία λαλίστατον[75];

διαφέρειν δὲ δοκεῖ, ὅτι ὁ μὲν ἐρωτῶν ἀπόκρισιν ἐπιζητεῖ,

---

71 Vict. παραλείπομεν. Med. παραλείπωμιεν. 72 Edd. Rom. Camer. οὕτω. Heins. corr. οὕτως. Med. marg. Vict. οὕτω. 73 Edd. Rom. Camer. εἰσῆλθόν τε. Med. τε om. Heins. εἰσῆλθόν τες, ex quo Scheff. fecit εἰσελθόντες. 74 Est Menandri, ex fabula, cujus fuit titulus Epiclerus, quod ex sequentibus apparet, ubi denuo repetitur. Scheff. 75 Med. Rom. λαλίστερον. Camer. Heins. λαλίστατον.

Digitized by Google

ὁ δὲ ἐπαπορῶν οὐ πάντως, ἀλλὰ μόνον πρὸς ἑαυτὸν ἀπορεῖ· εἰ δὲ προστάττειν βουλοίμεθα, οὕτω ποιήσομεν· ὑποθησόμεθα γὰρ ἐν τοῖς τελευταίοις τῆς διηγήσεως, μετὰ τὴν τῶν εἰσελθόντων εἰς Πλαταίας ἀναίρεσιν, ἕνα τινὰ παραινοῦντα ἢ τοῖς Θηβαίοις, ἢ τοῖς Πλαταιεῦσιν, οὕτως· ἄγετε, ὦ Πλαταιεῖς, ὅπως ἄξιοι τῆς πόλεως ἔσοισθε, καὶ τῶν προγόνων πρὸς Πέρσας τε καὶ Μαρδόνιον ἠγωνισμένων, καὶ τῶν ἐν τῇ χώρᾳ τῇ ἡμετέρᾳ κειμένων, δείξατε τοῖς Θηβαίοις, ὅτι μὴ δίκαια ποιοῦσιν, ἀξιοῦντες μὲν ὑμᾶς αφίσιν ὑπακούειν καὶ δουλεύειν· οὐκ ἐθέλοντας δὲ, πολέμῳ βιαζόμενοι παρὰ τοὺς ὅρκους καὶ τὰς συνθήκας, ὀλίγῳ πλείους τριακοσίων· εἶτα εἰσῆλθον περὶ πρῶτον ὕπνον σὺν ὅπλοις εἰς τὴν πόλιν τὴν ὑμετέραν, οὖσαν Ἀθηναίων συμμαχίδα· καὶ ὡσαύτως τὰ ἑξῆς, ὡς πρὸς Πλαταιεῖς διηγησόμεθα. εἰ δὲ ὑποθώμεθα τὴν παρακέλευσιν γίνεσθαι πρὸς τοὺς Θηβαίους, οὕτως ἐροῦμεν· ἄγετε, ὦ Θηβαῖοι, ὅπως φανήσεσθε αὐτῶν τε καὶ τῶν πατέρων ἄξιοι[76], καὶ τῆς ἀρχῆς, ἣν ἔχετε[77], συμπάσης τῆς Βοιωτίας, καὶ δείξατε τοῖς Πλαταιεῦσιν, ὅτι δοῦλοι ὄντες ὑμέτεροι, οὐ μόνον ἀποδεδράκασι πρὸς Ἀθηναίους, ἀλλὰ καὶ ἄνδρας ὑμετέρους ὀλίγῳ πλείους τριακοσίων, ἐλθόντας περὶ πρῶτον ὕπνον σὺν ὅπλοις εἰς τὴν Πλάταιαν τὴν ἑαυτῶν, διέφθειραν. καὶ τοῦτον τὸν τρόπον καὶ τὰ λοιπὰ διηγησόμεθα. ἔστι δὲ καὶ οὕτω πρόσταξιν ποιήσασθαι, εἰ ὑποθώμεθά τινα τοῖς Θηβαίοις, πρὶν γενέσθαι τὴν εἰς Πλάταιαν εἴσοδον, προστάττοντα, ἃ δὴ καὶ ἔπραξαν· ἄγετε, ὦ Θηβαῖοι, ὅπως ἄνδρες ἐξ ὑμῶν ὀλίγῳ πλείους τριακοσίων εἰσέλθωσι περὶ πρῶτον ὕπνον σὺν ὅπλοις εἰς Πλάταιαν τὴν ὑμετέραν, νῦν δ' οὖσαν Ἀθηναίων συμμαχίδα· καὶ τὰ ἑξῆς, ὡς ἂν ἐνδέχηται, κατὰ τοῦτον τὸν[78] τρόπον διεξελευσόμεθα· εἰ δὲ εὐχόμεθα,

76 Ed. Rom. ἄσιοι. corr. Vict. 77 Med. Rom. Camer. ἕξετε. Heins. ἔχετε. 78 τὸν Edd. om. recepi ex Med.

Digitized by Google

οὕτως ἐροῦμεν· εἴθε[79] μηδέποτε Θηβαίων ἄνδρες, ὀλίγῳ πλείους τριακοσίων, εἰσῆλθον περὶ πρῶτον ὕπνον σὺν ὅπλοις εἰς Πλάταιαν τῆς Βοιωτίας, οὖσαν Ἀθηναίων συμμαχίδα· καὶ μέχρι τέλους κατὰ τὸν τοῦ εὐχομένου τρόπον διηγησόμεθα. Οὐκ ἄδηλος δὲ ὁ τρόπος, πῶς κατὰ τὴν ὀνομαστικὴν προφορὰν ἡ διήγησις ἐξενεχθήσεται· τὴν δὲ προσαγορευτικὴν παραιτούμεθα, ὅτι καὶ πρότερον, ἐπὶ τῶν κατὰ τὰς πτώσεις ἐγκλίσεων, ἤδη παραδεδώκαμεν ἐπὶ τῆς κλητικῆς· ὑποτιθέμενοι δὲ οὕτως ἐροῦμεν· ὑποθώμεθα γὰρ, Θηβαίων ἄνδρας, ὀλίγῳ πλείους τριακοσίων, εἰσελθεῖν περὶ πρῶτον ὕπνον σὺν ὅπλοις εἰς Πλάταιαν τῆς Βοιωτίας, οὖσαν Ἀθηναίων συμμαχίδα· ἀνοῖξαι[80] δ' αὐτοῖς τὰς πύλας Ναυκλείδην τε καὶ τοὺς μετ' αὐτοῦ· καὶ ἔθεντο εἰς τὴν ἀγορὰν τὰ ὅπλα. ὁμοίως δὲ καὶ τὰ ἑξῆς. καὶ παρὰ Δημοσθένει[81] Ἀμφίπολιν, Πύδναν, Ποτίδαιαν, Ἀλόννησον, οὐδενὸς τούτων μέμνημαι. ἔτι[82] καὶ πάλιν· ἀλλ' ἐφ' Ἑλλήσποντον οἴχεται, πρότερον[83] ἦκεν ἐπ' Ἀμβρακίαν, Ἦλιν[84] ἔχει, τηλικαύτην πόλιν ἐν Πελοποννήσῳ· Μεγάροις ἐπεβούλευσε πρώην. Ἔστι δὲ καὶ τούτους ἀλλήλοις ἐπιπλέκειν τοὺς τρόπους, καὶ μικτὸν ἐκ δυοῖν ἢ πλειόνων ποιεῖν, ὡς τοῦ διηγήματος τὰ μὲν ἀπαγγεῖλαι κατὰ τὸν τοῦ ἀποφαινομένου τρόπον, τὰ δὲ συνδέτως[85], τὰ δὲ ὅπως ἄν τις βού-

---

79 Rom. εἴθη. 80 Edd. ἀνέῳξαν αὐτοῖς τ. π. Ναυκλείδης τε καὶ οἱ μετ' αὐτοῦ. recepi lectionem Med. in quo post αὐτοῦ lacuna est. marg. Vict. καὶ ἀνέῳξαν. Heins. ἀνέῳξαν δέ. 81 In oratione de corona, et Philipp. III. Scheff. 82 Med. ὅτι. ut Pausan. II. 31. 4. εἴη δ' ἂν ἔτι καὶ ἄλλο οὐ γινωσκόμενον ὑπὸ ἐμοῦ. Angel. ὅτι. 83 Ed. Rom. πότερον. marg. Vict. πρότερον. Contra apud Sopatr. ζητ. p. 375. πρὸ πάντων ἔμαθον ἂν παρ' ὑμῶν, πρότερον παρ' Ἀλεξάνδρῳ ἢ παρ' Ἀθηναίοις τυγχάνει τὸ δικαστήριον. legendum πότερον, ut Par. 84 Med. edd. Ἦλιν. 85 Med. συνδέτως. Rom. Camer. ἀσυνδέτως. Heins. συνθέτως.

λοιτο ποικίλλων τὴν φράσιν[86]. ἐπιφωνεῖν δὲ διηγήσει ἐστὶ, τὸ καθ' ἕκαστον μέρος τῆς διηγήσεως γνώμην ἐπιλέγειν· τὸ δὲ τοιοῦτον οὔθ' ἱστορίᾳ πρέπον ἐστὶν, οὔτε πολιτικῷ λόγῳ· θεάτρῳ δὲ καὶ σκηνῇ μᾶλλον ἐπιτήδειον· διὸ καὶ παρὰ τοῖς τοιούτοις ποιηταῖς, ἐπιπλεῖστόν ἐστιν, ὡς παρὰ Μενάνδρῳ πολλαχοῦ μὲν ἀλλαχόθι, καὶ ἐν ἀρχῇ δὲ τοῦ τε Δαρδάνου[87] καὶ τοῦ ξενολόγου[88].

Ἀνδρὸς πένητος υἱὸς, ἐκτεθραμμένος
Οὐκ ἐξ ὑπαρχόντων, ὁρῶν ᾐσχύνετο
Τὸν πατέρα μικρ'[89] ἔχοντα· παιδευθεὶς γὰρ εὖ
Τὸν καρπὸν εὐθὺς ἀπεδίδου χάριτος[90] καλόν.

ὁ γὰρ τελευταῖος στίχος ἐκ περιττοῦ πρόκειται, θηρώμενος μόνον τὸν παρὰ τῶν θεατῶν ἔπαινον· ὅταν μέν τοι συνεχῶς ἐγκαταμιγνύῃ τις, καὶ λανθάνῃ ταῦτά τὰ[91] γνωμικὰ, ἐπιχαρίς πως ἡ διήγησις γίνεται, ὡς παρὰ Ἡροδότῳ ἐν τῇ πρώτῃ· λέγων γὰρ περὶ τοῦ ἀνθρωπείου βίου, ὡς οὐκ ἔστι σταθερὸς, ἀλλὰ πολλὰς ἐν[92] ἑαυτῷ ἔχει τὰς μεταβολὰς, ἔπειτα ἐξαριθμησάμενος ὅσων ἡμερῶν ἐστιν ἀνθρωπίνη ζωὴ, ὡς ἑβδομήκοντα ἔτη, ἐπιφέρει· τούτων τῶν ἁπασέων ἡμερέων, ἡ ἑτέρη αὐτέων τῇ ἑτέρῃ ἡμέρῃ τὸ παράπαν οὐδὲν ὅμοιον εἰσάγει πρῆγμα[93], εἶτα ἐπιφωνεῖ τοῦτον τὸν τρόπον· οὕτως, ὦ Κροῖσε, πᾶς[94]

---

86 Heins. φάσιν. 87 Comoedia sic dicta, quam aliis laudatam necdum observare potui. Scheff. 88 Ne hanc quidem Comoediam ejus alibi memoratam arbitror. Scheff. 89 Med. μικρά. 90 χάριτος Med. om. 91 τὰ Med. Heins. om. recepi ex Rom. Camer. 92 ἐν Rom. Camer. om. 93 In Herodoto ipso est προσάγει, ut mox pro οὕτως, οὕτω, item pro τίνα λόγον ἔχεις οὐχ ὑγιέα, τίνα λέγεις λόγον οὐκ ὑγιέα, quod Herodoto convenientius. Denique pro κελεύων δέσποιναν, Herodotus una voce auctius, κελεύων με δέσποιναν, ut et pro χιτῶνι, κιθῶνι, quod est rursum Herodoto magis congruum. Phavorinus: Κιθὼν, ἰωνικῶς ἀντὶ τοῦ χιτών. Scheff. 94 Marg.

Digitized by Google

26 ἐστιν ἄνθρωπος συμφορή[95]· ὡς καὶ[96] ὁ Γύγης πρὸς τὸν Κανδαύλην[97] λέγει· δέσποτα, τίνα λόγον ἔχεις[98] οὐχ ὑγιέα, κελεύων δέσποιναν τὴν ἐμὴν θεήσασθαι γυμνὴν, ἅμα δὲ χιτῶνι ἐκδυομένῳ συνεκδύεται καὶ τὴν αἰδὼ[99] γυνή. Καὶ μὴν καὶ παρὰ τοῖς ῥήτορσιν εὕροιμεν ἂν, οὐχ ἥκιστα καὶ παρὰ τῷ πολιτικωτάτῳ Δημοσθένει, καὶ ἐν τοῖς πολιτικωτάτοις αὐτοῦ λόγοις· ἐν γὰρ τῷ δευτέρῳ τῶν Ὀλυνθιακῶν διηγούμενος περὶ τοῦ Φιλίππου, ὅτι περὶ αὐτὸν ἔχει μίμους γελοίων, καὶ ποιητὰς αἰσχρῶν ἀσμάτων, καὶ οὓς γε ἡ πόλις Ἀθηναίων ἐξέβαλεν ὡς ἀσελγεστάτους ὄντας, καὶ ὅτι τοιοῦτος[100] ὢν Φίλιππος εἰκότως λανθάνει πάντας ἀνθρώπους, τῷ κατορθοῦν ἐν τοῖς πολέμοις, μετὰ ταῦτα ἐπιφωνεῖ· αἱ γὰρ εὐπραξίαι δειναὶ συγκρύψαι καὶ συσκιάσαι[101] τὰ τοιαῦτα ὀνείδη. ἔστι δὲ καὶ ἀνάπαλιν προθέντα[102] γνωμικὸν λόγον διηγήσασθαι, καθάπερ καὶ[103] ἐπὶ τοῦ μύθου παρεσημειωσάμεθα· οἷον καὶ παρὰ Μενάνδρῳ ἐν[104] τῇ χρηστῇ[105] ἐπικλήρῳ,

Ἆρ' ἐστὶ[106] πάντων ἀγρυπνία λαλίστατον;

εἶτα ἑξῆς τὸ διήγημα.

Vict. πᾶν. Edd. et Med. πᾶς. 95 Camer. συμφορῇ. 96 Med. Rom. Camer. οἷος. Camer. ad marg. καὶ ὡς. Heins. ὡς καί. 97 Camer. Κανδαύλιν. 98 Marg. Vict. ap. Herod. λέγεις. 99 Ed. Rom. αἰδών. marg. Vict. αἰδῶ. 100 Med. Camer. τοσοῦτος. 101 Camer. συσκιᾶσαι. In ed. Heins. συκιάσαι, linea enim post συ finita σ excidit: nihilominus reddidit etiam Scheffer συκιάσαι. 102 Med. Rom. προϛθέντα. 103 Med. καὶ om. 104 Med. καί. 105 Suspicor illud χρηστῇ corruptum esse, ac fortasse numerum latitare hujus comoediae in ipso. Nam Athenaeus citat ἐπίκληρον πρώτην, unde satis constat scripsisse plures nominis ejusdem. Epitheton profecto parum commodum hoc loco videtur. Scheff. Ed. Rom. χρήστῃ. Hemsterh. ad Luc. I. p. 460. χρυσῇ, quod probat Meineke ad Menandr. p. 63. 106 Med. Rom. ἐστὶν ἀγρυπν.

Digitized by Google

Ἐμὲ γοῦν ἀναστήσασα δευρὶ προάγεται
Λαλεῖν [107] ἀπ᾽ ἀρχῆς πάντα τὸν ἐμαυτοῦ βίον.

Διήγησιν δὲ διηγήσει συμπλέκειν ἐστὶν, ὅταν δύο διηγήσεις, ἢ καὶ πλείους ἅμα διηγεῖσθαι ἐπιχειρῶμεν· τοῦτο δὲ μάλα ἐπετήδευσαν [108] οἱ ἀπὸ Ἰσοκράτους, καὶ αὐτὸς [109] ὁ Ἰσοκράτης ἐν τῷ πανηγυρικῷ οὕτως· ἦλθον οἵ θ᾽ Ἡρακλέους παῖδες, καὶ μικροῦ πρὸ τούτων Ἄδραστος ὁ Ταλάθου, βασιλεὺς ἂν Ἄργους· οὗτος μὲν ἐκ τῆς στρατείας τῆς ἐπὶ Θήβας δεδυστυχηκὼς, καὶ τὰ ἐξῆς· καὶ πάλιν· ἔτι γὰρ ταπεινῆς οὔσης τῆς Ἑλλάδος, ἦλθον εἰς τὴν χώραν ἡμῶν Θρᾷκες μὲν μετὰ Εὐμόλπου τοῦ Ποσειδῶνος, Σκύθαι δὲ μετὰ Ἀμαζόνων, τῶν Ἄρεως θυγατέρων, οὐ κατὰ τὸν αὐτὸν χρόνον καὶ τὰ ἐξῆς. Καὶ περὶ μὲν τῶν [110] τρόπων τῆς γυμνασίας τοσαῦτα· καὶ ὅτι κατ᾽ αὐτοὺς δυνατόν ἐστι γυμνάσασθαι κἀν τοῖς μύθοις.

Cap. V.

Περὶ χρείας. 27

Χρεία ἐστὶ σύντομος ἀπόφασις, ἢ πρᾶξις, μετ᾽ εὐστοχίας [1] ἀναφερομένη εἴς τι ὡρισμένον πρόσωπον, ἢ ἀναλογοῦν προσώπῳ· παράκειται δὲ αὐτῇ γνώμη [2] καὶ ἀπομνημονεύματα [3]· πᾶσα γὰρ γνώμη σύντομος εἰς πρόσω-

omisso *πάντων*. 107 Med. et edd. *λαβεῖν*. Vict. ad marg. et Var. Lect. XXVII. 12. *γρ. λαλεῖν*, quod recepi. 108 Camer. Heins. *ἐπιτήδευσαν*. 109 Med. Rom. Camer. ὁ *αὐτός*. Heins. *αὐτὸς* ὁ. 110 Med. et edd. *τὸν τρόπον*. marg. Vict. *τῶν τρόπων*.

1 Edd. *ἀναφέρομ. μετ᾽ εὐστοχίας*. Med. Par. Vict. *μετ᾽ εὐστοχ. ἀναφ.* 2 *γνώμη* Heins. om. 3 Mallem *ἀπομνημόνευμα* in singulari. Caeterum hac notione primus usus videtur Xenophon, de quo Laërtius: *πρῶτος ὑποσημειωσάμενος τὰ λεγόμενα, εἰς ἀνθρώπους ἤγαγεν, ἀπομνημονεύματα ἐπιγράψας*. Primus omnium, quae dicebantur (a Socrate) notis excepta dedit in

Digitized by Google

πον ἀναφερομένη χρείαν ποιεῖ. καὶ τὸ ἀπομνημόνευμα δὲ πρᾶξίς ἐστιν, ἢ λόγος βιώφελής. διαφέρει δὲ ἡ μὲν γνώμη τῆς χρείας τέτρασι τοῖσδε· τῷ τὴν μὲν χρείαν πάντως ἀναφέρεσθαι εἰς πρόσωπον, τὴν δὲ γνώμην οὐ πάντως· καὶ τῷ, ποτὲ μὲν τὸ καθόλου, ποτὲ δὲ τὸ ἐπὶ μέρους ἀποφαίνεσθαι [4] τὴν χρείαν, τὴν [5] δὲ γνώμην καθόλου μόνον· ἔτι δὲ τῷ χαριεντίζεσθαι τὴν χρείαν ἐνίοτε μηδὲν ἔχουσαν βιωφελές, τὴν δὲ γνώμην ἀεὶ περὶ τῶν ἐν τῷ βίῳ χρησίμων εἶναι· τέταρτον, ὅτι ἡ μὲν χρεία πρᾶξις, ἡ λόγος ὑπάρχει, ἡ δὲ γνώμη λόγος ἐστὶ μόνον. Τὸ δὲ ἀπομνημόνευμα δυσὶ [6] τοῖσδε κεχώρισται τῆς χρείας, ἡ μὲν γὰρ σύντομος, τὸ δὲ γὰρ ἀπομνημόνευμα ἔσθ' ὅτε ἐπεκτείνεται, καὶ ἡ μὲν ἀναφέρεται εἴς τινα πρόσωπα, τὸ δὲ ἀπομνημόνευμα καὶ καθ' ἑαυτὸ μνημονεύεται. Εἴρηται δὲ χρεία κατ' ἐξοχήν, ὅτι μᾶλλον τῶν ἄλλων πρὸς πολλὰ χρειώδης ἐστὶ τῷ βίῳ, καθάπερ καὶ Ὅμηρον, πολλῶν ὄντων ποιητῶν, κατ' ἐξοχὴν τοῦτον μόνον καλεῖν εἰώθαμεν ποιητήν. Τῆς δὲ χρείας τὰ ἀνωτάτω γένη τρία· αἱ μὲν γάρ εἰσι λογικαὶ, αἱ δὲ πρακτικαὶ, αἱ δὲ μικταί· [λογικαὶ μέν εἰσιν αἱ χωρὶς πράξεως διὰ λόγων ἔχουσαι τὸ κῦρος· οἷον, Διογένης ὁ φιλόσο-

publicum, et Apomnemoneumata inscripsit. Vulgo reddunt, dicta et facta Socratis memorabilia. Noster Chrias esse ostendit. Scheff. 4 Edd. ὑποφαίν. Med. Par. ἀποφαίν. Diximus de hac confusione in epist. crit. p. 61. 5 τὴν δὲ γνώμην — — χαριεντίζ. τὴν χρείαν recepi ex marg. Vict. absunt a Par. Med. et edd. 6 δυσὶ τοῖσδε — — τὸ δὲ ἀπομνημόνευμα absunt ab edd. recepi ex Med. Par. marg. Vict. id quod non fugit Schefferum dicentem: „Non dubito, quin hic exciderint aliqua, quae ostendebant, quomodo Chria differret ab apomnemoneumate; sequitur enim de chria καὶ ἡ μὲν, cum tamen nihil de ipsa praecesserit. Puto autem hanc fecisse differentiam, quod chria semper sit verborum paucorum, apomnemoneuma vero saepe prolixam contineat orationem.“ 7 h. e.

Digitized by Google

φος ἐρωτηθεὶς ὑπό τινος, πῶς ἂν ἔνδοξος γένοιτο, ἀπεκρίνατο, ὅτι ἥκιστα δόξης φροντίζων· [7] τῶν δὲ λογικῶν, εἴδη δύο· ἀποφαντικὸν καὶ ἀποκριτικόν· τοῦ δὲ ἀποφαντικοῦ αἱ μέν εἰσι καθ' ἑκούσιον ἀπόφασιν· οἷον Ἰσοκράτης ὁ σοφιστὴς τοὺς εὐφυεῖς τῶν μαθητῶν θεῶν παῖδας ἔλεγεν εἶναι· αἱ δὲ κατὰ περίστασιν· οἷον, Διογένης [8] ὁ Κυνικὸς φιλόσοφος ἰδὼν μειράκιον πλούσιον ἀπαίδευτον, εἶπεν, οὗτός ἐστι ῥύπος [9] περιηργυρωμένος· οὐ γὰρ ὁ Διογένης ἁπλῶς ἀπεφήνατο, ἀλλ' ἐξ ὧν εἶδεν. Ἔτι καὶ τοῦ ἀποκριτικοῦ εἰσιν εἴδη τέσσαρα, τό τε κατ' ἐρώτησιν, καὶ τὸ κατὰ πύσμα, καὶ τὸ κατ' ἐρώτησιν αἰτιῶδες, καὶ τὸ ὁμωνύμως τῷ γένει λεγόμενον ἀποκριτικόν. Διαφέρει δὲ τοῦ πύσματος ἡ ἐρώτησις, ὅτι πρὸς μὲν τὴν ἐρώτησιν συγκατατίθεσθαι δεῖ μόνον, ἢ ἀρνήσασθαι, οἷον ἀνανεῦσαι, ἢ κατανεῦσαι, ἢ διά γε τοῦ ναὶ ἢ τοῦ [10] οὐ ἀποκρίνασθαι, τὸ δὲ πύσμα μακροτέραν ἀπαιτεῖ τὴν ἀπόκρισιν· κατ' ἐρώτησιν μὲν οὖν ἐστιν, οἷον, Πιττακὸς ὁ Μιτυληναῖος [11] ἐρωτηθεὶς, εἰ λανθάνει τις τοὺς θεοὺς φαῦλόν τι ποιῶν, [12] εἶπεν οὔ, οὐδὲ διανοούμενος. 28

---

si minime sectaretur gloriam. Respexit id, quod habet Seneca V. de Benef. Gloria fugientes magis magisque sequitur. Item in Epistolis: Gloria umbra virtutis est, etiam invitos comitatur. Interpres non attendit. Caeterum hoc esse inter dicta Diogenis, alibi non legi. Scheff. 8 Etiam hoc dictum nescio an reperias alibi. Nam alii vocasse dicunt *πρόβατον χρυσόμαλον*. Vide Laërtium in vita ejus. Scheff. 9 Darmstadt. et. ed. Rom. *ἵππος*, marg. Vict. *ῥύπος*, ut est in Med. et reliquis edd. 10 Med. *τοῦ* om. 11 Habes et inferius p. 77. Scheff. 12 Heins. Med. *εἶπεν οὐδὲ διαν.* Rom. Camer. *εἶπεν οὔ, οὐδέ*, quod revocavi. Scheff. „Nescio utrum non scripserit noster, *τί ποιῶν, οὐκ εἶπεν, οὐδὲ* etc. quia sequitur *μετὰ τὴν ἀπόφασιν*, cum si legamus sicut nunc se habent, nulla sit *ἀπόφασις*, quae quidem directe respondeat quaesito. Quamquam isto modo habeat et inferius, ut forte nil mutan-

Digitized by Google

μετὰ γὰρ τὴν ἀπόφασιν τὸ προστιθέμενον περισσόν ἐστιν[13], ἐπεὶ καὶ ἀφαιρεθέντος αὐτοῦ ἐπήρκει ἡ ἀπόφασις. ἡ δὲ πυσματικὴ τοιαύτη ἐστίν· οἷον Θεανὼ[14] ἡ Πυθαγορικὴ φιλόσοφος ἐρωτηθεῖσα ὑπό τινος, ποσταία[15] γυνὴ ἀπ' ἀνδρὸς καθαρὰ εἰς τὸ θεσμοφορεῖον κάτεισιν, εἶπεν, ἀπὸ μὲν τοῦ ἰδίου παραχρῆμα, ἀπὸ δὲ τοῦ ἀλλοτρίου οὐδέποτε· αἱ δὲ κατ' ἐρώτησιν αἰτιώδεις[16] εἰσὶν, ὅσαι χωρὶς τῆς πρὸς τὴν ἐρώτησιν ἀποκρίσεως, καὶ αἰτίαν τινὰ ἔχουσιν, ἢ συμβουλὴν, ἤ τι τοιοῦτον, οἷον, Σωκράτης ἐρωτηθεὶς, εἰ εὐδαίμων αὐτῷ δοκεῖ ὁ Περσῶν βασιλεύς; οὐκ ἔχω λέγειν, εἶπε, μηδὲ γὰρ εἰδέναι,[17] πῶς

---

dum sit." Ad Thaletem refert Clem. Alex. Strom. V. p. 704. Pott. πυθομένου δὲ ἑτέρου, εἰ λανθάνει τὸ θεῖον πράσσων τι ἄνθρωπος; καὶ πῶς, εἶπεν, ὅς γε οὐδὲ διανοούμενος; ubi Potter nostri loci non oblitus est. 13 Camer. Heins. Scheff. ἐστί. 14 De hac agemus in nostro de Claris Pythagoricis, si nobis vitam valetudinemque Deus dederit. Scheff. 15 Med. et edd. ποία. Videtur hoc corruptum, nam quod in responsione sequitur παραχρῆμα, item οὐδέποτε, ostendit, quaesitum fuisse de tempore, non vero de modo. Et certe quaerebatur olim, quamdiu a coitu immunda esset femina. Itaque praefero, quod habet Stobaeus serm. 72. in eadem historia: ποσταία γυνή. Scheff. Exstat haec lectio in excerptis codicis Darmstadini, quorum specimen in prolegomenis ad Theonem dedimus, et apud Clem. Al. Strom. IV. 19. p. 619. 4. et alios, quos laudat Potter ad l. Paullo post Med. et edd. ὑπ' ἀνδρὸς, scripsi ἀπ', ut est in iisdem excerptis Darmst. 16 Ed. Rom. αἰτιώσεις. marg. Vict. δεις. 17 Hoc εἰδέναι non respondet praecedenti εἶπε. Itaque vel deest aliquid, vel scripsit οὐδὲ γὰρ εἶδον. Scheff. Transit ab oratione recta ad obliquam. Plut. de educ. c. 8. σύμφωνος δὲ καὶ συνῳδὸς καὶ ἡ Σωκράτους ἀπόκρισις ταύτῃ φαίνεται· καὶ γὰρ οὗτος, ἐρωτήσαντος αὐτὸν (μοι δοκεῖ) Γοργίου, ἣν ἔχοι περὶ τοῦ μεγάλου βασιλέως ὑπόληψιν, καὶ εἰ νομίζοι τοῦτον εὐδαίμονα εἶναι, οὐκ οἶδα (ἔφησε) πῶς ἀρετῆς καὶ

Digitized by Google

ἔχει παιδείας· ἀποκριτικαὶ δέ εἰσιν, αἱ μήτε κατ' ἐρώτησιν, μήτε κατὰ πύσμα· λόγον δέ τινα ἔχουσαι, πρὸς ὃν ἐστιν ἡ ἀπόκρισις· οἷον, Πλάτων ποτὲ Διογένους ἀριστῶντος ἐν ἀγορᾷ καὶ καλοῦντος αὐτὸν ἐπὶ τὸ [18] ἄριστον, ὦ Διόγενες, εἶπεν, ὡς χαρίεν ἂν ἦν σου τὸ ἄπλαστον, εἰ μὴ πλαστὸν ἦν· οὔτε γὰρ Διογένης περί τινος ἠρώτα τὸν Πλάτωνα, οὔτε ὁ Πλάτων πυνθάνεται αὐτοῦ, ἀλλ' ἁπλῶς πρὸς τὸ ἄριστον καλεῖ αὐτὸν, ὅπερ ἐστὶ τῶν οὐδετέρων· ἔστι δὲ παρὰ ταῦτα καὶ ἄλλο εἶδος, ἐμπίπτον εἰς τὰς λογικὰς, καλούμενον διπλοῦν· διπλῆ δέ ἐστι χρεία ἡ δύο προσώπων ἀποφάσεις ἔχουσα, ὧν καὶ ἡ ἑτέρα μεθ' ἑνὸς προσώπου χρείαν ποιεῖ· οἷον, Ἀλέξανδρος ὁ τῶν Μακεδόνων βασιλεὺς, ἐπιστὰς Διογένει κοιμωμένῳ, εἶπεν,

Οὐ χρὴ [19] παννύχιον εὕδειν βουληφόρον ἄνδρα,

καὶ ὁ Διογένης ἀπεκρίνατο,

Ὦι λαοί τ' ἐπιτετράφαται καὶ τόσσα [20] μέμηλεν.

ἦν γὰρ καὶ οὕτω χρεία μὴ προστιθεμένης τῆς ἀποκρίσεως. Πρακτικαὶ δέ εἰσιν αἱ χωρὶς λόγου ἐμφαίνουσαί τινα νοῦν· τῶν δὲ πρακτικῶν αἱ μέν εἰσιν ἐνεργητικαὶ, αἱ δὲ παθητικαί· ἐνεργητικαὶ μὲν, ὅσαι δηλοῦσί τινα ἐνέργειαν· οἷον, Διογένης ὁ Κυνικὸς φιλόσοφος, ἰδὼν ὀψοφάγον [21] παῖδα, τὸν παιδαγωγὸν τῇ βακτηρίᾳ ἔπαισε· παθητικαὶ δέ, αἱ πάθος τι σημαίνουσαι· οἷον, Δίδυμος [22] ὁ αὐλητὴς ἁλοὺς ἐπὶ μοιχείᾳ, ἐκ τοῦ ὀνόματος

παιδείας ἔχει, ὡς τῆς εὐδαιμονίας ἐν τούτοις, οὐκ ἐν τοῖς τυχηροῖς ἀγαθοῖς κειμένης. ubi Wyttenb. veterum locos collegit. 18 Med. marg. Vict. τόν. 19 Uterque versus est Homeri ex Iliad. B. ubi somnus sic affatur Agamemnonem. Scheff. 20 Med. Rom. τόσα. corr. marg. Vict. 21 Habet tractationem chriae hujus Libanius, sed adduntur apud ipsum verba quaedam Diogenis, et puer non ὀψοφάγος, verum ἄτακτος vocatur. Scheff. 22 Habes simile quid apud Laërtium in vita Dioge-

Digitized by Google

ἐκρεμάσθη· μικταὶ δέ εἰσιν, ὅσαι τοῦ μὲν λογικοῦ καὶ τοῦ πρακτικοῦ κοινωνοῦσιν, ἐν δὲ τῷ πρακτικῷ τὸ κῦ-
29 ρος ἔχουσιν· οἷον, Πυθαγόρας [23] ὁ φιλόσοφος, ἐρωτηθεὶς, πόσος ἐστὶν ὁ τῶν ἀνθρώπων βίος; ἀναβὰς ἐπὶ
5 τὸ δωμάτιον, παρέκυψεν ὀλίγον, δηλῶν διὰ τοῦτο τὴν βραχύτητα. καὶ ἔτι Λάκων, [24] ἐρομένου τινὸς αὐτὸν, ποῦ τοὺς ὅρους τῆς γῆς ἔχουσι [25] Λακεδαιμόνιοι; ἔδειξε τὸ δόρυ. Τὰ μὲν οὖν εἴδη τῶν χρειῶν ταῦτά ἐστι· προφέρονται δὲ αἱ μὲν γνωμολογικῶς, αἱ δὲ ἀποδεικτικῶς,
10 αἱ δὲ κατὰ χαριεντισμὸν, αἱ δὲ κατὰ συλλογισμὸν, αἱ δὲ κατὰ ἐνθύμημα, αἱ δὲ κατὰ παράδειγμα, αἱ δὲ κατ' εὐχὴν, αἱ δὲ συμβολικῶς, αἱ δὲ τροπικῶς, αἱ δὲ κατὰ ἀμφιβολίαν, αἱ δὲ κατὰ ἀντίληψιν, αἱ δὲ συνεζευγμένως, ἐξ οἵων δήποτε τῶν προειρημένων τρόπων συγκεί-
15 μεναι· γνωμολογικῶς [26] μὲν, οἷον, Βίων [27] ὁ σοφιστὴς, τὴν

---

nis. Sed ibi Diogenes tantum optat, ut ex nomine suo suspendatur, non et factum commemorat. Didymus inquam, sic enim est vocandus, et in Graeco pro *διδύμων* scribendum *δίδυμος*, quod interpres non attendit [Diog. Laërt. VI. 68. *Διδύμων*]. Didymus hic fuit tibicen, de quo nescio, an alii praeterea prodiderint. Scheff.

23 Hoc quoque soli nostro arbitror deberi. Scheff. Aphth. sub eodem capite: *Πυθαγόρας ἐρωτηθεὶς πόσος ἂν εἴη τῶν ἀνθρώπων ὁ βίος βραχύ τι φανεὶς ἀπεκρύψατο, μέτρον τοῦ βίου τὴν θέαν ποιούμενος.* 24 Inter apophthegmata Agesilai memorat Plutarchus, qui videri debet. Nam addit is, simul dixisse, quatenus haec pervenit. Scheff. 25 Med. ἔχουσι et paullo post *ταῦτά ἐστι*, edd. ἔχουσιν et *ἐστιν*. 26 Med. *γνωμιλογικῶς*. *μι* per corr. in *μο* mutato. 27 Habes eadem apud Stobaeum serm. 10. *σοφιστὴς* hic, qui docet alios sapientiam. Sic enim tum vocabantur tales. Vide Laërtium in Bione, si modo ille fuit, ad quem sententia haec pertinet. Ego namque rectius vetustiori, qui fuit aequalis Pherecydi, puto assignari. Scheff. Diogeni tribuit Diog. Laërt. segm. 50. De voce *σοφιστὴς* cfr. Plut. de amic. mult. p. 96. A. *τοῦ σοφιστοῦ Χεί-*

Digitized by Google

φιλαργυρίαν μετρόπολιν ἔλεγε πάσης κακίας εἶναι· ἀποδεικτικῶς [28] δὲ, οἷον, Ἰσοκράτης ὁ ῥήτωρ παρῄνει τοῖς γνωρίμοις, προτιμᾶν τῶν γονέων τοὺς διδασκάλους, ὅτι οἱ μὲν τοῦ ζῆν μόνον, οἱ δὲ διδάσκαλοι καὶ τοῦ καλῶς ζῆν αἴτιοι γεγόνασιν· τὴν γὰρ [29] ἀπόφασιν αὐτοῦ Ἰσοκράτης μετὰ ἀποδείξεως ἐξενήνοχε. κατὰ χαριεντισμὸν δὲ, οἷον, Ὀλυμπιὰς πυθομένη τὸν υἱὸν [30] Ἀλέξανδρον Διὸς αὐτὸν [31] ἀποφαίνειν, οὐ παύσεται οὗτος, [32] ἔφη, δια-

---

λωνος, ubi Wyttenb. ex uno codice posuit σοφοῦ. Clem. Strom. I. 3. p. 329. ὅθεν Ἕλληνες καὶ αὐτοὶ τοὺς περὶ ὁτιοῦν πολυπράγμονας σοφοὺς ἅμα καὶ σοφιστὰς παρωνύμως κεκλήκασι. ubi Potter Aristid. ὑπὲρ τῶν τεττ. p. 311. ἀρχὴν δὲ οὐδ' εἰδέναι μοι δοκοῦσιν οὐδ' αὐτὸ τοὔνομα τῆς φιλοσοφίας ὅπως εἶχε τοῖς Ἕλλησι, καὶ ὅτι ἠδύνατο οὐδ' ὅλως τῶν περὶ ταῦτ' οὐδέν. οὐχ Ἡρόδοτος Σόλωνα σοφιστὴν κέκληκεν, οὐ Πυθαγόραν πάλιν, οὐκ Ἀνδροτίων τοὺς ἑπτὰ σοφιστὰς προσείρηκε, λέγων δὴ τοὺς σοφοὺς, καὶ πάλιν αὖ Σωκράτη σοφιστὴν τοῦτον τὸν πάνυ; αὖθις δ' Ἰσοκράτης σοφιστὰς μὲν τοὺς περὶ τὴν Ἔριν, καὶ τοὺς ὡς ἂν αὐτοὶ φαῖεν διαλεκτικοὺς — — οὐ Λυσίας Πλάτωνα σοφιστὴν καλεῖ καὶ πάλιν Αἰσχύνην; — — ἔτι δ' εἰ καὶ Πλάτωνος ἐξῆν κατηγοροῦντα σοφιστὴν προσειπεῖν, τί τούτους γ' ἄν εἴποι τις; ἀλλ' οἶμαι καὶ σοφιστὴς ἐπιεικῶς κοινὸν ἦν οὔνομα καὶ ἡ φιλοσοφία τοῦτ' ἠδύνατο, φιλοκαλία τις εἶναι καὶ διατριβὴ περὶ λόγους. 28 Liquet ex hoc exemplo, tum chriam sic compositam putandam, cum adjectam habet probationem, sive caussam, quae ἀπόδειξις, vulgari sensu, ut fortassis clarius Interpres probativum reddidisset. Scheff. Idem de Alexandro refert Arsen. in Apophth. ὃ αὐτὸς ἐρωτηθεὶς, γίνα μᾶλλον ποθεῖ, τὸν πατέρα Φίλιππον ἢ Ἀριστοτέλην τὸν διδάσκαλον, τὸν διδάσκαλον ἔφη· ὁ μὲν γὰρ τοῦ γενέσθαι, ὁ δὲ τοῦ καλῶς γενέσθαι αἴτιος. 29 γὰρ Heins. om. est in Med. Rom. Camer. Laërtius hoc tribuit Aristoteli. Aliter noster etiam in sequentibus, ubi semper Isocratem autorem facit. Scheff. 30 υἱὸν Edd. om. recepi ex Med. 31 Camer. αὐτόν. 32 Sunt ipsa verba Plutarchi in vita Alexandri. Gellius in litteris ad filium hoc scripsisse ait lib. XII. cap. 4.

Digitized by Google

βάλλων με πρὸς τὴν Ἥραν; συλλογιστικῶς δὲ, οἷον, Διογένης ὁ φιλόσοφος, ἰδὼν μειράκιον [33] περισσῶς καλλωπιζόμενον, εἶπεν· εἰ μὲν πρὸς ἄνδρας, ἀτυχεῖς, εἰ δὲ πρὸς γυναῖκας, ἀδικεῖς. ἐνθυμηματικῶς δὲ, οἷον, Σωκράτης ὁ φιλόσοφος, Ἀπολλοδώρου [34] τινὸς γνωρίμου λέγοντος αὐτῷ, ἀδίκως σου θάνατον κατέγνωσαν Ἀθηναῖοι, γελάσας ἔφη, σὺ δὲ ἐβούλου δικαίως; προσενθυμεῖσθαι [35] γὰρ ὑμᾶς δεῖ, ὅτι ἄρα βέλτιον ἀδίκως ἢ δικαίως κατεγνῶσθαι, ὅπερ ἐν τῇ χρείᾳ δοκεῖ παραλελεῖφθαι δυνάμει [36] δηλούμενον. κατὰ παράδειγμα δὲ, οἷον, Ἀλέξανδρος [37] ὁ τῶν Μακεδόνων βασιλεὺς, παρακαλούμενος ὑπὸ τῶν φίλων συναγαγεῖν χρήματα, εἶπεν, ἀλλὰ ταῦτα οὐκ ὤνησεν, οὐδὲ Κροῖσον· εὐκτικῶς δὲ, οἷον, Δάμων [38] ὁ παιδοτρίβης χωλοὺς ἔχων τοὺς πόδας κλαπέντων αὐτοῦ τῶν ὑποδημάτων, ἔφη, εἴθε ἐναρμόσειε τῷ κλέπτῃ· συμβολικῶς δὲ, οἷον, Ἀλέξανδρος [39] ὁ τῶν Μακεδόνων βασιλεὺς, ἐρωτηθεὶς ὑπό τινος, ποῦ ἔχει τοὺς θησαυροὺς; ἐν τούτοις, ἔφη, δείξας τοὺς φίλους. τροπικῶς δὲ, οἷον· Πλάτων ὁ φιλόσοφος, [40] τοὺς τῆς ἀρετῆς κλῶνας ἔφη ἱδρῶτι καὶ πόνοις φύεσθαι· κατὰ ἀμφιβολίαν

Scheff. 33 Habes eadem apud Laërtium. Scheff. 34 Laërtius hoc ab uxore ejus scribit dictum. Scheff. 35 Med. Camer. Heins. προσενθυμεῖται, ὅτι etc. ed. Rom. προσενθυμεῖσθαι. Vict. ad marg. addit: γὰρ ἡμᾶς δεῖ. 36 δυνάμει edd. om. recepi ex Med. et marg. Vict. 37 De pecuniarum contemptu Alexandri habent alii multi, sed hoc dictum necdum observavi annotatum. Scheff. Ne hoc quidem facile reperies alibi. Scheff. vide Plutarchum de aud. poët. p. 18. D. αἱ Λημονίδου τοῦ χωλοῦ κρηπῖδες, ἃς ἀπολέσας εὔχετο τοῖς τοῦ κλέψαντος ἐναρμόσαι ποσίν. Dorioni tribuit Aristodemus Athenaei VIII. p. 338. A. 39 Chriam hanc tractavit Libanius, in quem vide, quae notavit Morellus. Scheff. 40 Hoc Platonis dictum puto a solo nostro conservatum. Scheff.

Digitized by Google

λίαν δὲ, οἷον, Ἰσοκράτης ὁ ῥήτωρ, συνισταμένου αὐτῷ παιδίου, καὶ ἐρωτῶντος τοῦ συνιστάντος, τίνος αὐτῷ δεῖ, εἶπε, πινακιδίου καὶ νοῦ, καὶ γραφιδίου [41] καὶ νοῦ· ἀμφιβαλλόμενον γὰρ, πότερον νοῦ καὶ πινακιδίου λέγει, ἢ, πινακίδος καινῆς, καὶ καινοῦ γραφιδίου· κατὰ μετάληψιν δέ ἐστιν, ὅταν τὸ λεγόμενον, καὶ τὸ ἐρωτώμενον, ἐπ' ἄλλο τις ἀποκρινόμενος μεταλαμβάνῃ, οἷον· Πύῤῥος ὁ τῶν Ἠπειρωτῶν [42] βασιλεὺς, ζητούντων τινῶν παρὰ πότον, πότερος κρείττων αὐλητὴς Ἀντιγεννίδας, [43] ἢ Σάτυρος, ἐμοὶ μὲν, εἶπε, στρατηγὸς Πολυσπέρχων. ὁ δὲ συνεζευγμένος τρόπος οὐκ ἄδηλός ἐστιν, ὅτι πολλαχῶς γίνεται· ἢ γὰρ γνωμικῷ χαριεντισμῷ συμπλακήσεται, ἢ παραδείγματι συμβολικῷ, ἢ ἀμφιβολίᾳ καὶ μεταλήψει ἢ ἁπλῶς καθ' ὅσους καὶ ἄλλους τρόπους δύναται συγγενέσθαι συζυγία, ἤτοι δυοῖν, ἢ καὶ πλειόνων τρόπων εἰς μίαν χρείαν παραλαμβανομένων· οἷον, Διογένης ὁ Κυνικὸς φιλόσοφος, ἰδὼν μειράκιον ἐκ μοιχοῦ [44] λίθους

41 Hoc Antistheni a Laërtio tribuitur Scheff. Med. γραφειδίου bis. 42 Ed. Rom. πειρωτῶν corr. marg. Vict. 43 Edd. Ἀντιγενίδας. Darmstad. Ἀντιγενίδης. Med. Ἀντιγεννίδας. Plutarchus, qui hoc ipsum memorat in libello Apophthegmatum, [et in vita Pyrrhi c. 8.] tibicines nominat alios, nempe Πύθωνα et Καφεῖσιον. Antigenidam tamen, tanquam optimum tibicinem, laudat ipse alibi in illo libello, ut et in vita Alexandri, imo certum genus modorum ab ipso scribit excogitatum, quod Antigenidum sit dictum, in libello de Musica. Satyrum vero tibicinem memorat Aelianus noster l. III. Var. Hist. c. 33. ubi Aristoni philosopho facit aequalem. Scheff. vide Wyttenb. ad Plut. Apophth. p. 184. C. 44 Edd. τοίχου. „Habet Laërtius, ubi υἱὸν ἑταίρας ait fuisse, quodque noster scribit, εἰς ἀγοράν, ipse reddit εἰς ὄχλον. Videndum autem an ἐκ τοίχου rectum sit apud nostrum: quid enim hic τοῖχος? an legendum ἐκ στέγου"? Scheff. bene Med. Darmst. et marg. Vict. μοιχοῦ. offendit scribas seu editores constructio

Digitized by Google

βάλλον εἰς ἀγορὰν, παῦσαι, ἔφη, παιδίον, μὴ ἀγνοοῦν παίσῃς, τὸν πατέρα. ἔχει γὰρ ἅμα καὶ συμβολικῶς καὶ χαριέντως ἡ ἀπόφασις. Γυμνάζονται δὲ κατὰ τὰς χρείας, τῇ ἀπαγγελίᾳ, τῇ κλίσει, τῇ ἐπιφωνήσει, τῇ ἀντιλογίᾳ. ἐπεκτείνομέν τε, καὶ συστέλλομεν τὴν χρείαν· πρὸς δὲ τούτοις ἀνασκευάζομεν, καὶ κατασκευάζομεν. καὶ ἡ μὲν ἀπαγγελία φανερά ἐστι. ῥηθεῖσαν γὰρ χρείαν πειρώμεθα κατὰ τὸ δυνατὸν αὐτοῖς ὀνόμασιν, ἢ καὶ ἑτέροις σαφέστατα ἑρμηνεῦσαι. ἡ δὲ κλίσις ἐστὶ ποικίλη· τὰ γὰρ ἐν τῇ χρείᾳ πρόσωπα, εἰς τοὺς τρεῖς ἀριθμοὺς ἐναλλάττομεν· καὶ τοῦτο οὐχ ἁπλῶς, ἀλλ' οἷον ἑνὸς πρὸς ἕνα, καὶ δύο πρὸς δύο, καὶ πλείους πρὸς πλείους. καὶ πάλιν, δυοῖν πρὸς ἕνα, καὶ πρὸς δύο, καὶ πρὸς πλείους, ἔτι δὲ [45] πλεῖον πρὸς ἕνα, καὶ πρὸς δύο, καὶ πρὸς πλείους; Προκειμένης γὰρ χρείας, ὅτι Ἰσοκράτης ὁ ῥήτωρ τοὺς εὐφυέας [46] τῶν Θεῶν παῖδας ἔλεγεν εἶναι, οὕτω κλίνομεν· ἑνὸς μὲν πρὸς ἕνα· οἷον, Ἰσοκράτης ὁ ῥήτωρ τὸν [47] εὐφυέα τῶν μαθητῶν θεοῦ παῖδα ἔλεγεν εἶναι· δυοῖν δὲ πρὸς δύο· Ἰσοκράτεε τὼ ῥήτορε τὼ εὐφυέε τῶν μαθητῶν θεῶν παῖδε ἐλεγέτην εἶναι· πλειόνων δὲ πρὸς πλείους· Ἰσοκράτεις οἱ ῥήτορες, τοὺς εὐφυεῖς τῶν μαθητῶν, θεῶν παῖδας ἔλεγον εἶναι. Φανερὸν δὲ ἐκ τούτων, πῶς καὶ τοὺς ἄλλους τρόπους κλινοῦμεν· μεταλαμβάνονται γὰρ καὶ εἰς τας πέντε πτώσεις [48]· ἀλλ' ἐπεὶ τῶν χρειῶν αἱ μέν εἰσιν λογικαὶ, αἱ δὲ πρακτικαὶ, αἱ δὲ ἐξ ἀμφοῖν τούτοιν μικταὶ, καὶ τού-

---

μειράκιον ἐκ μοιχοῦ, sc. γενόμενον 45 ἔτι δὲ πλεῖον — πρὸς πλείους edd. et Med. om., recepi ex marg. Vict. 46 Med. εὐφυεῖς. Camer. τοὺς εὐφυέας τῶν μαθητῶν θεῶν. 47 marg. Vict. τοὺς εὐφυεῖς. 48 Quot scilicet habet declinatio Graecorum, ut est notum; observandum tamen, vel ad autoritatem. quia alii in alia sunt sententia. Vide Voss. I. de Anal. c. 45.' Vult autem has inflexiones fieri per casus omnes. Scheff.

Digitized by Google

των αὖ ἕτερά ἐστιν εἴδη, καθ' ἕκαστον αὐτῶν πειρασόμεθα διδάσκειν τὴν κλίσιν ἐπὶ παραδείγματος· ἡ μὲν οὖν ὀρθὴ οὐδεμίαν ἔχει δυσκολίαν· κατὰ γὰρ τὴν [49] αὐτὴν ἑκάστη [50] τῶν χρειῶν εἴωθε προφέρεσθαι. τὴν δὲ γενικὴν πτῶσιν, οὕτω κλινοῦμεν· ἐὰν μὲν λογικὴ ᾖ ἡ [51] χρεία, προσθήσομεν αὐτῇ, τὸ ῥηθὲν μνήμης ἔτυχεν, ἢ λόγος ἀπομνημονεύεται εἰπόντος. τὸ μὲν οὖν πρότερον μετὰ τὴν ἀπαγγελίαν ὅλης τῆς χρείας εὐπρεπές ἐστιν ἐπενεγκεῖν· οἷον, Ἰσοκράτους τοῦ ῥήτορος, τοὺς εὐφυεῖς τῶν μαθητῶν θεῶν παῖδας λέγοντος εἶναι, τὸ ῥηθὲν μνήμης ἔτυχε· τὸ δὲ δεύτερον, μεσούσης αὐτῆς, καὶ τῆς ἀποφάσεως ἀρχομένης· οἷον, Πιττακοῦ τοῦ [52] Μιτυληναίου ἐρωτηθέντος εἰ λανθάνει τις τοὺς θεοὺς φαῦλόν τι ποιῶν, λόγος ἀπομνημονεύεται, εἰπόντος, οὐδὲ διανοούμενος. ἁρμόττει δὲ μᾶλλον, τὸ μὲν, λόγος ἀπομνημονεύεται, πάσαις ταῖς λογικαῖς χρείαις, πλὴν τῆς καθ' ἑκούσιον ἀπόφασιν· ταύτῃ γὰρ τὸ ῥηθὲν μνήμης ἔτυχεν· ἐὰν δὲ πρακτικὴ ᾖ χρεία, εἰ μὲν παθητικὴ εἴη, προσθετέον, τὸ συμβὰν μνήμης ἔτυχεν. εἰ δὲ ἐνεργετικὴ, τὸ πραχθὲν μνήμης ἔτυχεν· ὁμοίως δὲ καὶ ἐπὶ τοῦ μικτοῦ. ἐπὶ τέλει μέντοι τῶν χρειῶν καὶ τούτων ἕκαστον προσθετέον· οἷον, Διδύμου τοῦ αὐλητοῦ ἁλόντος ἐπὶ μοιχείᾳ, καὶ ἐκ τοῦ ὀνόματος [53] κρεμασθέντος, τὸ συμβὰν μνήμης ἔτυχε· καὶ Διογένους τοῦ Κυνικοῦ φιλοσόφου ἰδόντος ὀψοφάγον παῖδα, καὶ τὸν παιδαγωγὸν τῇ βακτηρίᾳ παίσαντος, τὸ πραχθὲν μνήμης ἔτυχε, τῇ δὲ δοτικῇ, ἐπὶ πάσης χρείας πλὴν τῆς παθητικῆς προσθήσομεν τὸ ἔδοξεν, ἢ τὸ ἐφάνη, ἢ τὸ ἐπῆλθεν, ἢ καὶ τὸ [54] παρέστη, ἤ τι τῶν τοιούτων· οἷον, Διογένει τῷ Κυνικῷ φιλοσόφῳ ἰδόντι μειράκιον πλούσιον ἀπαίδευτον, ἔδοξεν εἰπεῖν,

49 τὴν Med. om. 50 Ed. Rom. ἑκάστην corr. marg. Vict.
51 ἡ Med. om. 52 τοῦ Heins. om. est in Med. Rom. Camer.
53 Darmstad. addit: ἤτοι ἐκ τῶν διδύμων. 54 τὸ edd. om.

Digitized by Google

οὗτός ἐστι ῥύπος περιηργυρωμένος. ἐπὶ μὲν τῆς παθητικῆς προσθήσομεν τὸ, συνέβη· οἷον Διδύμῳ τῷ αὐλητῇ, ἀλόντι ἐπὶ μοιχείᾳ, συνέβη ἐκ τοῦ ὀνόματος κρεμασθῆναι. ἐπὶ δὲ τῆς αἰτιατικῆς προσθήσομεν καθόλου ἐπὶ πάσης χρείας τὸ φασὶ, τὸ λέγεται· οἷον, Διογένην τὸν Κυνικὸν φιλόσοφον, ἰδόντα μειράκιον πλούσιον ἀπαίδευτον, φασὶν εἰπεῖν, ἢ λέγεται, οὗτός ἐστι ῥύπος περιηργυρωμένος. ἡ δὲ κλητικὴ σαφὴς ἐστι· ποιησόμεθα γὰρ τὸν λόγον πρὸς παρὸν ἡμῖν πρόσωπον, ἐφ' ὃ ἡ χρεία
32 ἀναφέρεται. οἷον, Διόγενες Κυνικὲ φιλόσοφε, ἰδὼν μειράκιον πλούσιον ἀπαίδευτον, εἶπας, οὗτός ἐστι ῥύπος περιηργυρωμένος. ἐπιφωνεῖν δέ ἐστιν ἀποδεχομένους, οἰκείως [55] καὶ συντόμως τὸ εἰρημένον, διὰ τῆς χρείας, ἢ ὡς ἀληθές ἐστιν, ἢ ὡς καλὸν, ἢ ὡς συμφέρον, ἢ ὡς καὶ ἄλλοις τὸ αὐτὸ τοῦτο ἔδοξεν ἀνδράσι δεδοκιμασμένοις· οἷον, Εὐριπίδης [56] ὁ ποιητὴς τὸν νοῦν ἡμῶν ἑκάστου ἔφησεν εἶναι θεόν· ἐπιφωνήσομεν δὲ ἐκ μὲν τοῦ ἀληθοῦς οὕτως· θεὸς γὰρ ὄντως ἑκάστῳ ὁ νοῦς, ἐφ' ἃ μὲν συμφέρει προτρέπων ἡμᾶς, ἀπείργων δὲ τῶν ζημιούντων. ἐκ τοῦ καλοῦ, οὕτω· καλὸν γὰρ ἕκαστον, μὴ ἐν χρυσῷ καὶ ἀργύρῳ νομίζειν εἶναι τὸν θεὸν, ἀλλ' ἐν ἑαυτῷ· ἐκ δὲ τοῦ συμφέροντος, οὕτως· ἵνα μὴ [57] διὰ μακροῖ κεῖσθαι τὸ τιμωροῦν οἰόμενοι, πολλὴν τοῦ ἀδικεῖν ἔχοιμεν εὐχέρειαν. ἐκ δὲ τῆς τῶν εὐδοκίμων μαρτυρίας, ὅταν ἢ σοφὸν, ἢ νομοθέτην, ἢ ποιητὴν, ἢ ἄλλον τινα τῶν διωνομασμένων, λέγωμεν ὁμογνωμονεῖν τῷ ῥηθέντι. οἷον, ἐπὶ τῆς προκειμένης χρείας φήσομεν·

recepi ex Med. 55 Heins. ὡς οἰκείως κ. σ. εἰρημένον τὸν διὰ τῆς χρ. revocavi lectionem Med. Rom. Camer. 56 Ubi haheat, adhuc requiro. Tamen postea et alii hoc modo, Stoici praecipue. Senec. ep. 31. de animo; quid aliud voces hunc, quam Deum, in humano corpore hospitantem. Scheff. 57 Vix mihi persuaderi patior, non praecessisse quaedam hoc in loco, ut, συμφέρον γὰρ νομίζειν εἶναι τὸν θεὸν ἐν ἡμῶν [sic] ἵνα

Digitized by Google

Τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων,
Οἷον ἐπ' ἦμαρ ἄγῃσι πατὴρ ἀνδρῶν τε θεῶν τε.

ἀντιλέγομεν δὲ ταῖς χρείαις ἐκ τῶν ἐναντίων, ὡς πρὸς τὸν Ἰσοκράτην εἰπόντα, ὅτι τοὺς[58] *διδασκάλους προτιμητέον τῶν πατέρων· οἱ μὲν γὰρ τὸ ζῆν ἡμῖν, οἱ δὲ διδάσκαλοι τὸ καλῶς ζῆν παρέσχοντο. φαμὲν γὰρ ἀντιλέγοντες, ὅτι οὐκ ἐνῆν καλῶς ζῆν, εἰ μὴ τὸ ζῆν οἱ πατέρες παρέσχοντο. Εἰδέναι δὲ δεῖ, ὅτι οὐ δυνατὸν ἀντιλέγειν πάσῃ χρείᾳ, πολλῶν καλῶς καὶ ἀμέμπτως εἰρημένων· ὥσπερ οὐδὲ πάσας ἐστὶν ἐπαινεῖν, διὰ τό τινων εὐθὺς προσπίπτειν τὴν ἀτοπίαν. ἐπεκτείνομεν δὲ τὴν χρείαν, ἐπειδὰν τὰς ἐν αὐτῇ ἐρωτήσεις τε καὶ ἀποκρίσεις, καὶ εἰ πρᾶξίς τις ἢ πάθος ἐνυπάρχῃ, μηκύνοιμεν. συστέλλομεν δὲ τὸ ἐναντίον ποιοῦντες· οἷον, σύντομος μὲν χρεία· Ἐπαμεινώνδας*[59]*, ἄτεκνος ἀποθνήσκων, ἔλεγε τοῖς φίλοις, δύο θυγατέρας ἀπέλιπον, τήν τε περὶ Λεύκτραν νίκην, καὶ τὴν περὶ Μαντίνειαν· ἐκτείνομεν δὲ οὕτως· Ἐπαμεινώνδας, ὁ τῶν Θηβαίων*[60] *στρατηγὸς, ἦν μὲν ἄρα καὶ παρὰ τὴν εἰρήνην ἀνὴρ ἀγαθὸς, συστάντος δὲ τῇ πατρίδι πολέμου πρὸς Λακεδαιμονίους, πολλὰ καὶ λαμπρὰ ἔργα τῆς μεγαλοψυχίας ἐπεδείξατο· βοιωταρχῶν μὲν περὶ Λεῦκτρα*[61] *ἐνίκα τοὺς πολεμίους, στρατευόμενος δὲ ὑπὲρ τῆς πατρίδος καὶ ἀγωνιζόμενος ἀπέθανεν ἐν Μαντινείᾳ. ἐπεὶ δὲ τρωθεὶς ἐτελεύτα τὸν βίον, ὀλοφυρομένων τῶν φίλων τά τε ἄλλα, καὶ διότι ἄτεκνος ἀποθνήσκοι, μειδιάσας, παύσασθε, ἔφη*[62]*, ὦ φίλοι, κλαίοντες, ἐγὼ γὰρ ὑμῖν ἀθανά-*

μή. Scheff. 58 Habet et hoc in superioribus noster. Similis sententia fuit Alexandri, ut ex Plutarcho scimus. Scheff. 59 Med. constanter: Ἐπαμινώνδας. 60. Med. ed Rom. Ἀθηναίων. Cam. marg. Vict. Heins. Θηβαίων. „Habes apud Cornel. Nepot. c. 10. vitae ejus, sed ille quidem unius Leuctricae facit mentionem. At Diodorus utriusque, sicut noster. vide librum ejus XV." Scheff. 61 Med. Λεύκτραν. 62

Digitized by Google

τους δύο καταλέλοιπα θυγατέρας, δύο νίκας τῆς πατρίδος κατὰ Λακεδαιμονίων, τὴν μὲν ἐν Λεύκτροις, τὴν πρεσβυτέραν, νεωτέραν δὲ τὴν ἄρτι μοι γενομένην ἐν Μαντινείᾳ. ἀνασκευαστέον δὲ ἔτι τὰς χρείας, ἐκ τοῦ ἀσαφοῦς, ἐκ τοῦ πλεονάζοντος, ἐκ τοῦ ἐλλείποντος, ἐκ τοῦ ἀδυνάτου, ἐκ τοῦ ἀπιθάνου, ἐκ τοῦ ψευδοῦς, ἐκ τοῦ ἀσυμφόρου, ἐκ τοῦ ἀχρήστου, ἐκ τοῦ αἰσχροῦ. ἐκ μὲν τοῦ ἀσαφοῦς, ὡς εἰ λέγοιμεν[63] τὸν Ἰσοκράτην μὴ σαφῶς διωρικέναι, ὧν δεῖται πρὸς ῥητορείαν τὸ συνιστάμενον αὐτῷ παιδίον· ὁμοίως δὲ ἔχει καὶ ἡ Διδύμου τοῦ αὐλητοῦ· οὐ γὰρ ἅπασι[64] σαφές ἐστι τὸ ἐκ τοῦ ὀνόματος ἐκρεμάσθη· ἐκ δὲ τοῦ πλεονάζοντος, ἐπειδὰν λέγηταί τι, οὗ ἀφαιρεθέντος οὐδὲν ἧττον διαμένει ἡ χρεία· οἷον, Σωκράτης ὁ φιλόσοφος ἐρωτηθεὶς, εἰ εὐδαίμων αὐτῷ δοκεῖ ὁ Περσῶν βασιλεὺς, οὐκ ἔχω λέγειν, ἔφη, μὴ γὰρ εἰδέναι πῶς ἔχει παιδείας· ἐπλεόνασε[65] γὰρ, οὐ μόνον πρὸς τὴν ἐρώτησιν ἀποκρινόμενος, ἀλλὰ καὶ τῆς ἀποκρίσεως αἰτίαν εἰπών· οὐκ ἀναμείνας, εἴπερ ἄρα ἐπανερωτήσει, ὅπερ οὐκ ἦν κατὰ Σωκράτην, ἄνδρα διαλεκτικὸν[66] ὄντα· ἐκ δὲ τοῦ ἐλλείποντος, ὅταν δείκνυμεν μὴ καλῶς φάμενον τὸν Δημοσθένην, ὑπόκρισιν[67] εἶναι τὴν ῥητορικήν· πολλῶν γὰρ καὶ

ἔφη Med. et edd. om. inserit marg. Vict. 63 Med. Rom. ὡς ἐλέγομεν. Respicit chriam supra allatam, ubi dixit opus esse πινακίου καὶ νοῦ. Idem facit in sequentibus. Scheff. 64 Med. ἅπασι. edd. ἅπασιν. 65 Ed. Rom. πλεόνασε. marg. Vict. ἐπλ. 66 Hic ἀνὴρ διαλεκτικὸς, qui utitur dialogis, quorum corpus constat ex interrogatione ac responsione, eaque succincta (quod hinc discimus) nec quid continente amplius, quam quod in interrogatione habebatur; quemadmodum plane liquet ex dialogis Socratis apud Platonem. Scheff. 67 Hoc alibi non legitur, quod sciam, et fortassis noster ex consequenti sic proposuit, nam ipse quidem hypocrisin ajebat vindicare sibi partem primam, secundam, tertiam, et ultimam rhetorices. Vide Ciceronem l. III. de Orat. aliosque, quos

Digitized by Google

ἄλλων εἰς αὐτὴν δεόμεθα. ἐκ δὲ τοῦ ἀδυνάτου, ὡς ἂν φῶμεν πρὸς τὸν Ἰσοκράτην, μὴ δυνατὸν ἐκ θεῶν[68] ἀνθρώπους γενέσθαι, μηδ' ἂν εὐφυεῖς ὦσιν· ἐκ δὲ τοῦ ἀπιθάνου, ὅτι μὴ εἰκός ἐστιν, Ἀντισθένην Ἀττικόν γε ὄντα παραγενόμενον[69] Ἀθήνηθεν εἰς Λακεδαίμονα, ἐκ τῆς γυναικωνίτιδος[70] λέγειν εἰς τὴν ἀνδρωνῖτιν ἐπιέναι· ἐκ δὲ τοῦ ψευδοῦς, ὅτι μὴ ἀληθῶς ὁ Βίων[71] ἔλεγε, τὴν φιλαργυρίαν μητρόπολιν εἶναι τῆς κακίας, μᾶλλον γὰρ ἀφροσύνη ἐστίν· ἐκ δὲ τοῦ ἀσυμφόρου, ὅτι βλαβερῶς παραινεῖ Σιμωνίδης[72] παίζειν ἐν τῷ βίῳ, καὶ περὶ μηδὲν ἁπλῶς σπουδάζειν· ἐκ δὲ τοῦ ἀχρήστου, οἷον[73], εἰ φαίνοιτο πρὸς οὐδὲν ὠφέλιμον τὸ ῥηθὲν τῷ βίῳ· ἐκ δὲ τοῦ αἰσχροῦ, ὁπόταν αἰσχρὰν καὶ ἐπονείδιστον ἀποφαίνωμεν τὴν χρείαν· οἷον, ἀνὴρ Συβαρίτης ἰδὼν Λακεδαιμονίους ἐπιπόνως[74] ζῶντας οὐ θαυμάζειν ἔφησεν, ὅτι ἐν τοῖς πολέμοις οὐκ ὀκνοῦσιν[75] ἀποθνήσκειν, ἄμεινον γὰρ εἶναι 34
τὸν θάνατον τοῦ τοιούτου βίου· πάνυ γὰρ μαλακῶς, καὶ

citavit Vossius lib. VI. Institut. Orat. cap. 8. Scheff. Idem latius refert Arsen. in Violeto pag. 181. 68 Respicit, quod dictum supra est, eum appellare solitum ingeniosos discipulos Deorum filios. Interpretatio [Et si fieri non potuisse dicamus, ut aliqui, quod affirmat Isocrates, quamvis ingeniosi fuerint, ex diis facti sint homines] est obscura, meliorque Canerarii, quae sic habet; fieri non posse dicemus filios esse aliquos deorum, quod affirmavit Isocrates, quamvis ingeniosi fuerint. Scheff. 69 Inter *παραγενόμενον* et *Ἀθήνηθεν* lacuna est in Med. [Rom. *εἰς Λακεδαίμ.*]. 70 Haec alii de Antisthene non habent. De Diogene quid legimus apud Laërtium non absimile, sed inverse, cum redisset Athenas, dixisse ait se venire *ἐκ τῆς ἀνδρωνίτιδος εἰς τὴν γυναικονίτην* [sic]. Scheff. 71 Habes idem apud Stobaeum sermone 10., ubi Bion hic vocatur *σοφιστής*. Vide supra p. 29. Scheff. 72 Hoc alibi vix inveneas. Scheff. 73 Med. *ὅσον*. 74 Athenaeus de phiditiis Laconum coenis hoc ait protulisse. Vide ipsum l. IV. c. 6.

Digitized by Google

οὐκ ἀνδρείου τρόπου τὴν ἀπόφασιν ἐποιήσατο. Ἐκ μὲν οὖν τούτων ἀνασκευαστέον· πρὸς ἕκαστον δὲ μέρος τῆς χρείας ἀρξάμενον [76] ἀπὸ τῶν πρώτων ἐπιχειρεῖν δεῖ, ἐξ ὅσων τόπων [77] ἐὰν δυνατὸν ᾖ. μὴ λανθανέτω γὰρ ἡμᾶς ὅτι οὐχ᾽ οἷόν τέ ἐστιν ἐν πάσαις ἐκ πάντων ἐπιχειρεῖν. Τὴν μέντοι τάξιν τῶν ἐπιχειρημάτων ποιησόμεθα, καθὰ καὶ τῶν τόπων ἐκτιθέμεθα· οἱ αὐτοὶ δ᾽ ἂν εἶεν καὶ πρὸς τὴν τῶν γνωμῶν ἀνασκευήν τε καὶ κατασκευήν· τοῖς δὲ ἤδη τελειοτέροις προσήκει τὰς ἀφορμὰς λαμβάνειν καὶ ἐκ τῶν πρὸς τὰς θέσεις ἡμῖν παραθησομένων· χρὴ δὲ τὸ προοίμιον μὴ τοιοῦτον [78] εἶναι, ὥστε ἐφαρμόττειν ἑτέραις χρείαις, ἀλλ᾽ ἴδιον τῆς ὑποκειμένης. Τοῦτο δ᾽ ἂν καλῶς γένοιτο, ἐπί τε χρείας καὶ μύθου, καὶ τῶν ἄλλων ἁπάντων, ὅταν ἐξ ἑνὸς ἢ δύο τῶν ἀνωτάτω μερῶν τὰς ἀφορμὰς τῶν προοιμίων λαμβάνωμεν. Μετὰ δὲ τὸ [79] προοίμιον αὐτήν τε τὴν χρείαν ἐκθετέον· εἶτα ἐξῆς τὰς ἐπιχειρήσεις. χρηστέον δὲ [80] ἐνταῦθα καὶ αὐξήσεσι, καὶ παρεκβάσεσι, καὶ ἤθεσιν, οἷς δυνατόν ἐστιν.

Cap. VI.

Περὶ ἀνασκευῆς, καὶ κατασκευῆς.

Περὶ δὲ ἀνασκευῆς καὶ κατασκευῆς εἴπομεν ὅτι οἱ αὐτοὶ τόποι χρήσιμοι, οἵπερ καὶ πρὸς τοὺς μύθους· ἐν δὲ τοῖς διηγήμασι καὶ οἱ ἀπὸ τοῦ ψευδοῦς

Scheff. 75 Edd. Rom. Camer. Med. ὀκνοῦσιν. Heins. ὀκνῶσιν. 76 Heins. αὐξάμενον. 77 Edd. τρόπων. Med. marg. Vict. τόπων. Attigimus hanc confusionem ad Hermog. Prog. c. VIII. 78 Interpres contrarium protulit; causam non intelligo: prooemii profecto cujuslibet eo melior est ratio, quo minus est commune. Scheff. 79 τὸ Heins. om., revocavi ex Med. Rom. Camer. 80 δὲ Edd. om. recepi ex Med. marg. Vict.

Digitized by Google

καὶ ἀδυνάτου τόποι ἁρμόττουσιν, ὅπερ ποιεῖ Θουκυδίδης[1] μὲν, ἀνασκευάζων, τὸ μὴ τύραννον ὄντα Ἵππαρχον, ὑπὸ τῶν περὶ τὸν Ἁρμόδιον καὶ Ἀριστογείτονα ἀναιρεθῆναι· Ἡρόδοτος δὲ ἐναντιούμενος τοῖς ἀποφαινομένοις, Αἰγύπτιον εἶναι μητρόθεν τὸν Καμβύσην[2]. Οὐκ ἀεὶ μὲν οὖν οἷόν τε, ἐκ πάντων τῶν τόπων[3] ἐν τοῖς διηγήμασιν ἐπιχειρεῖν, ἐὰν δέ ποτε ἐγγένηται, ταύτῃ τῇ τάξει χρησόμεθα· πρῶτον μὲν ἀπὸ τοῦ ἀσαφοῦς, καθ' ὅσους τρόπους περὶ σαφηνείας εἴπομεν· δεύτερον δὲ ἀπὸ τοῦ[4] ἀδυνάτου ἐπιχειρήσομεν, δεικνύντες ὅτι ἀδύνατον τὸ πρᾶγμα οὕτω γενέσθαι. ὡς φησιν ὁ συγγραφεὺς, ἤτοι διὰ τὸ μηδόλως πεφυκέναι γίνεσθαι, ἢ διὰ τὸ μὴ κατὰ τὸν αὐτὸν χρόνον εἶναι τὰ ἱστορούμενα. οἷον, πρὸς τοὺς λέγοντας, ὅτι Ἡρακλῆς ἀπέκτεινε Βούσιριν[5]· κατὰ γὰρ Ἡσίοδον πρεσβύτερος Ἡρακλέους ἐστὶν[6] ὁ Βούσιρις ἔνδεκα γενεαῖς. καὶ ὅλως πρὸς τὰ πολλὰ τῶν τοιούτων ἀφορμὰς ἕξομεν λόγων ἐκ τῶν Ἀρίωνος[7] ἐλέγχων· ἔπειτα δὲ, εἰ[8] καὶ δυνατὸν ὑποθοίμεθα τὸ πρᾶγμα, λεκτέον ὅτι ἀπίθανόν ἐστιν· εἰ δὲ[9] καὶ πιθανόν ἐστι, σκεψόμεθα, εἰ ψευδές

---

1 Libro VI. 2 Habet haec omnia Herodotus l. III. Scheff. 3 Med. Rom. Camer. τρόπων. Heins. τόπων. 4 τοῦ Heins. om. recepi ex Med. et Camer. 5 Inter parerga Herculis numerat Hyginus c. 31. Scheff. 6 ἐστὶν edd. om. recepi ex Med. marg. Vict. Ubi hoc tradiderit Hesiodus, ignoro. Apud Isocratem tamen in laude Busiridis similiter legas Herculem Busiride longe juniorem. Scheff. 7 Quis hic fuerit Arion, mihi quidem est ignotum, nec laudatum aliis hactenus observare potui. Ac fortasse nostro soli servata ejus est memoria. Videtur autem Philosophus fuisse, qui quae vulgo in historiis, vetustioribus praesertim, ambigua vel fabulosa videbantur, refutavit opere peculiari, quod inscripsit ἐλέγχους. Scheff. 8 Heins. καὶ εἰ. 9 εἰ δὲ καὶ πιθανόν — — ψευδές ἐστιν edd. om. recepi ex Med. et marg. Vict.

Digitized by Google

ἐστιν· εἰ δὲ ἀληθὲς φανείη, ἐξῆς ζητήσομεν, εἰ ἐλλείπει τι, ἢ πλεονάζει· ἔπειτα δὲ ὅτι μάχεται κατὰ τὴν διήγησιν αὐτὸς ἑαυτῷ ὁ συγγραφεύς· πρὸς δὲ τούτοις μεμψοίμεθα καὶ τὴν τάξιν τῶν κεφαλαίων, εἰ μὴ προσηκόντως εἴη γεγενημένη· εἰ δὲ ταῦτα πάντα κατὰ τρόπον εἴη διατεθειμένα, ἀλλ' ὡς ἀπρεπές τε καὶ ἀσύμφορον δεικτέον· ἔστι γὰρ τῶν πραγμάτων, ἃ πραχθῆναι μὲν οὐκ ἐχρῆν, φθάσαντα δὲ πραχθῆναι σιωπᾶσθαι συμφέρει· οἷον, εἴ τις τὸν Λοκρὸν Αἴαντα[10] τοιαῦτα εἰπὼν εἰς τὴν Ἀθηνᾶν ἀσεβῆσαι, οἷα λέγεται, ἔπειτα ὑπόθοιτο, μήτε ἐν τῇ θαλάττῃ[11], μήτε οἴκοι, κακόν τι αὐτὸν πεπονθότα, ἐν γήρᾳ μετ' εὐδαιμονίας τετελευτηκέναι· ῥᾳδίων δὲ καὶ πλειόνων εὐπορήσομεν ἐπιχειρημάτων, ἐὰν καθ' ἕκαστον τῶν παραδεδομένων τόπων ἐπιχειροῦντες, χρώμεθα καὶ τοῖς καλουμένοις στοιχείοις[12], ἐξ ὧν ἅπασα πρᾶξις ὑφίσταται· ἔστι δὲ ταῦτα, ἐξ ὧν προείπομεν, πρόσωπον, πρᾶγμα, τρόπος, χρόνος, τόπος, αἰτία. Παραδείγματος δὲ ἕνεκα ὁ λόγος ἡμῖν ἔστω ἐφ' ἑνὸς τόπου τοῦ ἀπιθάνου. ἐὰν τοίνυν ἀνασκευάζωμεν τὴν διήγησιν ἐκ τοῦ ἀπιθάνου, οὕτως ἐπεξελευσόμεθα, δεικνύντες ὅτι καὶ τὸ πρόσωπον ἀπίθανόν ἐστι, καὶ τὸ πραχθέν, καὶ ὁ τόπος, ἐν ᾧ ἡ πρᾶξις. ὁμοίως δὲ καὶ ὁ χρόνος, καὶ ὁ τρόπος, καὶ ἡ αἰτία τῆς πράξεως· οἷον ἐπὶ τῆς Μηδείας· ἐκ μὲν τοῦ προσώπου, ὅτι ἀπίθανόν ἐστι μητέρα κακῶς ποιῆσαι τέκνα· ἐκ δὲ τῆς πράξεως, ὅτι οὐκ εἰκός ἐστιν ἀποσφάξαι· ἐκ δὲ τοῦ τόπου, ὅτι οὐκ ἂν ἀπέκτεινεν ἐν Κορίνθῳ, ὅπου διέ-

---

10 Ajacem Oilei filium, regem Lacedaemoniorum puto intelligere, qui Cassandram in templo Minervae capto Ilio constupravit, ut loquitur Servius ad Virg. l. I. Aen. v. 46. Scheff.

11 Hoc solus noster nescio ex quo veterum commemorat. Nam contra Virgilius supra dicto loco, Seneca Medea v. 660. Philostratus lib. II. Icon. tit. Αἴας ὁ Λοκρός. Scheff.

12 Quid nostro sint στοιχεῖα, supra jam ostendi. Scheff.

Digitized by Google

τριβεν Ἰάσων ὁ τῶν παίδων πατήρ· ἐκ δὲ τοῦ χρόνου, ὅτι ἀπίθανόν ἐστιν ἐν τούτῳ τῷ χρόνῳ, ἐν ᾧ αὐτὴ μὲν ἐτεταπείνωτο[13], τοῦ ἀνδρὸς ἐκπεσοῦσα ξένη γυνή, ὁ δὲ Ἰάσων μείζω δύναμιν προσειλήφει, γήμας Γλαύκην τὴν Κρέοντος τοῦ βασιλέως τῶν τόπων θυγατέρα· ἐκ δὲ τοῦ τρόπου, ὅτι ἐπειράθη ἂν λαθεῖν, καὶ οὐκ ἂν ξίφει διεχρήσατο, ἀλλὰ φαρμάκῳ, ἄλλως τε καὶ φαρμακὶς οὖσα· ἐκ δὲ τῆς αἰτίας, ὅτι ἀπίθανόν ἐστι δι' ὀργὴν τὴν πρὸς τὸν ἄνδρα ἀπεκτονέναι τὰ τέκνα, οὐ γὰρ ἴδιον τοῦ Ἰάσονος, ἀλλὰ καὶ αὐτῆς κοινὸν ἐγίνετο τὸ ἀτύχημα, καὶ μᾶλλον αὐτῆς, ὅσῳ μαλακώτεραί πως αἱ γυναῖκες πρὸς τὰ πάθη. 36 ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τόπων ἐφοδεύσομεν, κατὰ τὰ ἐξῆς στοιχεῖα ἐπιχειροῦντες, ἐξ ὧν ἂν δυνατὸν ᾖ· ἐκ δὲ τῶν ἐναντίων τόπων κατασκευάσομεν. Οἱ δ' αὐτοὶ οὗτοι ἁρμόττουσι καὶ πρὸς τὰς μυθικὰς διηγήσεις, τάς τε ὑπὸ τῶν ποιητῶν, καὶ τὰς ὑπὸ τῶν ἱστορικῶν λεγομένας, περί τε θεῶν καὶ ἡρώων· ἔτι τε, καὶ τῶν ἐξηλλαγμένων κατὰ φύσιν, οἷά τινες ἱστοροῦσι περὶ Πηγάσου, καὶ Ἐριχθονίου, καὶ Χιμαίρας, καὶ Ἱπποκενταύρων, καὶ τῶν παραπλησίων. τὸ δὲ μὴ μόνον ἀνασκευάζειν τὰς τοιαύτας μυθολογίας, ἀλλὰ καὶ ὅθεν παρεῤῥύηκεν ὁ τοιοῦτος λόγος ἀποφαίνειν, τελεωτέρας[14] ἐστὶν ἕξεως, ἣ κατὰ τοὺς πολλούς[15]· ὅπερ πεποίηκεν Ἡρόδοτος μὲν, ἐν τῇ δευτέρᾳ

13 Edd. ἐταπείνωτο. Med. marg. Vict. ἐτεταπ. 14 Med. τελεωτέρας. edd. τελειωτέρας. cfr. ad Hermog. Prog. c. III. fine. 15 Non hoc ait, parum reperiri hanc facultatem, quod volunt interpretes, sed non posse hoc exercitationis genus vulgo et a quolibet eorum, qui exercent sese in progymnasmatibus, commode atque ut oportet tractari, quoniam ad id requiruntur vires majores. Alias tractarunt ex veteribus Melissus, Lamiscus, Dorotheus, Euanthes, Euphorion, Damascius, Heraclides, Silenus, Phornutus Graece, ac Fulgentius latine, ex recentioribus Natalis Comes, Gyraldus, Vossius et nonnulli alii. Schefff.

Digitized by Google

τῶν περὶ πελειάδων[16] διηγούμενος, ὡς ἐξέστησαν ἐξ[17] Αἰγύπτου· καὶ ἡ μὲν εἰς Δωδώνην, ἡ δὲ εἰς Ἄμμωνος ἀφίκετο. ἐξηγούμενός τε τὸ μυθολόγημά φησιν, ὅτι παρθένοι τινὲς ἐκ Θηβῶν τῶν Αἰγυπτίων ἦσαν ἱέρειαι, ὧν ἡ μὲν εἰς Δωδώνην ἐπράθη[18], ἡ δὲ εἰς Ἄμμωνος. καὶ ἐπειδὴ βαρβαριστὶ ἐφθέγγοντο, καὶ ἀξυνέτως τοῖς ἐπιχωρίοις λόγος κατέσχεν, ὡς ὄρνιθες ἦσαν. Πλάτων δὲ ἐν τῷ Φαίδρῳ τὸ περὶ τῆς Ὠρειθυίας καὶ τοῦ Βορέου διήγημα οὐκ ἀποδεχόμενος, φησὶ τὴν Ὠρείθυιαν[19], πνεῦμα βορέου κατὰ τῶν πλησίον[20] πετρῶν, οὗ ἡ[21] φαρμακεία, παίζουσαν[22] ὥσαι, καὶ οὕτω δὴ λεχθῆναι ὑπὸ τοῦ βορέου ἀνάρπαστον γεγονέναι· καὶ μέν τοι καὶ Ἔφορος ἐν τῇ τετάρτῃ χρῆται τούτῳ τῷ τρόπῳ· ὅτι ἄρα Τιτυὸς[23]

---

16 Quas fingunt primas praecepisse condere oraculum utrumque, Jovis Hammonis, et Dodonaei. Consule Herodotum dicto loco. Scheff. 17 ἐξ Edd. om. recepi ex Med. et marg. Vict. 18 Ed. Rom. ἐπράχθη. marg. Vict. ἐπράθη. Ita Achill. Tat. VIII. 5. πέπραται, δεδούλευκε, γῆν ἔσκαψε. Vat. Thuan. πέπρακται. Plut. Cim. p. 161. Ald. [c. 13.] πραχθέντων δὲ τῶν αἰχμαλώτων λαφύρων. Muret. ex tribus codd. Card. Rodulfi correxit πραθέντων. 19 De Oritheia, Erechthei, Athenarum regis filia, quam Boreas amaverit, videndus est Pausanias in Atticis, Dionysius de situ orbis [425.], Ovidius l. VI. Metam. Meminit et Apollodorus lib. III. et Hyginus c. 14. Scheff. 20 Edd. πλησίων. Med. πλησίον. 21 Med. οὗ ἡ Φαρμακεία. editiones Theonis et codd. Platonis σὺν Φαρμακείᾳ. Lectio Med. notatu digna; Heynius enim Apollod. Tom. II. p. 335. legendum censuit ἐπὶ Φαρμ. fontem intelligens, ut Timaeus Lex. Plat. p. 190. — σὺν Φαρμ. Nympham fontis significare docet Heind. ad Platonis locum p. 229. C. 22 Ed. Rom. πέζουσαν. corr. marg. Vict. 23 Med. Τίτυς. Quem amasse Latonam, atque ideo ab Apolline telis confixum, apudque inferos expositum esse ferunt vulturi, cor ejus exedenti. Serv. ad VI. Virg. Aen. v. 595. Adde Apollon. Rhodium, Tibul-

Digitized by Google

μὲν ἦν Πανοπέως δυνάστης, ἀνὴρ παράνομος καὶ βίαιος, Πύθων[24] δὲ θηριώδης τὴν φύσιν, δράκων ἐπικαλούμενος· οἱ δὲ περὶ τὴν πάλαι μὲν Φλέγραν[25], νῦν δὲ Παλλήνην ὀνομαζομένην, κατοικοῦντες ἦσαν ἄνθρωποι ὠμοί, καὶ ἱερόσυλοι, καὶ ἀνθρωποφάγοι, οἱ καλούμενοι Γίγαντες, οὓς Ἡράκλῆς λέγεται χειρώσασθαι τὴν Τροίαν ἑλών. καὶ διὰ τὸ κρατῆσαι τοὺς περὶ τὸν Ἡρακλέα ὀλίγους ὄντας, τῶν Γιγάντων πολλῶν ὄντων, καὶ ἀσεβῶν, θεῶν ἔργον ἅπασιν ἐδόκει γεγονέναι τὸ περὶ τὴν μάχην. καὶ ὅσα ἄλλα τοιαῦτα ἐπιλύεται, περὶ τοῦ Λυκούργου, καὶ Μίνωος, καὶ Ῥαδαμάνθυος, καὶ Διὸς, καὶ κουρήτων, καὶ τῶν ἄλλων τῶν ἐν τῇ Κρήτῃ μυθολογουμένων· καὶ Παλαιφάτῳ[26] τῷ Περιπατητικῷ ἐστιν ὅλον βιβλίον[27] περὶ

lum et Hyginum c. 55. Porro est notabilis haec Ephori explicatio, neque alibi occurrit, capitque plane lucem ex hoc loco, quod adfertur a Strabone lib. IX. aque ipso sine caussa suggillatur, ex hoc ipso Ephoro, quod doctissimus commentator observare intermisit. Scheff. 24 Consule Strabonem dicto loco. Fabulam prolixe memorat Ovidius in Metamorph. Scheff. 25 Reddunt et haec lucem Straboni, cujus in Eclogis lib. VII. leguntur ista, non aliunde, quam ex Ephoro, ut arbitror, desumpta: Ἡ Παλλήνη Χερρόνησος, ἧς ἐν τῷ Ἰσθμῷ κεῖται, ἡ πρὶν μὲν Ποτιδαία, νῦν δὲ Κασσάνδρεια, Φλέγρα τὸ πρὶν ἐκαλεῖτο· ᾤκουν δ' αὐτὴν οἱ μυθευόμενοι Γίγαντες, ἔθνος ἀσεβὲς καὶ ἄνομον, οὓς Ἡρακλῆς διέφθειρεν. Plane locus hic Ephori notabilis est, atque observandus. Scheff. 26 Ita Tzetzes Chil. I. hist. 20. Alii faciunt Stoicum. Vide Vossium in de Histor. Graec. Scheff. 27 Ergo auctore Theone nostro non fuit hic, nisi liber unicus. Non potest itaque hic Palaephatus is esse, qui Suidae Parius, vel Prienaeus, ipse namque scripsit ἀπίστων βιβλία ε. Plane suspicor, Atheniensem fuisse, neque alium, quam cujus hodieque fragmentum habemus, quoniam occurrunt omnes apud ipsum fabulae isto plane modo explicatae, sicut apud nostrum Theonem. Quod notandum,

Digitized by Google

τῶν ἀπίστων ἐπιγραφόμενον, ἐν ᾧ τὰ τοιαῦτα ἐπιλύεται·
37 οἷον, ὅτι Κένταυροι μὲν ὑπελήφθησαν οἱ πρῶτοι ἐπὶ ἵπποις ὀχούμενοι ὀφθέντες. Διομήδης δὲ Θρᾷξ, ἐς ἱπποδρομίαν [28] ἐξαναλωθεὶς, ἐλέχθη ὑπὸ τῶν αὐτοῦ ἵππων ἀπολωλέναι· κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ Ἀκταίων ὑπὸ τῶν κυνῶν. ἡ δὲ Μήδεια βάπτουσα τὰς ἐπὶ τῆς κεφαλῆς τῶν ἀνθρώπων πολιὰς, καὶ μελαίνας ποιοῦσα, ἐφημίσθη, τοὺς γέροντας εἰς λέβητα κατακόπτουσα, νέους ποιεῖν, καὶ τὰ παραπλήσια τούτοις.

Cap. VII.

Περὶ τόπου.

Τόπος ἐστὶ λόγος αὐξητικὸς ὁμολογουμένου πράγματος, ἤτοι ἁμαρτήματος, ἢ ἀνδραγαθήματος. ἔστι γὰρ διττὸς ὁ τόπος· ὁ μέν τις, κατὰ τῶν πεπονηρευμένων, οἷον κατὰ τυράννου, προδότου [1], ἀνδροφόνου, ἀσώτου· ὁ δέ τις ὑπὲρ [2] τῶν χρηστόν [3] τι διαπεπραγμένων· οἷον, ὑπὲρ τυραννοκτόνου, ἀριστέως, νομοθέτου. Τῶν δὲ τόπων οἱ μέν εἰσιν ἁπλοῖ, οἱ δὲ οὐχ ἁπλοῖ· ἁπλοῖ μὲν οἱ προειρημένοι· οὐχ ἁπλοῖ δὲ οἱ κατὰ στρατηγοῦ προδότου, κατὰ ἱερέως ἱεροσύλου, κατὰ τοῦ ὑβρίσαντος ἐν ἑορτῇ, ἢ ἱερῷ, ἢ ὑπὲρ γυναικὸς τυραννοκτόνου. Τόπος δὲ εἴρηται, ὅτι ἀπ᾽ αὐτοῦ ὁρμώμενοι, οἷον ἐκ τόπου, ῥᾳδίως ἐπιχειροῦμεν κατὰ τῶν ὁμολογούντων ἀδικεῖν. διόπερ τινὲς καὶ ἀφορμὴν [4] ἐπιχειρημάτων αὐτὸν ὡρίσαντο. ἡ μὲν γὰρ τοῦ ὑβριστοῦ κατηγορία [5] κοινὴ καὶ ἀναμ-

---

ne putemus cum quibusdam, Palaephatum, quem nos habemus, esse quendam [sic] veteris verique epitomen solummodo. Scheff. 28 Edd. εἰς ἱπποτροφίαν. Med. ἐς ἱπποδρομίαν.

1 Edd. κατὰ προδότου. Med. κατὰ om. 2 Ed. Rom. ὑπό. marg. Vict. ὑπέρ. 3 Heins. χρηστῶν διαπ. 4 Haec locorum definitio alibi non legitur, quod sciam. Scheff. 5

Digitized by Google

φισβήτητος καὶ τόπος καλεῖται. ἐξ αὐτῆς δὲ ὁρμώμενοι, οἷον ἐκ τόπου, ῥᾳδίως καὶ κατὰ Κόνωνος, καὶ κατὰ Μειδίου[6] λόγων εὐποροῦμεν. Διαφέρει δὲ τῶν ἐγκωμίων καὶ τῶν ψόγων, ὅτι ἐκεῖνα μὲν περὶ ὡρισμένων προσώπων, καὶ μετὰ ἀποδείξεως λέγεται· οἷον Ἰσοκράτους, τὸ Ἑλένης ἐγκώμιον, καὶ εἴ πού τις Εὐρυβάτου[7] ψόγος· οἱ δὲ τόποι περὶ μόνων ἁπλῶν εἰσι τῶν πραγμάτων, καὶ χωρὶς ἀποδείξεως. καὶ ὅτι ἐν μὲν τοῖς ἐγκωμίοις καὶ ψόγοις φροντιστέον καὶ προοιμίων[8]· ἐπὶ δὲ τοῦ τόπου ἐπίνοια τοιαύτη τις εἶναι βούλεται[9], ὥστε ἀποκοπὴν εἶναι δοκεῖν, καὶ μέρος λόγου ἑτέρου προειρημένου, καὶ οἷον ἐπίλογόν τινα μετ' ὄγκου τῶν ἤδη προαποδεδειγμένων· διόπερ καὶ οὕτως ἀρκτέον αὐτοῦ, καθάπερ ἤδη προειρη-

---

Edd. κατηγορία, χοινή. Scheff.: „Puto delendam distinctionem. Hoc enim vult, quicquid communiter et citra ullam ambiguitatem dici potest in quemlibet injuriosum, id dici locum, quoniam ex ipso orator potest prodire ad dicendum contra hunc illumve injuriosum, ut Cononem exempli gratia, vel Midiam". 6 Quae utraque oratio tractata est a Demosthene. Scheff. Med. Κύθωνος. 7 Helenae encomium habemus, at vituperium Euribatae non item. Neque debet hoc ad Isocratem referri, sed alium, cujus forte nomen scribenti non occurrebat, et idcirco difficulter indicari potest a nobis. Meminit alias Euribatis Hesych. in Εὐρυβάτου πρᾶγμα; ubi dicitur, δεινός τις ἢ ἄνθρωπος ὁ Εὐρυβάτος. Adde Erasmum in Chiliad. voce Eurybatizare. Scheff. Plat. Protag. p. 327. C. ἐν τοῖς τοιούτοις ἀνθρώποις γενόμενος, ἀγαπήσαις ἄν, εἰ ἐντύχοις Εὐρυβάτῳ καὶ Φρυνώνδᾳ. ubi Heind. et Ast. 8 Sequentia docere videntur, legendum negative, μὴ φροντιστέον, quod et Interpres secutus est in versione. Certo quod pars orationis praecedentis esse debet, non potest suum habere exordium. Itaque mox repraehendit, qui aliquo utuntur. Scheff. Nihil mutandum: prooemia dicit esse in encomio et vituperatione, nec vero in loco communi. 9 Ed. Rom. βούληται. marg.

Digitized by Google

μένων ἑτέρων, ὡς παρ' Αἰσχίνῃ· μὴ γὰρ οἴεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τὰς τῶν ἀτυχημάτων ἀρχὰς ἀπὸ θεῶν, ἀλλὰ ἀπ'[10] ἀνθρώπων ἀσελγείας γίνεσθαι· καὶ παρὰ
38 Δημοσθένει[11]· ἄνθρωποι μιαροὶ, καὶ κόλακες, καὶ ἀλάστορες,[12] ἠκρωτηριασμένοι τὰς ἑαυτῶν ἕκαστοι[13] πατρίδας, τὴν ἐλευθερίαν προπεπωκότες, πρότερον μὲν Φιλίππῳ, νῦν δὲ Ἀλεξάνδρῳ, τῇ γαστρὶ μετροῦντες καὶ τοῖς αἰσχίστοις τὴν εὐδαιμονίαν· καὶ ἔτι· νόσημα γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, δεινὸν ἐμπέπτωκεν εἰς τὴν Ἑλλάδα, καὶ χαλεπὸν, καὶ πολλῆς εὐτυχίας τινὸς, καὶ τῆς παρ' ὑμῶν ἐπιμελείας δεόμενον. Ἤδη δὲ καὶ προοιμίων πολλοὶ φροντίζουσι, καὶ αὐτὸ τὸ πρᾶγμα ἐκτίθενται, ὡσανεὶ διηγούμενοι, ἐπὶ πᾶσι δὲ τὰς αὐξήσεις ἐπιφέρουσιν· οἱ δὲ τοιοῦτοι, τάχα ἂν καὶ οὕτως ὠφελοῖντο· διαφθείρουσι μέν τοι τὴν ἰδιότητα τοῦ γυμνάσματος· ἐπιχειρεῖν δὲ δεῖ ἐκ τῆς προαιρέσεως τῶν δεδρακότων, καὶ τοῦ μεγέθους τῶν ἔργων ὧν διαπράττονται· ἔκ τε ὧν ἕτεροι πάσχουσι δι' αὐτούς· καὶ ἔτι ἐξ ὧν αὐτοὶ μεταλαμβάνουσιν· ἐὰν δὲ ὥσπερ ἐν δίκῃ ἐθέλωμεν καὶ προοιμίῳ καὶ διηγήματι χρῆσθαι, μετὰ τὸ προοίμιον καὶ τὴν τοῦ ἀδικήματος ἀπαγγελίαν ληψόμεθα τὰς ἐπιχειρήσεις· πρῶτον μὲν, ἀπὸ τῆς διανοίας τοῦ δεδρακότος, ὅτι πονηρά. δεύτερον δὲ ἀπὸ τοῦ πράγματος, περὶ οὗ τὸ ἀδίκημα· ὅτι τῶν ἀναγκαιοτάτων ἐστὶν· οἷον, ὅτι κλέπτης περὶ τὰ χρήματα ἐπιβουλεύει, ἅπερ εἰσὶν ἀναγκαιότατα πᾶσι. καὶ τούτων ἕνεκα καὶ γεωργοῦμεν, καὶ πλεῦμεν, καὶ πάνθ' ἁπλῶς κατὰ τὸν βίον πράττομεν, ἵν' ἔχωμεν χρήματα, ἐξ ὧν ζῆν δυνησόμεθα. μετὰ δὲ ταῦτα ἀπὸ τῆς περιοχῆς, ὅτι τῷ μὲν ὀνόματι ἓν τὸ ἀδίκημά ἐστι, τῇ δὲ ἀληθείᾳ πολλὰ περιέχει ἐν αὐτῷ ἀδικήματα· οἷον, ἡ μοιχεία καὶ βίαν,

---

Vict. βούλεται. 10 Med. ἀλλὰ καὶ ἀνθ. 11 de coron. p. 324. 12 Med. marg. Vict. ἠκρωτηρ. 13 Edd. ἕκαστος.

βίαν, καὶ κλοπὴν, καὶ νοθείαν[14], καὶ μυρία ἄλλα περιέχει· ἔπειτα δὲ ἀπὸ τῆς συγκρίσεως· αὕτη δὲ τριπλῆ. τὸ γὰρ κατηγορούμενον ὑφ' ἡμῶν ἢ μείζονι ἑαυτοῦ συγκρίνομεν, ἢ ἐλάττονι, ἢ ἴσῳ· ὅταν μὲν οὖν μείζονι συγκρίνωμεν, αὔξοντες τὸ ἔλαττον, ἴσον ἐκείνῳ ἀποφανοῦμεν· οἷον, ὅτι κλέπτης τῷ ἱεροσύλῳ τὰ ἴσα ἀδικεῖ· μιᾷ γὰρ ἀμφότεροι χρῶνται τῇ περὶ τὸ κλέπτειν ἐπιθυμίᾳ, καὶ οὔθ' ὁ κλέπτης εἰ καιροῦ λάβοιτο, ὀκνήσειεν ἱεροσυλεῖν, οὔθ' ὁ ἱερόσυλος κλέπτειν· ὅταν δὲ ἐλάττονι συγκρίνωμεν, οὕτως ἐροῦμεν· εἰ ὁ κλέπτης ἀνθρώπων χρήματα ἀφαιρούμενος κολάζεται, πόσῳ μᾶλλον οὗτος κολασθήσεται, ὁ τὰ τῶν θεῶν συλῶν; ὅταν δὲ ἴσον ἴσῳ παραβάλλωμεν, φήσομεν, ὅτι εἰ τὸν τὰ ἴσα ἡμαρτηκότα ἀθῷον οὐκ ἐῶμεν, οὐδὲ τοῦτον ἄξιον περιορᾶν· εἶτα ἀπὸ τῶν ἐναντίων· εἰ γὰρ ἀριστεὺς τιμῶν ἄξιος, κολάσεως ὁ προδότης· ἐξῆς δὲ ἀπὸ τῶν πρὸ τοῦ πράγματος· οἷον, τὸ κατὰ τοῦ ἱεροσύλου, ὅτι πρὸ τῶν εἰς τοὺς θεοὺς ἀσεβημάτων εἰκός ἐστι τὸν ἱερόσυλον πολλὰ εἰς τοὺς ἀνθρώπους τετολμηκέναι, πολλὰ δὲ εἰς τοὺς κατοιχομένους ἐκλελοιπέναι τε τὰ πολλὰ τῶν νενομισμένων ἐπὶ τιμῇ θεῶν, οἷον ἑορτὰς, θυσίας, εὐχὰς, ἔτι τε ἐπιορκηκέναι πολλάκις, καὶ τὰ παραπλήσια· εἶτα ἀπὸ τῆς ἐκβάσεως, καὶ τῶν μετὰ τὸ πρᾶγμα· οἷον, ἱεροσυλίας γενομένης, τὰ μὲν ἱερὰ ἀκόσμητα διαμένει, ὁ δὲ ἱερόσυλος εἰς τὰς ἡδονὰς καταναλίσκει τὰ συληθέντα· καὶ ὅτι διὰ τὰς τοιαύτας ἁμαρτίας ἐπιγίνεται ταῖς πόλεσι καὶ θεῶν μηνίματα, λοιμοὶ[15] καὶ λιμοὶ, στρατοπέδων ὄλεθροι, καὶ πάντα τὰ τοιαῦτα· ἐξῆς δὲ ἀπὸ τοῦ ἀνηκέστου· οἷον, ἀνεπανόρθωτόν ἐστι τὸ πραχθέν. εἶτα ἐκ τῆς συγκρίσεως[16] ἤτοι νομοθετῶν, ἢ ποιητῶν, σοφῶν ἀνδρῶν γνώμας λέγοντες· οἷον, ὅτι καὶ τούτοις πονηρὸν εἶναι δοκεῖ τὸ πραχθὲν, καὶ κολάσεως ἄξιον· ἐφ' ἅπασι δὲ τὴν

39

Med. marg. Vict. ἕκαστοι. 14 Camer. Heins. νοηθείαν. Med. Rom. νοθείαν. 15 Med. λιμοὶ καὶ λοιμοί. 16 Edd. κρίσεως.

Digitized by Google

διατύπωσιν [17] ποιησόμεθα, ὅταν ἐνεργούμενον τὸ ἀδίκημα ἀπαγγέλλωμεν, καὶ τὸ πάθος τοῦ ἠδικημένου· οἷον κατὰ ἀνδροφόνου· διαγράψομεν γὰρ, οἷος μὲν ἦν ὁ ἐργαζόμενος τὸν φόνον, ὡς ὠμῶς καὶ ἀνηλεῶς αὐτόχειρ γενόμενος ἀνθρώπου, ἄνθρωπος ὤν· καὶ τὸ ξίφος σπώμενος [18], καὶ τὴν πληγὴν καταφέρων, καὶ μὴ καιρίας, εἰ τύχοι, τῆς πληγῆς γενομένης, ἄλλας ἐπ᾽ ἄλλαις ποιούμενος, καὶ μιαινόμενος αἵματι τοῦ φονευομένου. οἵας δὲ κἀκεῖνος φωνὰς ἠφίει, τοῦτο μὲν τοῦ φονέως δεόμενος, τοῦτο δὲ βοηθοὺς ἐπικαλούμενος, νῦν μὲν ἀνθρώπους, νῦν δὲ τοὺς θεούς, καὶ ὅσα ἄλλα τοιαῦτα· ἐν δὲ τοῖς οὐχ ἁπλοῖς τόποις, ἔστι μὲν καὶ ἀπὸ τῶν προειρημένων ἐπιχειρεῖν. πλείονων δὲ λόγων εὐπορήσομεν διὰ τὸ προσκείμενον [19] τοῖς ἁπλοῖς. ὁ γὰρ προδότης, καὶ καθ᾽ αὑτὸν μὲν ὀργῆς ἄξιος, πολὺ δὲ πλέον, ὅταν στρατηγὸς ᾖ· τὸ δὲ παρ᾽ ἐλπίδα πραχθὲν, πολλὰς ἀφορμὰς λόγων παραδίδωσιν. Ἡ μὲν τῶν ἁμαρτημάτων αὔξησις ἐκ τούτων ἂν γένοιτο, τῶν δὲ ἐπαινετῶν ἐκ τῶν ἐναντίων.

Cap. VIII.

Περὶ ἐγκωμίου καὶ ψόγου [1].

Ἔγκωμίόν ἐστι λόγος ἐμφανίζων μέγεθος τῶν κατ᾽ ἀρετὴν πράξεων, καὶ τῶν ἄλλων ἀγαθῶν, περί τι ὡρισμένον πρόσωπον· τοῦτο δὲ, τὸ μὲν εἰς τοὺς ζῶντας, ἰδίως νῦν ἐγκώμιον [2] καλεῖται· τὸ δὲ εἰς τοὺς τεθνεῶτας [3] ἐπι-

Med. συγκρίσεως. 17 Docet quid in elocutione observandum, postquam inventionis praecepta proposuit, et quae ibi regnare debeant figurae, diatyposis videlicet ac energeia. Interpres mentem ipsius non aperuit. Scheff. 18 Edd. σπασάμενος. marg. Vict. Med. σπώμενος. 19 Med. Rom. προκείμενον. Camer. Heins. προσκ.

1 καὶ ψόγου Edd. om. adjeci ex Med. et marg. Vict.
2 Ergo aliter factum olim, nec de vivis solum usurpatum,

Digitized by Google

τάφιος λέγεται· τὸ δὲ εἰς τοὺς θεοὺς ὕμνος· ἀλλ' εἴτε ζῶντας, εἴτε τελευτήσαντας, ἢ καὶ ἥρωας καὶ θεούς τις ἐγκωμιάζοι, μία καὶ ἡ αὐτή ἐστι τῶν λογων ἔφοδος· ἐγκώμιον[4] δὲ λέγεται τῷ τοὺς παλαιοὺς ἐν κώμῳ τινὶ καὶ παιδιᾷ τὰς εἰς θεοὺς εὐλογίας[5] ποιεῖν. Ἐπεὶ δὲ τὰ ἀγαθὰ μάλιστα ἐπαινεῖται, τῶν δὲ ἀγαθῶν τὰ μὲν περὶ ψυχήν τε καὶ ἦθος, τὰ δὲ περὶ σῶμα, τὰ δὲ ἔξωθεν ἡμῖν ὑπάρχει, δηλονότι τὰ τρία ἂν εἴη ταῦτα, ἐξ ὧν εὐπορήσομεν ἐγκωμιάζειν. Ἔστι δὲ τῶν ἔξωθεν πρῶτον μὲν εὐγένεια ἀγαθόν· διττὴ δὲ, ἡ μὲν πόλεως καὶ ἔθνους καὶ πολιτείας ἀγαθῆς, ἡ δὲ γονέων καὶ τῶν ἄλλων οἰκείων. ἔπειτα δὲ, παιδεία, φιλία, δόξα, ἀρχή, πλοῦτος, εὐτεκνία, εὐθανασία. τοῦ δὲ[6] σώματός ἐστιν, ὑγεία, ἰσχὺς, κάλλος, εὐαισθησία· ψυχικὰ δὲ ἀγαθὰ, τὰ σπουδαῖα ἠθικὰ, καὶ τούτοις ἀκολουθοῦσαι πράξεις· οἷον, ὅτι φρόνιμος, ὅτι σώφρων, ὅτι ἀνδρεῖος, ὅτι δίκαιος, ὅτι ὅσιος, ὅτι ἐλεύθερος[7], καὶ ὅτι μεγαλόφρων, καὶ ὅσα τοιαῦτα· καλαὶ δὲ

sed non vivis etiam, imo heroibus. Quomodo est Caucali rhetoris Ἡρακλέους ἐγκώμιον, itemque Matris apud Athenaeum. Scheff. 3 Non qualiscunque laudatio defuncti debet intelligi, sed quae fiebat Graeco more ad sepulcrum. Vide Scalig. l. III. de Poët. c. 122. Itaque interpretatio hic est obscura, sicut passim alibi. Scheff. 4 Adde Aphthonium p. 29. et quae nos ibi. Scheff. 5 Hoc vero alii non prodidere: itaque notandum est. Discimus autem, encomia proprie fuisse olim solorum Deorum, eaque sic dicta, quod celebrarentur ἐν κώμῳ τινὶ καὶ παιδιᾷ, hoc est, inter commessationes et ludos, non ut habet Aphthonius, et cum ipso tradunt alii, ἐν κώμῃ. Meminerunt porro vetustissimae illius consuetudinis celebrandi Deos heroasque in conviviis cum alii, tum et Athenaeus l. XIV. c. 6., ubi vide. Quin imo apud Homerum ipsum aliqua vestigia reperiuntur. Consule Odyss. Θ. Scheff. 6 δὲ Med. et edd. om. addit marg. Vict. 7 Marg. Vict. γρ. ἐλευθέριος. cfr. Niceph. Basil. Ethop. 18. καὶ

Digitized by Google

εἰσι πράξεις καὶ αἱ μετὰ θάνατον ἐπαινούμεναι, τοὶς γὰρ ζῶντας εἰώθασι κολακεύειν· καὶ ἀνάπαλιν, αἱ ζώντων ἔτι ἡμῶν ἐγκωμιαζόμεναι, καὶ τὸν τῶν πολλῶν φθόνον ὑπερβαλλόμεναι· φθόνος γὰρ τοῖς ζῶσι κατὰ Θουκυδίδην[8] πρὸς τὸ ἀντίπαλον· καὶ ἂς ἄλλων ἕνεκα, καὶ μὴ ἑαυτῶν πράττομεν· καὶ τοῦ καλοῦ χάριν, ἀλλὰ μὴ διὰ τὸ συμφέρον, ἢ τὸ ἡδύ· καὶ ἐφ' ὧν ὁ μὲν πόνος ἴδιος, ἡ δὲ ὠφέλεια κοινή· καὶ δι' ἃς οἱ πολλοὶ καὶ μεγάλα πάσχουσιν εὐκαιρίας[9] χάριν εὐεργετῶν, καὶ μᾶλλον τετελευτηκότων· διόπερ ἐπαινοῦνται καὶ αἱ πρὸς τῶν φίλων τιμωρίαι, καὶ κίνδυνοι· ἐπαινεταὶ δέ εἰσιν αἱ πράξεις, καὶ αἱ[10] διὰ τὸν καιρόν, καὶ εἰ μόνος ἔπραξέ τις, ἢ πρῶτος. ἢ ὅτε[10] οὐδεὶς, ἢ μᾶλλον τῶν ἄλλων· ἢ μετ' ὀλίγων, ἢ ὑπὲρ τὴν ἡλικίαν, ἢ παρὰ τὴν ἐλπίδα, ἢ μετὰ πόνων, ἢ ὅσα ῥᾷστα ἢ τάχιστα ἐπράχθησαν· δεῖ δὲ λαμβάνειν καὶ τὰς κρίσεις τῶν ἐνδόξων· καθάπερ οἱ ἐπαινοῦντες Ἑλένην, ὅτι
41 Θησεὺς προέκρινε[11]· χρήσιμον δὲ καὶ τὸ εἰκάζειν ἐκ τῶν παρεληλυθότων τὰ μέλλοντα· ὥστε εἴ τις λέγοι[12] περὶ Ἀλεξάνδρου τοῦ Μακεδόνος, τὶ δ' ἂν ἔπραξε, τηλικαῦτα καὶ τοσαῦτα ἔθνη καταστρεψάμενος, εἰ μικρὸν ἔτι ἐπέ-

---

νῦν φῶς ἐλεύθερον, καὶ κακῶν ἀπαλλαγή. Par. ἐλευθέριον. ibid. καὶ νῦν ὅτε μηδ' ἐλπὶς ἐλευθέρας τροφῆς ὑπελείπετο, τὴν φίλην ἐλευθερίαν αὖθις ἀπέλαβον. Par. ἐλευθερίου τροφ. 8 lib. II. adde ejusdem lib. VI. in Orat. Alcib. et alia loca. Scheff. 9 Camer. Heins. εὖ καὶ τὰς χάριν. Med. Rom. εὐκαιρίας χάριν. Scheff.: „illud τὰς est depravatum. Mallem καὶ τὰ, ut referatur ad praecedens μεγάλα, sententiaque sit, laudari, quae fiunt incommodum magnum multorum, et eorum, qui bene de nobis sunt meriti, vitaque excesserunt". 10 ὅτε Med. ἃ Heins. a Rom. et Camer. abest. 11 Edd. προέκρινεν. Med. προέκρινε. Cepit enim admodum adolescentulum adhuc, et in conjugem sumere voluit. Vide Liban. declam. II., quae inscribitur Ulysses, et Plutarchum vita Thesei. Scheff. 12 Edd. λέγει. Med. λέγοι.

Digitized by Google

βίω χρόνον; καὶ ὡς Θεόπομπος ἐν τῷ Φιλίππου ἐγκωμίῳ[13]· ὅτι εἰ βουληθείη Φίλιππος τοῖς αὐτοῖς ἐπιτηδεύμασιν ἐμμεῖναι, καὶ τῆς Εὐρώπης πάσης βασιλεύσει. οὐκ ἄχρηστον δὲ καὶ τὸ μνημονεύειν τῶν ἤδη δεδοξασμένων, ἀντιπαραβάλλοντα ἐκείνων[14] τὰ ἔργα πρὸς τὰ τῶν ἐγκωμιαζομένων. χαρίεν δέ ἐστιν ἐνιοτε, ἀπὸ τῶν ὀνομάτων, καὶ τῆς ὁμωνυμίας, ἢ τῶν ἐπωνυμιῶν ἐγκωμιάζειν, ἐὰν μὴ πάνυ φορτικὸν καὶ καταγέλαστον ᾖ[15]· καὶ ἀπὸ μὲν τῶν ὀνομάτων[16]· οἷον, Δημοσθένης ὅτι ἦν τὸ τοῦ δήμου σθένος· ἀπὸ δὲ τῆς ὁμωνυμίας, ὅταν τις τύχῃ τὸ αὐτὸ ὄνομα ἔχων ἀνδρὶ δεδοξασμένῳ· ἐκ δὲ τῶν ἐπωνυμιῶν, οἷον Περικλῆς Ὀλύμπιος[18] ἀπὸ τῆς ἐν τοῖς κατορθώμασι μεγαλειότητος ἐπικεκλημένος. οἱ μὲν οὖν τόποι, ἐξ ὧν ἐπιχειρήσομεν, οἵδε εἰσί· χρησόμεθα δὲ αὐτοῖς τοῦτον τὸν τρόπον· μετὰ τὸ προοίμιον εὐθὺς περὶ εὐγενείας ἐροῦμεν, καὶ τῶν ἄλλων, τῶν τε ἐκτὸς καὶ περὶ σῶμα ἀγαθῶν· οὐχ ἁπλῶς, οὐδ' ὡς ἔτυχε, τὸν λόγον διατιθέμενοι, ἀλλ' ἐφ' ἑκάστου[19] δεικνύντες, ὅτι μὴ ἀνοήτως, ἀλλὰ φρονίμως καὶ ὡς ἔδει αὐτοῖς ἐχρήσατο. ἥκιστα γὰρ ἐπαινοῦσι μὴ κατὰ προαίρεσιν, ἀλλ' ἐκ τύχης ἃ ἔχουσιν ἀγαθά· οἷον, ὅτι εὐτυχῶν ἦν μέτριος καὶ φι-

---

13 Hanc Theopompi orationem alibi non video laudari; nec memoravit Vossius, ubi alia ejus opera recenset. Fuit tamen sine dubio inter caeteras orationes ejus, quas scripsit plurimas. Scheff. 14 Med. edd. Rom. Camer. δ' ἐκείν. Heins. δ' om. 15 Edd. ᾖν. Med. marg. Vict. ᾖ. 16 Med. ὀνομάτων, Δημοσθένης ὅτι ἦν οἷον ὅτι ἦν τὸ τοῦ Δημοσθένους. Rom. Camer. ὀνομάτων, Δημοσθένους ὅτι ἦν· οἷον, ὅτι ἦν τὸ τοῦ δήμου σθένος. servavi emendationem Heinsii. 17 Deest hic exemplum, quale tamen adfert cum in praecedentibus, tum in subsequentibus. Quare suspicor, id excidisse, ac esse hic lacunam. Scheff. 18 Alii alias tradidere causas. Vide Plut. in vita ejus. Scheff. 19 Edd. ἑκάστῳ. Med. ἑκάστου.

Digitized by Google

λάνθρωπος, καὶ πρὸς τοὺς φίλους ὁ αὐτὸς, καὶ δίκαιος, καὶ τοῖς τοῦ[20] σώματος πλεονεκτήμασι σωφρόνως προσηνέχθη· εἰ δὲ μηδὲν τῶν προειρημένων ἀγαθῶν ἔχοι, λεκτέον, ὅτι ἀτυχῶν ταπεινὸς οὐκ ἦν, οὐδὲ πενόμενος ἄδικος, οὐδὲ δεόμενος ἀνδραποδώδης, καὶ ὅτι ἐκ πόλεως ὢν μικρᾶς, λαμπρὸς ἐγένετο, καθάπερ Ὀδυσσεύς[21] τε καὶ Δημόκριτος, καὶ ἐν πολιτείᾳ φαύλῃ τεθραμμένος οὐ διεστράφη, ἀλλὰ τῶν καθ' αὑτὸν ἄριστος ἐγένετο, ὥσπερ Πλάτων ἐν ὀλιγαρχίᾳ[22], ἐπαινετός τε, καὶ εἴ τις ἐκ ταπεινῆς οἰκίας ὢν, μέγας ἐγένετο· ὥσπερ Σωκράτης ὁ Φαιναρέτου τῆς μαίας υἱὸς καὶ Σωφρονίσκου τοῦ ἑρμογλύφου[23]. Ἄξιον δὲ ἄγασθαι καὶ τὸν ἐκ βαναύσου τέχνης, ἢ πονηρᾶς τύχης, ἀγαθὸν δυνηθέντα τι ἐργάσασθαι· ὁποῖον λέγουσιν Ἥρωνα[24] μὲν τὸν σκυτοτόμον, Λεόντιον[25] δὲ τὴν ἑταίραν φιλοσοφῆσαι· μάλιστα γὰρ

---

20 τοῦ edd. om. recepi ex Med. marg. Vict. 21 Quorum ille Ithacensis, hic Abderites fuit, ex minuto Thraciae oppido oriundus. Scheff. 22 Triginta tyrannorum. Vide Platonem ipsum ep. 7. Scheff. 23 Laërtio est λιθουργός. Nempe hermae lapides fuere quadrati, quibus caput deinde viri alicujus clari lapide expressum solebat imponi. Suidas vocat λιθοξόον. Scheff. 24 Quod sequitur φιλοσοφῆσαι, non ad solum Leontium, quod putavit interpres, sed et Heronem referendum. Constat nempe hinc, agi de Herone Alexandrino, philosopho et mathemathico celeberrimo, quem sutorem primo fuisse, nescio an alii tradiderint. Videat, qui volet, vitam Heronis, a Bernardino Baldo conscriptam, subditamque Belopoeicis ipsius, quae a Vossio laudatur. Nobis enim hactenus necdum visa est. Scheff. Meineke ad Menand. p. 113. legere jubet Σίμωνα. 25 Cujus meminit Athenaeus l. XIII. c. 7. atque Harmasianactis [sic] Colophonii fuisse ait meretriculam. Sed de hac philosophia ejus habet nihil, neque alibi ejus factam mentionem credo. Scheff. Med. Λεοντίαν. Cogitandum de Leontio, mulierecula Epicurea, quae contra Theophrastum scripsit.

Digitized by Google

ἐν τοῖς ἀτυχήμασιν ἐκλάμπει ἡ ἀρετή[26]. μετὰ δὲ ταῦτα, 42
τὰς πράξεις, καὶ τὰ κατορθώματα παραληψόμεθα, οὐκ
ἐφεξῆς διηγούμενοι· λέγοντες γὰρ[27] ἄλλα προστίθεμεν
κατὰ μίαν ἑκάστην ἀρετήν· ἔπειτα τὰ ἔργα διεξιόντες·
οἷον, ὅτι ἦν σώφρων, προλέγειν καὶ ἐπιφέρειν εὐθύς, τί 5
αὐτῷ σωφρονητικὸν ἔργον πέπρακται· ὁμοίως ἐπὶ τῶν
ἄλλων ἀρετῶν. τὰς δὲ[28] διαβολὰς ἢ οὐ δεῖ λέγειν· ἀνά-
μνησις γὰρ γίνεται τῶν ἁμαρτημάτων· ἢ ὡς οἷόν τε λά-
θρα καὶ ἀποκεκρυμμένως, μὴ λάθωμεν ἀπολογίαν ἀντ'
ἐγκωμίου[29] ποιήσαντες· ἀπολογεῖσθαι μὲν[30] γὰρ προσή- 10
κει περὶ τῶν ἀδικεῖν αἰτίαν ἐχόντων, ἐπαινεῖν δὲ τοὺς
ἐπὶ ἀγαθῷ τινι διαφέροντας. τὰ δὲ τῶν ἀψύχων ἐγκώ-
μια, οἷον μέλιτος, ὑγείας, ἀρετῆς, καὶ τῶν παραπλησίων,
ἀναλόγως ποιησόμεθα, ἀπὸ τῶν προειρημένων τόπων
ἐπιχειροῦντες, ἐξ ὧν ἂν δυνατὸν ᾖ. Ἐκ μὲν τούτων ἐπαι- 15
νεσόμεθα· ψέξομεν δὲ ἐκ τῶν ἐναντίων.

Cap. IX.

Περὶ συγκρίσεως.

Σύγκρισις ἐστὶ λόγος, τὸ βέλτιον ἢ τὸ χεῖρον παρι-
στάς. Γίνονται δὲ συγκρίσεις προσώπων τε καὶ πραγμά-
των· καὶ προσώπων μέν, οἷον Αἴαντος, Ὀδυσσέως· πρα- 20
γμάτων δὲ, οἷον σοφίας τε καὶ ἀνδρείας· ἀλλ' ἐπειδὴ
καὶ τῶν προσώπων θάτερον προκρίνομεν, εἰς τὰς πρά-
ξεις ἀποβλέποντες, καὶ εἴ τι ἄλλο περὶ αὐτῶν ἐστιν ἀγα-
θὸν, μία μέθοδος ἂν εἴη περὶ ἀμφοῖν· πρῶτον δὲ διω-

Cic. N. D. I. 33. 26 Med. τῇ ἀρετῇ. 27 γὰρ Med. Heins. om. Scheff. in notis: „In editione Camerarii interseritur, λέγοντες γὰρ ἀλλὰ [l. ἄλλα]. Forte scripsit διηγούμενοι, λέγοντες αὐτὰς, ut referatur ad praecedens πράξεις. Certe punctum post διηγούμενοι non potest stare". 28 δὲ abest in editione Camerarii. Scheff. etiam in Rom. 29 Med. ἐγκωμίων. 30 Rom. καὶ γάρ. Camer. et Heins. καὶ omiserunt. Med. μὲν γάρ.

Digitized by Google

ρίσθω, ὅτι αἱ συγκρίσεις γίνονται, οὐ τῶν μεγάλην πρὸς ἄλληλα διαφορὰν ἐχόντων (γελοῖος γὰρ ὁ ἀπορῶν, πότερον [1] ἀνδρειότερος Ἀχιλλεὺς ἢ Θερσίτης) ἀλλ' ὑπὲρ τῶν ὁμοίων· καὶ περὶ ὧν ἀμφισβητοῦμεν, πότερον δεῖ προθέσθαι, διὰ τὸ μηδεμίαν ὁρᾶν τοῦ ἑτέρου πρὸς τὸ ἕτερον ὑπεροχήν· ὅταν μὲν οὖν πρόσωπα συγκρίνωμεν, πρῶτον μὲν ἀντιπαραβαλοῦμεν τὴν εὐγένειαν, καὶ τὴν παιδείαν, καὶ τὴν εὐτεκνίαν, καὶ τὰς ἀρχὰς, καὶ τὴν δόξαν, καὶ τὴν τοῦ σώματος διάθεσιν, καὶ εἴ τι ἄλλο περὶ τε τὸ σῶμα καὶ ἔξωθεν ἀγαθὸν, ἐν τοῖς περὶ ἐγκωμίων προείπομεν. Μετὰ δὲ [2] ταῦτα τὰς πράξεις συγκρινοῦμεν, προκρίνοντες τὰς καλλίους, καὶ τὰς ἀγαθῶν πλειόνων καὶ μειζόνων αἰτίας, καὶ βεβαιοτέρας, καὶ τὰς πολυχρονιωτέρας, καὶ τὰς ἐν καιρῷ μᾶλλον πεπραγμένας,
43 καὶ ὧν μὴ πραχθεισῶν μεγάλη βλάβη συμβαίνει [3]· καὶ τὰς ἐκ προαιρέσεως μᾶλλον τῶν δι' ἀνάγκην ἢ τύχην, καὶ ἃς ὀλίγοι ἔπραξαν μᾶλλον, ἢ ἃς οὐδείς· τὰ γὰρ κοινὰ καὶ δημώδη οὐ πάνυ ἐπαινετά· καὶ ἃς μετὰ πόνου [4] ἐπράξαμεν μᾶλλον, ἢ ῥᾳδίως· καὶ ἃς εἰργασάμεθα μετὰ τὴν ἡλικίαν καὶ τὴν δύναμιν μᾶλλον, ἢ τὰς ὅτε δυνατόν ἐστι. τὰς δὲ διαβολὰς, ὡς ἔφαμεν ἐν τῷ περὶ ἐγκωμίων, ἢ οὐ δεῖ λέγειν, ἢ ὡς οἷόν τε τάχιστα· τὰς δὲ τοῦ ἐναντίου προσώπου διασύρειν μᾶλλον καὶ χλευάζειν [6] προσήκει· τούτῳ γὰρ διοίσει σύγκρισις τῆς ὑποθέσεως. ἐν μὲν γὰρ τῇ ὑποθέσει, πρὸς τῷ τὰ οἰκεῖα λέγειν κατορθώματα, καὶ εἴ τι πέπρακται τοῖς ἀντιδίκοις ἁμάρτημα, ἐπαύ-

---

1 Edd. πότερος Ἀχιλλεύς. marg. Vict. et Med. πότερον ἀνδρειότερος. 2 δὲ Edd. om. recepi ex Med. et marg. Vict. 3 Rom. συμζαίνει. 4 Med. marg. Vict. πόνων. 5 Videtur interpres intellexisse illum, a quo calumniae factae. Sed loquitur de eo, quocum instituitur comparatio. Scheff. 6 Puto quid abesse. Certe statim ista non comparationi ait convenire, sed caussae vel hypothesi. Quid, si scribatur προσήκει

Digitized by Google

ξομεν[7]· ἡ δὲ σύγκρισις μόνην ἁπλῶς τῶν κατορθωμάτων τὴν ὑπεροχὴν ζητεῖν ἐπαγγέλλεται· ὅταν δὲ πράγματα συγκρίνωμεν, γελοῖον μὲν ἴσως ἐνταῦθα δόξει, συγγένειαν ἤ τι τοιοῦτον ζητεῖν. οὐδὲν δὲ κωλύει κατὰ ἀναλογίαν τοῖς τοιούτοις ἐπισκοπεῖν· οἷον, ἢ τοὺς εὑρετὰς αὐτῶν, ἢ τὴν φύσιν, ἢ τὴν χώραν, ἐν αἷς πέφυκεν εἶναι· καθὰ[8] εἴ τις φαίη τὴν ὑγείαν[9] Ἀπόλλωνος εἶναι θυγατέρα, ἐπειδὴ ἰατρὸς ὁ θέος, ἢ τὸ μέλι ἐξ οὐρανοῦ[10], διότι δοκεῖ τοῖς πολλοῖς ἐκ δρόσου[11] τὴν ὑπόστασιν ἔχειν. ἢ ναὶ μὰ Δί' ἀλλ' ἐκ τῆς ἀρίστης πόλεως, ἐπειδὴ πέφυκε τὸ κάλλιστον μέλι ἐν τῇ Ἀττικῇ γίνεσθαι, καὶ ὅσα τοιαῦτα. ἐξῆς δὲ λεκτέον καὶ τὰς δι' ἑκατέρων[12] τῶν προβαλλομένων συμβαινούσας ὠφελείας· τὰς μὲν οὖν τῶν βελτιόνων συγκρίσεις ἐκ ταύτης ποιησόμεθα. ἐκ δὲ τῶν ἐναντίων, ἐπειδὰν ζητῶμεν δυοῖν ὄντων φευκτῶν τὸ χεῖρον ἀνευρεῖν· οἷον, ἀφροσύνης καὶ ἀλγηδόνος· αἱ μὲν οὖν ἑνὸς πρὸς ἕν τι συγκρίσεις οὕτως ἂν μεθοδεύοιντο· τὰς δὲ πλειόνων τινῶν πρὸς πλείω κατὰ δύο τρόπους εἰώθαμεν συγκρίνειν. εἷς μὲν γάρ ἐστι τρόπος, ὅταν τῶν συγκρινομένων λαβόντες τὰ ἀκρότατα, πρὸς ἄλληλα παραβάλλωμεν, κατὰ δὲ τὴν τούτων σύγκρισιν, καὶ τὸ σύμπαν γένος πρὸς πᾶν γένος ἀξιοῖμεν ἔχειν· οἷον, εἰ βουλοίμεθα τὸ τῶν ἀῤῥένων γένος πρὸς τὸ τῶν θηλειῶν συγκρῖναι, ὁπότερον αὐτῶν ἐστιν ἀνδρειότερον, ἀξιοῖμεν τὸν ἀνδρειότατον ἄνδρα, πρὸς τὴν[13] ἀνδρειοτάτην γυ-

τῇ ὑποθέσει? Scheff. 7 Med. Rom. ἐπαύξομεν. Cam. ἐπαίξομεν [in corrigendis ἐπάξομεν], unde Heins. formavit ἐμπαίξομεν. 8 Med. Rom. Camer. καθά. Heins. καθώς. 9 Med. ὑγίειαν. 10 Plinius lib. XI. c. 12. de melle: sive ille est sudor, sive quaedam syderum saliva, sive purgantis se aëris fumus. Virg. l. IV. Georg. mellis coelestia dona. Scheff. 11 Ita et Galenus l. III. de fac. Alim. c. 38. Virgilius, sudabunt roscida mella. Scheff. 12 Edd. ἑτέρων. Med. marg. Vict. ἑκατέρων.

Digitized by Google

ναῖκα συγκρίνοντες, ὁπότερον ἂν εὑρίσκωμεν κρείττονα, οὕτω καὶ τὸ ὅλον αὐτοῦ γένος τοῦ ἑτέρου κρεῖττον ἀπο-
44 φαίνειν. εἰ μὲν δὴ βουλοίμεθα [14] προκρίνειν τὸ τῶν ἀῤῥένων γένος τοῦ θήλεος [15], οὕτω ποιήσομεν· ὑποθησόμε-
5 θα γὰρ, Θεμιστοκλέα κρείττονα εἶναι τοῦ τῶν ἀῤῥένων γένους κατὰ ἀνδρείαν, Ἀρτεμισίαν [16] δὲ τοῦ θήλεος. οὐκοῦν εἰ ἀνδρειότερος ὁ [17] Θεμιστοκλῆς Ἀρτεμισίας [18], καὶ τὸ τῶν ἀῤῥένων γένος τοῦ τῶν θηλειῶν ἀνδρειότερον· εἰ δὲ τὸ θῆλυ γένος τοῦ ἄῤῥενος προκρίνειν ἐθέλοιμεν, ὑ-
10 ποθησόμεθα, Τόμυριν [19] μὲν εἶναι ἀνδρειοτάτην γυναικῶν, Κῦρον δὲ τῶν ἀνδρῶν· οὐκοῦν εἰ Τόμυρις ἀνδρειοτέρα Κύρου, καὶ τὸ τῶν θηλειῶν γένος ἀνδρειότερον τοῦ τῶν ἀῤῥένων· δεύτερος δὲ τρόπος ἐστὶν, ὅταν μὴ μίαν, ἢ δύο τῶν ἐξοχωτάτων τοῖς ἐξοχωτάτοις παραβάλλωμεν [20],
15 ἀλλ' ἐκεῖνο τὸ γένος προκρίνωμεν [21], ἐν ᾧ πλείους εἰσὶν οἱ εὐδόκιμοι· οἷον, εἰ πλείους εἰσὶν ἄῤῥενες ἀνδρεῖοι, ἤπερ αἱ γυναῖκες· καὶ τὸ γένος τῶν ἀῤῥένων, τοῦ τῶν γυναικῶν ἀνδρειότερον. οὐ γὰρ εἰ Τόμυρις ἡ Μασσαγέτις, ἢ Σπαρέδρα ἡ Ἀμώγου [22] τοῦ Σακῶν βασιλέως γυνὴ κρείτ-

---

13 Heins. τὸν, quod Scheff. fideliter repetivit. 14 Med. Rom. βουλοίμεθα. Camer. Heins. βουλόμεθα. 15 Camer. Heins. θήλεως. Med. Rom. θήλεος. 16 Cur hanc comparat cum Themistocle? quia eodem in praelio fortissime pugnavit a parte Persarum, quo Themistocles a parte Graecorum. Vide Herodotum. Eadem est sequentis comparationis causa. Scheff. 17 Med. ὁ om. 18 Edd. h. l. Ἀρτεμησίας. Med. Ἀρτεμισ. 19 Sic scribitur et Herodoto l. I. Alii aliter formant ejus nomen, quos videsis in nota Berneggeriana l. I. c. 8. Justini. Scheff. 20 Edd. παραβαλλόμενοι [Rom. παραβαλλώμενοι scribens verae lectionis vestigium servat]. Med. παραβάλλωμεν. 21 Edd. προκρίνομεν. Med. προκρίνωμεν. 22 Scribe Σπαρέθρα ἡ Ἀμόρχου. Ctesias in Persicis, de Cyro loquens: καὶ ὅτι πρὸς Σάκας ἐπολέμησι Κῦρος, καὶ συνέλαβεν Ἀμόργην τῶν Σακῶν μὲν βασιλέα, ἄνδρα δὲ Σπαρέθρης. Adde reliqua,

Digitized by Google

των ἐστὶ Κύρου, ἢ καὶ ναὶ μὰ Λία Σεμίραμις Ζοροάστρου τοῦ Βακτρίου, ἤδη συγχωρητέον, καὶ τὸ θῆλυ τοῦ ἄῤῥενος εἶναι ἀνδρειότερον, μιᾶς μὲν ἢ δύο γυναικῶν ἀνδρειοτάτων ῥυσῶν, ἀῤῥένων δὲ παμπόλλων. ἔστι δὲ ὁ τρόπος [23] τῶν λόγων διττός, ἢ γὰρ ὑπὲρ ἑκάστου τῶν συγκρινομένων ἰδίᾳ τινὰ λόγον διεξελευσόμεθα, ἢ ἕνα παρ' ἀμφοῖν θατέρου [24] προκρίνοντες, καθάπερ καὶ Ξενοφῶν ἐν τῷ συμποσίῳ τὸν τῆς ψυχῆς ἔρωτα τῷ τοῦ σώματος ἀντιπαραβάλλων προκρίνει.

Cap. X.

Περὶ προσωποποιΐας.

Προσωποποιΐα ἐστὶ προσώπου παρεισαγωγὴ, διατιθεμένου λόγους οἰκείους ἑαυτῷ τε καὶ τοῖς ὑποκειμένοις πράγμασιν ἀναμφισβητήτως· οἷον, τίνας ἂν εἴποι λόγους ἀνὴρ πρὸς τὴν γυναῖκα, μέλλων ἀποδημεῖν· ἢ στρατηγὸς τοῖς στρατιώταις, ἐπὶ τοὺς κινδύνους. καὶ ἐπὶ ὡρισμένων δὲ προσώπων· οἷον, τίνας ἂν εἴποι λόγους Κῦρος ἐλαύνων ἐπὶ Μασσαγέτας, [1] ἢ τίνας Λάτις [2] μετὰ τὴν ἐν Μαραθῶνι μάχην [3] ἐντυγχάνων τῷ βασιλεῖ· ὑπὸ δὲ τοῦτο τὸ γένος τῆς γυμνασίας πίπτει καὶ τὸ τῶν πανηγυρικῶν [4] λόγων εἶδος, καὶ τὸ τῶν προτρεπτικῶν,

ubi hanc Sparethram liberasse maritum captivum, praelio cum Cyro commisso, Cyrumque ipsum coepisse scribit. Scheff. 23 Camer. Heins. *τόπος*. Med. Rom. *τρόπος*. Scheff. emendare jubet *τύπος*. 24 Med. Rom. *θατέρου*. Camer. Heins. *θάτερον*.

1 Rom. *Μασσαγέτης*. corr. Vict. 2 Medus, cui submoto Mardonio Xerxes imperium dederat exercitus, praeceperatque, ut Athenas deleret. Vide Herod. l. VI. Scheff. 3 Med. *μάχῃ*. 4 Qui sint proprie panegyrici, dixit Vossius in Inst. Orat. l. I. c. 5. Puto autem, nostrum non illas intelligere orationes, quas quis habere debeat in concione, sed

καὶ τὸ τῶν ἐπιστολικῶν· πρῶτον μὲν τοίνυν ἁπάντων ἐνθυμηθῆναι δεῖ, τό τε τοῦ λέγοντος πρόσωπον ὁποῖόν ἐστι, καὶ τὸ πρὸς ὃν ὁ λόγος, τήν τε παροῦσαν ἡλικίαν, καὶ τὸν καιρὸν, καὶ τὸν τόπον, καὶ τὴν τύχην, καὶ τὴν ὑποκειμένην ὕλην, περὶ ἧς οἱ μέλλοντες λόγοι ῥηθήσονται· ἔπειτα δὲ ἤδη πειρᾶσθαι λόγους ἁρμόττοντας εἰπεῖν· πρέπουσι γὰρ δι᾽ ἡλικίαν ἄλλοι ἄλλοις, [5] πρεσβυτέρῳ καὶ νεωτέρῳ οὐχ᾽ οἱ αὐτοὶ, ἀλλ᾽ ὁ μὲν τοῦ νεωτέρου λόγος ἡμῖν ἁπλότητι καὶ σωφροσύνῃ [6] μεμιγμένος ἔσται, ὁ δὲ τοῦ πρεσβυτέρου συνέσει [7] καὶ ἐμπειρίᾳ· καὶ διὰ φύσιν γυναικὶ καὶ ἀνδρὶ ἕτεροι λόγοι ἁρμόττοιεν ἄν, καὶ διὰ τύχην δούλῳ καὶ ἐλευθέρῳ, καὶ δι᾽ ἐπιτήδευμα στρατιώτῃ καὶ γεωργῷ. κατὰ διάθεσιν, ἐρῶντι καὶ σωφρονοῦντι, καὶ διὰ γένος, [8] ἕτεροι μὲν λόγοι τοῦ Λάκωνος, παῦροι [9] καὶ λιγέες, ἕτεροι δὲ τοῦ Ἀττικοῦ ἀνδρὸς, στωμύλου. [10] καὶ βαρβαρικῶς φαμεν [11] εἰπεῖν πολλάκις τὸν Ἡρόδοτον καίπερ ἑλληνιστὶ γράφοντα, ὅτι τῶν ἐκεί-

---

quas habitas exprimere quadam imitatione in scripto, sicut fit ab Historicis, qui multas efferunt orationes, habitas e. g. a rege, a duce, aliove magno viro, hoc aut illo, in concione, vel exercitu, sicut vel ex unico Thucydide videmus. Atque ita judico et de sequentibus generibus. Scheff. marg. Vict. παρηγορικῶν. 5 Heins. posuit: οἷον πρεσβ. a Med. Rom. Camer. οἷον abest. 6 Quia haec maxime aetatem istam commendant. Scheff. 7 Quid sit σύνεσις, tradit Phavorinus hoc modo: σύνεσίς ἐστιν εὐαρακολούθησις [sic] ψυχῆς εἰς ἓν ὀξέως συνάγουσα τὰς τῶν πραγμάτων ἐννοίας, εὐπαρακολουθήτως ἑκάστῳ πράγματι τὸ οἰκεῖον καὶ πρέπον ἐξευρίσκουσα. Scheff. 8 Prave sic distinguunt omnes [σωφρονοῦντι, καὶ διὰ γένος, ἕτεροι], Ante καὶ ponendum punctum, et post γένος comma collocandum. Scheff. 9 Respexit Homericum illud de Menelao Lacedaemonio: παῦρα μὲν, ἀλλὰ μάλα λιγέως. Iliad. γ. Scheff. 10 bono sensu. Vide Phavorinum. Scheff. Cfr. Coray ad Heliod. III. 1. p. 112. 11 Si vera est haec scriptura, vi-

Digitized by Google

νων λόγους μεμίμηται· πρέπουσι δὲ λόγοι καὶ τόποις, καὶ καιροῖς. οὐ γὰρ ἐπὶ τοῦ στρατοπέδου οἱ αὐτοὶ καὶ ἐν ἐκκλησίᾳ, οὐδὲ ἐν εἰρήνῃ καὶ πολέμῳ, οὐδὲ νικῶσι καὶ ἡττημένοις [12], καὶ ὅσα ἄλλα παρακολουθεῖ τοῖς προσώποις, καὶ μὲν καὶ αὐτὰ τὰ πράγματα ἕκαστα ἔχει πρέπουσαν ἑρμηνείαν. Ταύτης δ' ἂν ἐγκρατεῖς γενοίμεθα, ἐὰν μήτε περὶ μεγάλων πραγμάτων ταπεινῶς λέγωμεν, μήτε περὶ μικρῶν ὑψηλῶς, μήτε περὶ εὐτελῶν σεμνῶς, μήτε περὶ δεινῶν ἐκλελυμένως, μήτε περὶ αἰσχρῶν θρασέως, μήτε περὶ ἐλεεινῶν περιττῶς, ἀλλὰ τὸ πρέπον ἑκάστῳ τῶν πραγμάτων ἀποδιδῶμεν, [13] στοχαζόμενοι ἅμα τοῦ ἁρμόττοντος τῷ τε προσώπῳ, καὶ τῷ τρόπῳ, καὶ τῷ χρόνῳ, καὶ τῇ τύχῃ, [14] καὶ ἑκάστῳ τῶν προειρημένων· ἐπεὶ οὖν ποικίλη ἐστὶν ἡ τῶν προσώπων διαφορὰ καὶ τῶν πραγμάτων, ἢ γὰρ αἰτούμεθά τι, ἢ προτρέπομεν, ἢ παρηγοροῦμεν, ἢ συγγνώμην αἰτοῦμεν ἐφ' οἷς ἐπράξαμεν, ἢ ἄλλο τι τῶν τοιούτων, ἀναγκαῖόν ἐστι, καὶ καθ' ἕκαστον τούτων ἀφορμὰς οἰκείας εἰπεῖν. προτρέποντες τοίνυν ἐροῦμεν, ὅτι ἐφ' ὃ προτρέπομεν, καὶ δυνατὸν γενέσθαι, καὶ ῥᾴδιον, καὶ καλὸν, καὶ πρέπον ἐστίν· ὅτι συμφέρον, ὅτι δίκαιον, ὅτι ὅσιον. διττὸν δὲ καὶ τοῦτο, ἢ πρὸς θεούς, ἢ πρὸς τετελευτηκότας. ὅτι 46
ἡδύ, ὅτι μὴ μόνοι πράττομεν, μηδὲ πρῶτοι, ὅτι εἰ καὶ πρῶτοι, πολὺ κρεῖττον ἄρξασθαι καλῶν ἔργων, καὶ [15]
ὅτι μὴ μετάνοιαν φέρει πραχθέν· ὑπομνηστέον δὲ, καὶ εἴτι προϋπῆρκται ἀπὸ τοῦ προτρέποντος εἰς τὸν προτρεπόμενον, καὶ εἰ ἄλλοτε [16] πεισθεὶς ὠφελέθη. ὁ δὲ αὐτὸς

---

detur ponere pro εἴδομεν, quod nescio, an alibi occurrat. Ego mallem legere ὁρῶμεν. Scheff. 12 Distinque, ἡττημένοις. καὶ ὅσα etc. et mox punctum post προσώποις dele, locoque ejus scribe comma. Scheff. 13 Edd. ἀποδίδωμεν. Med. ἀποδίδομεν. Scripsi ἀποδιδῶμεν. 14 Rom. χύχῃ. 15 καὶ Med. Rom. Camer. om. posuit Heins. 16 Rom. Camer. ἄλ-

Digitized by Google

τρόπος ἔσται τῆς ἐπιχειρήσεως, κἂν αἰτώμεθά τι· ἀποτρέποντες δὲ ἀπὸ τῶν ἐναντίων ἐπιχειρήσομεν. παρηγοροῦντες [17] δὲ ἀπὸ τῆς τύχης ἐπιχειρήσομεν· οὕτω χρησόμεθα δὲ τοῖς λόγοις· ὅτι ἀναγκαῖον, καὶ πάντων κοινὸν τὸ γεγενημένον, καὶ [18] ἀκούσιον. ἥκιστα γὰρ οἱ νοῦν [19] ἔχοντες ἐπὶ τοῖς ἀκουσίοις λυποῦνται· ἐὰν δὲ ἑκούσιον ᾖ, ῥητέον, ὅτι αὐτὸς αὑτῷ αἴτιος. ὑπὸ γὰρ τῆς φιλαυτίας ἧττον λυποῦνται δι' ἑαυτοὺς δυστυχήσαντες· λεκτέον δὲ, ὅτι καὶ τούτου μεῖζον κακὸν ὑπάρχει, ὃ παθόντες ἕτεροι πάνυ [20] ἤνεγκαν εὐκόλως· πρὸς δὲ τούτοις, ὅτι εἰ κατὰ βραχὺ ἀνιαρόν ἐστιν, ἀλλ' οὖν καὶ καλὸν, καὶ ἔνδοξόν ἐστιν· ἔπειθ' ὅτι ὠφέλιμον, καὶ ὅτι μηδὲ [21] ὄφελος τῆς ἐπὶ τοῖς ἤδη γεγενημένοις λύπης· καὶ ὁ οἰκτος δὲ μεγάλην ἰσχὺν ἔχει πρὸς παραμυθίαν, μάλιστα ὅταν τις ἐπὶ κηδείᾳ τοὺς λόγους ποιήσαιτο· οἱ γὰρ ἀνιώμενοι πρὸς μὲν τούτους τοὺς οἰομένους μηδέν τι δεινὸν αὐτοὺς πεπονθέναι πεφύκασιν ἀντιτείνειν· καὶ πρὸς τῇ λύπῃ οἷον ὀργίζεσθαι τοῖς παραμυθουμένοις. παρὰ [22] δὲ τῶν συνολοφυρομένων, εὐμενέστερόν πως προσιέναι, ὡς παρ' οἰκείων, τὰς παρηγορίας· διόπερ μετὰ τοὺς θρήνους ἐποιστέον τῶν λόγων τοὺς νουθετικούς· ὅταν δὲ συγγνώμην αἰτῶμεν, τὰς ἀφορμὰς ἐντεῦθεν ἕξομεν· πρῶτον μὲν, ὅτι ἀκούσιον τὸ πραχθέν· τοῦτο δὲ, δι' ἄγνοιαν, ἢ τύχην, ἢ ἀνάγκην· ἐὰν δὲ ἑκούσιον ᾖ, λεκτέον, ὅτι ὅσιον, ὅτι σύνηθες, ὅτι ὠφέλιμον· ἐπιχειρεῖν δὲ δεῖ, ἐξ

λό τε. Heins. ἄλλο τι. Med. ἄλλοτε. 17 παρηγοροῦντες — ἐπιχειρήσομεν absunt a Med. et edd. Scheffer παρηγοροῦντες δὲ deesse dicit. Restitui παρηγορ. δὲ ἀπὸ τῆς τύχης ἐπιχειρήσομεν. Sic enim intelligitur, quomodo per ὁμοιοτέλευτον, cujus exempla congessi in ep. crit. p. 47., haec verba excidere potuerint, et δὲ, quod est post χρησόμεθα loco suo manet. 18 καὶ Med. om. 19 Med. νῦν. 20 Rom. Camer. πολύ. marg. Vict. πολλοί. Heins. Med. πάνυ. 21 Marg. Vict. μηδέν. 22

ὧν ἐνδέχεται τόπων. οὐ γὰρ πάντες ἁρμόττουσι πρὸς πάσας τὰς ὑπὸ τὸ αὐτὸ εἶδος οὔσας προσωποποιΐας· τοῦτο δὲ τὸ γύμνασμα μάλιστα ἠθῶν καὶ παθῶν ἐπιδεκτικόν [23] ἐστίν· ἁπλῶς μὲν οὖν ὡς ἐν εἰσαγωγῇ ἀπόχρη, κἂν ἐκ τοσούτων τόπων τὰ μειράκια γυμνάζηται. τοῖς δὲ ἀκριβέστερον καὶ τελειότερον [24] βουλομένοις τὰς προσωποποιΐας μεταχειρίζεσθαι, πάρεστι [25] καὶ ταῖς μικρὸν ὕστερον ῥηθησομέναις ἡμῖν ἀφορμαῖς τῶν ἐπιχειρημάτων πρὸς τὰς θέσεις χρῆσθαι.

Cap. XI.

Περὶ ἐκφράσεως. 10 47

Ἔκφρασίς ἐστι λόγος περιηγηματικὸς, ἐναργῶς ὑπ' ὄψιν ἄγων τὸ δηλούμενον. Γίνεται δὲ ἔκφρασις προσώπων τε καὶ πραγμάτων, καὶ τόπων, καὶ χρόνων. προσώπων μὲν οὖν, οἷον τὸ Ὁμηρικόν· [1]

Γυρὸς ἐὼν ὤμοισι, μελανόχροος, οὐλοκάρηνος.

καὶ τὰ περὶ τοῦ Θερσίτου· [2]

Φολκὸς ἔην, χωλὸς δ' ἕτερον πόδα, τὼ δὲ οἱ ὦμω
Κυρτὼ ἐπὶ στῆθος·

καὶ τὰ ἑξῆς. καὶ παρ' Ἡροδότῳ [3] τὸ εἶδος τῆς ἴβιδος, καὶ τῶν ἵππων τῶν ποταμίων, καὶ τῶν κροκοδείλων τῶν

Med. περί. 23 Edd. Med. ἐπιδεικτικόν. marg. Vict. ἴσως ἐπιδεκτικόν. Confunduntur hae formae Paus. I. 25. 5. ἔργα λαμπρότερα ἐπιδειξάμενος. Neapol. ἐπιδεξάμενος, VI. 1. 1. ἀλλὰ καὶ ἀποδειξάμενοι λαμπρὰ ἐς τὸν ἀγῶνα. Angel. ἀποδεξάμενοι. 24 Camer. Heins. τελειώτερον. Med. Rom. τελεωτ. 25 Med. et marg. Vict. πάρεστι χρῆσθαι.

1 Odyss. T. [246] ubi describit Euribatem focium. Scheff. Rom. γυρὸς μὲν ἔην ὤμοισι. ad marg. γυρὸς ἐν ὦμ. tum Cam. Scheff. μελανόχρονος. Rom. Med. μελανόχροος. 2 Il. B. Med. φοξὸς ἔην κεφαλὴν χωλὸς etc. 3 lib. II. ubi harum rerum omnium descriptionem legas. Scheff.

Digitized by Google

Αἰγυπτίων. πραγμάτων δὲ οἷον, φράσις [4] πολέμου, εἰρήνης, χειμῶνος, λιμοῦ, λοιμοῦ, σεισμοῦ. τόπων δὲ, οἷον [5] λειμῶνος, αἰγιαλῶν, πόλεων, νήσων, ἐρημίας, καὶ τῶν ὁμοίων. χρόνων δὲ οἷον ἔαρος, θέρους, ἑορτῆς, καὶ τῶν τοιούτων. αἱ δὲ κατὰ [6] τρόπον εἰσὶν ἐκφράσεις, ὁποῖαι τῶν σκευῶν, καὶ τῶν ὅπλων, καὶ τῶν μηχανημάτων, ὃν τρόπον ἕκαστον παρεσκευάσθη. ὡς παρὰ μὲν Ὁμήρῳ ἡ ὁπλοποιΐα [7], παρὰ Θουκυδίδῃ [8] δὲ ὁ περιτειχισμὸς τῶν Πλαταιέων, καὶ ἡ τοῦ μηχανήματος κατασκευή· κεραίαν μεγάλην δίχα πρίσαντες ἐκοίλαναν [9] ἅπασαν. ἐν δὲ τῇ ἐνάτῃ Κτησίας. οἷον, τὰ εἴδωλα τῶν Περσῶν, [10] ἐπὶ τοῖς μακροῖς ξύλοις ὁρῶντες ὑπὸ τὸν ὄρθρον πρὸς τὰς ἀκροπόλεις πόρρωθεν οἱ Λυδοὶ, εἰς φυγὴν ἐτράποντο, νομίσαντες τὴν ἀκρόπολιν πλήρη εἶναι Περσῶν, καὶ ἤδη ἑαλωκέναι. γένοιτο δ' ἂν τις καὶ μικτὴ ἔκφρασις, ὡς παρὰ Θουκυδίδῃ [11] καὶ Φιλίστῳ νυκτομαχία. νυκτομαχία [12] μὲν γὰρ καὶ νὺξ καιρός ἐστιν, ἡ δὲ μάχη πρᾶξις.

---

4 Med. Rom. φράσις. Camer. Heins. ἐκφράσεις. 5 Med. οἷων. 6 Vict. ad marg. τὸν τρόπον. 7 Sic vocatam puto apud veteres eam partem, quae agit de armis a Vulcano fabrefactis. Iliade Σ. Consule plane Aelianum nostrum l. VIII. c. 4. huc enim spectat. Scheff. 8 l. II. qui et sequens habet exemplum; l. IV. 100. ubi machina Boötiorum describitur, qua expugnarunt munimenta Atheniensium ad templum Apollinis Delii. Scheff. 9 Med. Rom. ἐκύλιον ἀνὰ πᾶσαν. Camer. et Heins. Thucydidis lectionem restituerunt. 10 Habes paene iisdem verbis ista, totamque historiam commemoratam apud Polyaenum l. VII. unde cognoscimus, Cyri fuisse hoc stratagema. Caeterum auctorem historiae hujus esse Ctesiam, haecque tendere l. IX. Persicorum, id ex nostro solo nunc addiscimus. Scheff. Rom. Camerar. κτῆσις ad marg. Vict. et Camer. κτησίας. 11 l. II. Philisti locum non adscribimus, quia periit. Scheff. 12 Med. Rom. νυκτομαχίᾳ. Camer.

Digitized by Google

ξις. συγγένειαν δὲ ἔχει τὸ γύμνασμα τοῦτο τῶν προειρημένων· [13] καὶ μὲν γὰρ περὶ οὐδενὸς ὡρισμένου ἐστὶν ἀμφότερα, ἀλλὰ κοινά, καὶ καθόλου ταύτῃ ὅμοια. διαφέρει δὲ ἀλλήλων, πρῶτον μέν, ὅτι ὁ μὲν [14] τόπος περὶ τῶν ἐκ προαιρέσεώς ἐστιν· ἡ δὲ ἔκφρασις τὰ πολλὰ περὶ τῶν ἀψύχων καὶ ἀπροαιρέτων [15] γίνεται. δεύτερον, [16] ὅτι ἐν μὲν τῷ τόπῳ τὰ πράγματα ἀπαγγέλλοντες προστίθεμεν καὶ τὴν ἡμετέραν γνώμην, ἢ χρηστὰ, ἢ φαῦλα λέγοντες εἶναι· ἐν δὲ τῇ ἐκφράσει ψιλὴ τῶν πραγμάτων ἐστὶν ἡ ἀπαγγελία, ἐπιχειρήσομεν δὲ, τὰ μὲν πράγματα [17] ἐκφράζοντες, ἔκ τε τῶν προγιγνομένων, [18] καὶ ἐκ τῶν συβαινόντων τούτοις· οἷον ἐπὶ πολέμου διεξελευσόμεθα, πρῶτον μὲν τὰ πρὸ τοῦ πολέμου, τὰς στρατολογίας, τὰ ἀναλώματα, τοὺς φόβους, τὴν χώραν δηουμένην, τὰς πολιορκίας, ἔπειτα δὲ [19] τὰ τραύματα, καὶ [20] τοὺς θανάτους, καὶ τὰ πένθη· ἐφ' ἅπασι δὲ, τῶν μὲν τὴν ἅλωσιν καὶ τὴν δουλείαν, τῶν δὲ τὴν νίκην, καὶ τὰ τρόπαια. ἐὰν δὲ τόπους, ἢ χρόνους, ἢ τρόπους, ἢ πρόσωπα ἐκφράζωμεν, μετὰ τῆς παρ' ἑαυτῶν διηγήσεως ἀφορμὰς ἕξομεν λόγων, καὶ ἐκ τοῦ καλοῦ, καὶ ἐκ 48

Heins. ἐν νυκτομαχίᾳ. 13 Camer. ad marg. adjecerat: πρὸς τὸν τόπον. quod Heins. in textum invexit. 14 Edd. μὲν ὁ. Med. ὁ μέν. 15 Hic ἀπροαίρετα non sunt, quae fiunt inconsulto, uti vertunt interpretes. Quis enim dubitat, quin ad ea, quae supra ut exempla seu argumenta rerum describendarum attulit, multum sit adhibitum consilii? Sed ea, quae fiunt sine nostra voluntate, qualia nimirum fiunt sine nobis a natura ipsa, ut prata, littora, solitudines, et similia, quae pariter supra nominavit, quod notandum. Scheff. 16 Marg. Vict. δεύτερον δέ. 17 Rom. πράγματος. marg. Vict. πράγματα. 18 Med. Camer. προγιγνομένων. Heins. προγενομένων. Rom. προσγιγνομένων. marg. Vict. προγ. 19 ἔπειτα δὲ in versione hac omissum est, quod recte servavit Camerarius in sua. Scheff. 20 καὶ edd. om., recepi ex Med. et marg.

Digitized by Google

τοῦ χρησίμου, καὶ ἐκ τοῦ ἡδέος· [21] οἷον Ὅμηρος ἐπὶ τῶν Ἀχιλλέως ὅπλων ἐποίησεν, εἰπὼν, ὅτι καὶ καλὰ ἦν, καὶ ἰσχυρὰ, καὶ ἰδεῖν τοῖς μὲν συμμάχοις ἐκπληκτικὰ, τοῖς δὲ πολεμίοις φοβερά· ἀρεταὶ δὲ ἐκφράσεως αἵδε· σαφήνεια μὲν μάλιστα, καὶ ἐνάργεια τοῦ σχεδὸν ὁρᾶσθαι τὰ ἀπαγγελλόμενα. ἔπειτα τὸ μὴ τελέως ἀπομηκύνειν περὶ τὰ ἄχρηστα. τὸ δὲ ὅλον συνεξομοιοῦσθαι χρὴ τοῖς ὑποκειμένοις τὴν ἀπαγγελίαν· ὥστε εἰ μὲν εὐανθές τι εἴη τὸ δηλούμενον, εὐανθῆ καὶ τὴν φράσιν εἶναι· εἰ δὲ αὐχμηρὸν, ἢ φοβερὸν, ἢ ὁποῖον δή ποτε, μηδὲ τὰ τῆς ἑρμηνείας ἀπᾴδειν τῆς φύσεως αὐτῶν· ἔνιοι μέντοί γε ἀξιοῦσι γυμνάζεσθαι καὶ τὴν ἔκφρασιν, ἀνασκευάζοντες καὶ κατασκευάζοντες τὰς ὑπό τινων εἰρημένας ἐκφράσεις· οἷον, ὅτι Ἡρόδοτος διέψευσται περὶ τοῦ εἴδους τῆς ἴβεως, λέγων ὅτι λευκότεραί [22] εἰσι, πλὴν κεφαλῆς τε καὶ αὐχένος, καὶ τοῦ πυγιαίου ἄκρου· τὸ γὰρ πυγιαῖον ὅλον λευκόν ἐστιν. Ἡμῖν δὲ οὐδὲν καινὸν [23] δοκοῦσι λέγειν παρὰ τὰ προειρημένα, διὰ τὸ τοιοῦτον εἶδος ὑποπίπτειν νομίζειν ἐν ταῖς τῶν διηγημάτων ἀνασκευαῖς τε καὶ κατασκευαῖς.

Cap. XII.

Περὶ Θέσεως.

Θέσις ἐστὶν ἐπίσκεψις λογικὴ, ἀμφισβήτησιν ἐπιδεχομένη, ἄνευ προσώπων ὡρισμένων καὶ πάσης περιστάσεως. οἷον, εἰ γαμητέον, εἰ παιδοποιητέον, εἰ θεοί εἰσι. Διαφέρει δὲ τοῦ τόπου, ὅτι ὁ μέν ἐστιν ὁμολογουμένου πράγματος αὔξησις, ἡ δὲ θέσις ἀμφισβητουμένου· διὸ

Vict. 21 Edd. ἡδέως. Med. marg. Vict. ἡδέος. 22 Med. λευκότεροι. 23 Rom. κενὸν, marg. Vict. καινόν. diximus de hac confusione ad Basilac. Ethop. 16.

Digitized by Google

καὶ Ἑρμαγόρας [1] μὲν αὐτὸν κρινόμενον προσηγόρευκε, [2] Θεόδωρος [3] δὲ ὁ Γαδαρεὺς κεφάλαιον ἐν ὑποθέσει. Διαφέρει δὲ καὶ τῇ ἐκβάσει, ὅτι ἐν μὲν τῇ θέσει τέλος ἐστὶ τὸ πεῖσαι, ἐν δὲ τῷ τόπῳ τὸ τιμωρίαν λαβεῖν· καὶ ὅτι λέγεται [4] ὁ μὲν τόπος ἐν δικαστηρίῳ, ἡ δὲ ἐν ἐκκλησίᾳ καὶ ἀκροάσει [5]. ἔτι τοῦ μὲν τόπου ἄκροῶνται δικασταὶ, τῆς δὲ θέσεως ἁπλῶς πολῖται· καὶ κατὰ ἄλλα πολλά· τῆς δὲ 49 προσωποποιΐας, ὅτι ἡ μὲν θέσις πρόσωπον οὐκ ἐκφαίνει, ἡ δὲ προσωποποιΐα, ὅτι πλεῖστον ἀναφέρεται ἐν τῇ τῶν οἰκείων λόγων εὑρέσει τοῖς εἰσαγομένοις προσώποις· οὐ γὰρ τῷ αὐτῷ τρόπῳ τις τοὺς λόγους διαθήσεται, ἁπλῶς σκοπῶν, εἰ παιδοποιητέον, καὶ παρεισάγων πατέρα συμβουλεύοντα τῷ υἱῷ παιδοποιήσασθαι. Ληψόμεθα δὲ τὰ προοίμια τῶν θέσεων, ἤτοι ἀπὸ γνώμης κατασκευαζούσης τὴν θέσιν, ἢ ἀπὸ παροιμίας, ἢ χρείας, ἢ ἀποφθέγματος χρησίμου, ἢ ἱστορίας, ἢ ἀπὸ ἐγκωμίου, ἢ ψόγου τοῦ πράγματος, ὑπὲρ οὗ τὸ ζήτημα. διήγησιν δὲ οὐκ ἔχομεν ἐν ταῖς θέσεσιν· ὑπόκειται γὰρ τὸ πρᾶγμα ἀπερίστατον [6]· ἀλλὰ μετὰ τὸ προοίμιον τάξομεν τὰ κεφά-

1 Rhetor, Posidonii philosophi aequalis, quocum disputavit praesente Pompejo de honestate, ut Plutarchus docet in vita Pompeji. Romae scholam habuit tempore Augusti, Suida teste. Locus hic haud dubie legebatur in libris rhetoricorum, quos scripsisse idem tradit Suidas. Scheff. 2 Med. προσηγόρευκε. edd. προσηγόρευκεν. 3 Magister Tiberii, ut constat ex Suetonii Tib. cap. 57. Adde Suidam. Scheff. 4 Puta cum in causa et oratione justa usurpatur. Nam progymnasmatum quidem alias in foro vel concione locus fuit nullus, sed in schola, vel auditorio. Scheff. 5 Reddunt scholam. Puto nostrum non tam scholam intelligere, quam locum quemcumque, ubi audiendi gratia cives conveniunt, si quid publice significandum. Certe civium mox facit mentionem, omissis et exceptis cunctis aliis, atque ideo et discipulis, quorum locus et conventus proprius est schola. Scheff. 6 Rom. nudam

Digitized by Google

λαια· ἐπεὶ δὲ τῶν θέσεων, αἱ μέν εἰσι θεωρητικαὶ, ὅθα θεωρίας ἕνεκα καὶ γνώσεως μόνον ζητοῦνται· οἷον εἰ θεοὶ προνοοῦνται τοῦ κόσμου· αἱ δὲ πρακτικαὶ εἴς τινα πρᾶξιν τὴν ἀναφορὰν ἔχουσαι[7], οἷον, εἰ γαμητέον, φανερὸν, ὅτι αἱ μὲν πρακτικαὶ καὶ πολιτικώτεραί εἰσι, καὶ κατὰ τὸν ῥητορικὸν χαρακτῆρα· αἱ δὲ θεωρητικαὶ μᾶλλον τοῖς φιλοσόφοις ἁρμόττουσιν, αἷς οὐδὲν ἧττον ἐγχειρεῖν καὶ τοῖς ῥητορικοῖς δυνατόν ἐστιν, ἀπὸ τῶν πρὸς τὰς πρακτικὰς θέσεις τόπων ὁρμωμένοις[8]. Οὐδὲν μέντοι διαφέρει, ἐάν τε οὕτω λέγῃ τις· εἰ γαμητέον, ἢ οὔ. καὶ πάλιν, εἰ αἱρετέος ὁ γάμος, ἢ φευκτέος· ἓν γὰρ καὶ ταὐτό ἐστι διὰ πάντων τοῦτο τὸ δηλούμενον· τῶν μὲν οὖν πρακτικῶν θέσεων τὰ ἀνωτάτω κεφάλαια καταλαμβάνεται· κατασκευάζοντι μὲν ἐκ τοῦ ἀναγκαίου καὶ τοῦ καλοῦ, καὶ τοῦ συμφέροντος, καὶ τοῦ ἡδέος· ἀνασκευάζοντι δὲ ἐκ τῶν ἐναντίων· εἰς ἑκάστην δὲ ἐπιχειρήσομεν, ἐξ ὧν τόπων δυνατόν ἐστιν. Ὡς γὰρ ἐπισημαινόμεθα, οὐχ οἷόν τέ ἐστιν ἐκ πάσης ἀφορμῆς πρὸς πᾶν πρόβλημα ἐπιχειρεῖν· εἰσὶ δὲ καὶ οἱ τόποι οἵδε· πρῶτον μέν, ὅτι δυνατὸν γενέσθαι τὸ ἀξιούμενον διὰ τῆς θέσεως· δεύτερον δὲ ὅτι κατὰ φύσιν, καὶ κατὰ[9] τὰ κοινὰ πάντων ἀνθρώπων ἔθη τε καὶ νόμιμα. οὐ γὰρ ἀπόχρῃ πρὸς τὸ[10] πρᾶξαί τι[11], τὸ δυνατὸν αὐτὸ εἶναι, ἐὰν μὴ κατὰ φύσιν καὶ κατὰ νόμον ὑπάρχῃ· τρίτον, ὅτι ῥᾴδιον γενέσθαι· εἰ δὲ μὴ ῥᾴδιον εἴη, δυνατὸν δὲ πραχθῆναι, ὅτι πολὺ πλέον οὕτως

---

vertunt. Admodum obscure, sicut ego judico. Nempe hoc vult, in thesi nullas addi circumstantias personae, temporis et similium, ut an Alexandro Macedoni, tantorum regnorum domino, sit ducenda uxor. Scheff. 7 Med. ἔχουσιν. 8 Med. ὁρμωμένοις. Rom. ὁρμωμένας. Camer. Heins. ὁρμωμένους. 9 τὰ Edd. om. absorptum a praecedente κατά. recepi ex Med. 10 Med. πρὸς τό. Edd. πρὸς τῷ. Diximus de hac confusione ad Alex. de fig. c. 1. 11 τι Edd. om. recepi ex Med.

Digitized by Google

ἐπαινετόν ἐστιν, εἰ[12] μὴ ῥᾷδιον ἦν· ἔπειθ' ὅτι μὴ μόνοι πράττομεν, ἀλλὰ καὶ ἕτεροι πολλοί· ἐξῆς, ὅτι μὴ πρῶτοι, ἀλλὰ καὶ ἄλλοι πρὸ ἡμῶν, εἰ δὲ καὶ μόνοι, ἢ πρῶτοι, ἀλλ' ὅτι ποτὲ κρεῖττον ἄρξασθαι ἔργων καλῶν· ἐπαινετώτερον[13] δὲ καὶ τὸ μόνον, ἀλλὰ μὴ μεθ' ἑτέρου, εἶθ' ὅτι ἁρμόττει, εἶθ' ὅτι ὅσιον. διττὸν δὲ τοῦτο· ἢ γὰρ θεοῖς κεχαρισμένον, ἢ τετελευτηκόσιν[14]. ἐφεξῆς δὲ, ὅτι ἀναγκαῖον. εἶθ' ὅτι ἔνδοξον, καὶ ὅτι λυσιτελές, καὶ ὅτι πρὸς ἀσφάλειαν ἐπιτήδειον, καὶ ὅτι προκαταρκτικόν ἐστι κρειττόνων πραγμάτων· ὅτι ἡδύ, καὶ ὅτι εἰ μὴ πραχθῇ, μετάνοιαν φέρει, καὶ δυσεπανόρθωτόν ἐστιν. ἐκ δὲ τοῦ ἐναντίου· εἰ γὰρ τὸ ἐναντίον οὐ πρακτέον, τοῦτο πρακτέον· καὶ εἰ τὸ ἐναντίον αἰσχρὸν, τοῦτο καλόν· καὶ εἰ ἐκεῖνο ἀσύμφορον, τοῦτο συμφέρον· καὶ εἰ τὸ ἐναντίον ἀηδές, τοῦτο ἡδύ. τὸν αὐτὸν δὲ[15] τρόπον, καὶ ἐκ τοῦ

12 Med. Rom. εἰ μὴ. Cam. Heins. ἢ εἰ. 13 Ἐπαινετώτερον δὲ — ἁρμόττει absunt ab edd. recepi ex Med. et marg. Vict. 14 Edd. τελευτηκόσιν. 15 Med. marg. Vict. δή. frequens confusio: Phöbamm. II. 2. ἑνὶ μόνῳ εἶδει αὐτῆς συνέπεσε, λέγω δὲ τῇ ἐλλείψει. Par. δή. Menand. p. 637. ὁρῶμεν δὲ καὶ τὴν φύσιν τοῦ παντὸς πειθομένην ταῖς τῆς φύσεως ἀνάγκαις. Med. 2. δή. pag. 638. διαιρήσεις δὲ τὴν μονῳδίαν εἰς χρόνους. Par. δή· Vita Josephi c. 15. πάντων δὲ τῶν διδομένων ὡς μὴ χρῄζων κατεφρόνησα. Par. 1423. δή. c. 22. ὑπισχνουμένου δὴ πάντα ποιήσειν ἐκείνου. Par. 1423. δέ. cap. 44. βουλεύσασθαι δὴ σύν σοι θέλοντες. Par. 1423. δέ. bell. Jud. II. 3. 4. Ἰουδαίους δὴ ἥ τε τῶν ἔργων etc. Par. 1429. δέ. II. 17. 8. καταλιπόντες δὴ τὸ στρατόπεδον. Par. 1429. δέ. VII. 6. 5. ἀθρόοι δὴ, καὶ μετὰ βοῆς ἅίξαντες. Par. 1426. δέ. Pausan. I. 17. 6. Κίμωνος τοῦ Μιλτιάδου Σκυθίους ποιήσαντος ἀγαστάτους, δίκην δὴ τοῦ Θησέως θανάτου. Neapol. Riccard. δέ. III. 20. 7. ἐκ τούτου δὴ τοῦ Ἕλους ξόανον Κόρης — ἀνάγουσιν εἰς τὸ Ἐλευσίνιον. Angel. δέ. VII. 2. 6. πολλῷ δὲ πρεσβύτερα ἔτι ἢ κατὰ Ἴωνας τὰ εἰς τὴν Ἄρτεμιν τὴν Ἐφεσίαν ἐστίν. Codices Bekkeri δή. Buttmannus δὲ,

Digitized by Google

ὁμοίου· εἰ γὰρ τὸ ὅμοιον αἱρετὸν, καὶ τοῦτο αἱρετόν· ὁμοίως δὲ καὶ ἐκ τοῦ ἐλάττονος καὶ ἐκ τοῦ μείζονος, καὶ ἐκ τοῦ μέρους, καὶ ἐκ τοῦ τέλους, οὗ χάριν καὶ τὸ πρᾶγμα αἱρούμεθα· εἰ γὰρ τὸ τέλος αἱρετὸν, καὶ τὸ ποιητικὸν τοῦ τέλους αἱρετόν. μετὰ δὲ ταῦτα, ἐκ τῆς περιοχῆς· ὅτι πολλὰ ἐν αὐτῷ περιέχει πράγματα καλὰ, ἢ συμφέροντα, ἢ ἡδέα. εἶτα ἐκ τῶν πρὸ τοῦ πράγματος ἐπιχειρήσομεν, καὶ ἐκ τῶν περὶ αὐτὸ τὸ πρᾶγμα· καὶ τρίτον, ἐκ τῶν μετὰ τὸ πρᾶγμα· ἐὰν μέν τοί τις καὶ τῶν τελεωτέρων εἴη, ληπτέον καθ' ἕκαστον τῶν προειρημένων τόπων, καὶ τὰς τῶν ἐπισήμων ἀνδρῶν, ποιητῶν τε, καὶ πολιτικῶν, καὶ φιλοσόφων μαρτυρίας· ἔτι δὲ καὶ εἴ που τινὲς ἱστορίαι συνᾴδουσι τοῖς λεγομένοις· καὶ τούτων μνημονευτέον, μὴ χύδην, μήδ' ὡς ἔτυχεν, ἀλλὰ κατὰ αὔξησιν ποιουμένους τὰ παραδείγματα· πρῶτον, ἀπὸ τῶν ἑνὶ ἀνδρὶ καὶ ἰδιώτῃ πεπραγμένων, ἔπειτα ἀπὸ τῶν ἄρχοντι, ἢ βασιλεῖ· ἑξῆς δὲ, ἀπὸ τῶν πόλει. καὶ ἐπὶ[16] πᾶσιν ἀπὸ τῶν χώραις τισὶν ἢ ἔθνεσι γεγενημένων· μὴ μέν τοι ὥστε ἀνάπλεων ἱστοριῶν καὶ ποιημάτων τὸν λόγον γενέσθαι· ἐκ δὲ τῶν ἐναντίων ἀνασκευαστέον. τὴν δὲ τάξιν ποιησόμεθα τῶν ἐπιχειρημάτων, καθὰ καὶ τὴν τῶν τόπων ἐποιησάμεθα, ἄνωθεν ἀπὸ τῶν πρώτων ἀρχόμενοι, καὶ προϊόντες μέχρι τῶν τελευταίων. παραδείγματος δὲ ἕνεκα, ἔστω τις θέσις πρώτη ἀπὸ τῶν πρακτικῶν· οἷον, εἰ πολιτεύεται σοφός[17]. τῷ μὲν οὖν κατασκευάζοντι, ὡς χρὴ πολιτεύεσθαι, λεκτέον πρῶτον μὲν, ὅτι δυνατόν ἐστι τῷ σοφῷ πολιτεύεσθαι· δεύτερον δὲ, ὡς κατὰ φύσιν ἐστίν· οἷον ὅτι καὶ ἐν θηρίοις ὑπάρχει πολιτεία, καὶ ἑκάστης ἀγέλης ἐστί τις ἡγεμών, καὶ ὅτι παρὰ βαρβάροις καὶ παρ' Ἕλλησι, καὶ παρ' αὐτοῖς (ὡς λόγος) τοῖς θεοῖς, ἀεὶ ἄρχουσιν οἱ σπουδαιότατοι. ἑξῆς δὲ,

quod confirmat Angel. 16 ἐπὶ Heins. om. 17 De quo nimirum fuit controversia inter Stoicos et Epicureos. Scheff.

Digitized by Google

ὅτι καὶ ῥᾴδιον τῷ σοφῷ πολιτεύεσθαι. ἐγγεγυμνασμένος γὰρ ταῖς περὶ ἠθῶν ἀνθρωπίνων πραγματείαις οὐκ ἀῤῥύθμως ἀνθρώπων προστήσεται. ἔπειτα, ὅτι εἰ καὶ μὴ ῥᾴδιον ἦν, ἀλλὰ προὐργιαίτερόν[18] γε χρὴ τίθεσθαι τῶν 51
πόνων τὴν τῆς πόλεως εὐδαιμονίαν. ἐξῆς δὲ ὅτι καὶ συν- 5
αγωνιστὰς ἔχει πολλοὺς τοὺς[19] συμπολιτευομένους. καὶ ὅτι μὴ πρῶτος, ἀλλὰ πολλοὶ ἐπολιτεύσαντο σοφοί· Πιττακὸς, Σόλων, Λυκοῦργος, Ζάλευκος, ἄλλοι μυρίοι. ἔπειθ', ὅτι καὶ εἰ[20] μηδεὶς ἦν πολιτευόμενος[21] καὶ πάλαι, καὶ νῦν, ἀλλ' ἐπαινετώτερός γε ἀρχόμενος καλῶν 10
ἔργων· μετὰ δὲ ταῦτα, ὅτι ἁρμόττει τῷ σοφῷ πολιτεύεσθαι. τίς γὰρ ἄμεινον αὐτοῦ κρινεῖ τὰ δίκαια, καὶ συμβουλεύσεται τὸ συμφέρον, καὶ νόμους, καὶ ψηφίσματα εἰσηγήσεται, καὶ ἀδωροδόκητα ταῦτα διαπράξεται; ἐν τίνι δὲ ἔργῳ μᾶλλον ἐπιδείξεται τὴν ἀρετὴν, καὶ τὴν πρὸς 15
τὸν θεὸν ὁμοιότητα; πρὸς δὲ τούτοις, ὅτι δίκαιον, ἀποδοῦναι τῇ πατρίδι, καὶ τοῖς πολίταις, καὶ τοῖς πατρῴοις θεοῖς τὰς ἀμοιβὰς τῆς παρ' αὐτοῖς τροφῆς καὶ παιδείας. ἔπειθ' ὅτι ὅσιον, καὶ κεχαρισμένον ἐστὶ τοῖς θεοῖς, τοὺς ἀνθρώπους καλῶς πολιτεύεσθαι· ἐξῆς δὲ ὅτι καὶ 20
τοῖς κατοιχομένοις ἡδύ ἐστι ζώσεσθαι τοὺς συγγενεῖς. εἶθ' ὅτι ἀναγκαῖόν ἐστι τῇ πόλει ἔχειν τινὰ τὸν προνοούμενον[22] αὐτῆς, καὶ μάλιστα σπουδαῖον· ἄνευ γὰρ τούτου πόλις οὐκ ἂν δύναιτο συστῆναι· μετὰ δὲ ταῦτα, ὅτι καὶ αὐτὸς ἑαυτοῦ τις ἐνδοξότερος γίνεται πολιτευό- 25
μενος, κἂν τέως ἀφανὴς ἦν· ἔπειθ' ὅτι λυσιτελέστατα ἂν τὸν καθ' ἡμέραν βίον διάγοι εἰς χρημάτων λόγον[23],

18 Rom. Camer. προὐργιαίστερον, quod quamvis correxerit Camer. in corrigendis, tamen a Heins. et Scheff. repetitum est. 19 Med. τοὺς συμπολιτευομένους. Edd. τῶν συμπολιτευομένων. 20 Camer. ὅτι καὶ μηδ. Rom. Heins. ὅτι εἰ καὶ μ. Med. ὅτι καὶ εἰ μ. 21 Med. marg. Vict. πεπολιτευμένος. 22 Edd. τῶν προνοουμένων. Med. τὸν προνοούμενον. 23 Suspicor hic

Digitized by Google

καὶ ὅτι ἀσφαλέστατα τοῦ παρὰ τῶν συκοφαντούντων καὶ ἐπιβουλευόντων φθόνου ἀπηλλαγμένος· ἐξῆς δὲ ὅτι ἄρχει, καὶ προηγεῖται τὸ πολιτεύεσθαι τὸν σοφὸν μειζόνων τε καὶ καλλιόνων πραγμάτων, οὐ μόνον ἰδίᾳ, ἀλλὰ καὶ κοινῇ, καὶ ὅτι καὶ ἥδιστος ὁ βίος τῶν πολιτευομένων· τοῦτο δὲ σχεδὸν παρακολουθεῖν πέφυκε καὶ τοῖς πλείστοις τῶν προειρημένων τόπων· ἔτι δὲ πρὸς τούτοις, ὅτι ἀμεληθεῖσα πολιτεία, καὶ μεταβολὴν ἐπὶ τὸ κακὸν λαβοῦσα, δυσεπανόρθωτός ἐστι, καὶ τῷ πρὶν γενέσθαι πονηρὸν ἠμεληκότι μετάνοια γίνεται, ὅτε μηδὲν ὄφελος· ἐξῆς δὲ ἐκ τῶν ἐναντίων· εἰ γὰρ τὸ ἀντιπράττειν τῇ πατρίδι αἰσχρὸν, τὸ πολιτεύεσθαι καλόν· εἰ ἐκεῖνο ἀσύμφορον, τοῦτο συμφέρον· καὶ εἰ ἐκεῖνο ἀηδὲς, τοῦτο ἡδύ. καὶ εἰ τὸ ὅμοιον τῷ πολιτεύεσθαι, ἔστω δὲ τὸ ἐπιμελεῖσθαι τῶν νέων, εἰ καλόν ἐστι καὶ συμφέρον, καὶ ἡδὺ, καὶ αὐτὸ τὸ πολιτεύεσθαι καλόν ἐστι, καὶ συμφέρον, καὶ ἡδύ. ἐκ δὲ τοῦ ἐλάττονος ἐπιχειρήσομεν οὕτως· εἰ μιᾶς οἰκίας τῷ σπουδαίῳ φροντιστέον, καὶ πόλεως μιᾶς ἐπιμελητέον. ἐκ δὲ τοῦ μέρους, ὅτι εἰ ἕνα νόμον συμφέροντα, ἐπεὶ καὶ μίαν συμβουλὴν εἰσηγητέον τῷ σπουδαίῳ, καὶ ὅλην τὴν πολιτείαν. ἀνάπαλιν δὲ ἐκ τοῦ ὅλου, εἰ καθολικὴν[24] πολιτείαν εἰσηγεῖται τοῖς ἀνθρώποις ὁ σοφὸς, ὥσπερ καὶ Πλάτων ἐν τῇ πολιτείᾳ, δίκαιός ἐστι καὶ ἐν τῇ ἑαυτοῦ πατρίδι πολιτεύσασθαι· μετὰ δὲ ταῦτα διελευσόμεθα τὴν εὐδαιμονίαν τῆς πόλεως ἐν εἰρήνῃ τε καὶ παρὰ τὸν πόλεμον, καὶ ἁπλῶς παρ' ὁντιναοῦν[25] χρόνον, ἅπερ τελευτὴ τοῦ καλῶς πολιτεύσασθαί ἐστιν. εἶτα ἐκ τῆς περιοχῆς· ὅτι λόγῳ μὲν καὶ τῷ δοκεῖν ἔν τι μέλλει τῇ πόλει χαρί-

aliqua excidisse, atque post διάγει asteriscum pono. Certe quid pecunia hic faciat ad praecedentia, non despicio. Scheff. nimis argutari videtur. 24 Sic appellat artem, qua in universum quaelibet resp. recte possit gubernari. Valde obscura est interpretatio. Scheff. 25 Conjunctim. Alias dividunt,

Digitized by Google

ζεσθαι τὸ πολιτεύσασθαι, ἔργῳ δὲ πολλά ἐστι. κατὰ γὰρ τοὺς περὶ τὸν Ἀριστοτέλην [26] ἀνάγκη τὸν πολιτευόμενον περὶ πολέμου καὶ εἰρήνης συμβουλεῦσαι, καὶ περὶ [27] χρημάτων, καὶ περὶ φυλακῆς τῆς χώρας, καὶ περὶ τῶν εἰσαγωγίμων, καὶ ἐξαγωγίμων, καὶ περὶ νομοθεσίας τε καὶ τῶν ἄλλων τοιούτων. τῶν δὲ πρὸ τοῦ πράγματος τόπων, καὶ τῶν παρ' αὐτὸ τὸ πρᾶγμα, καὶ μετὰ τὸ πρᾶγμα, δυνατὸν μὲν καὶ ἐπὶ τῆς προκειμένης θέσεως παραδείγματα ἐκθέσθαι· σαφέστερα δὲ ἔσται, ἐφ' ἑτέρας, οἷον, εἰ παιδοποιητέον. λαβόντες γὰρ τὸν γάμον, καὶ πάντα ἁπλῶς, ὅσα ἀνάγκη τῆς παιδοποιΐας προϋπάρξαι, ἐπαινεσόμεθα, δεικνύντες καλὰ, καὶ συμφέροντα, καὶ ἡδέα, καὶ εἶθ' ἑξῆς παρομαρτοῦντα τῇ παιδοποιΐᾳ· μετὰ δὲ ταῦτα τὰ ἐπιγιγνόμενα· οἷον, τὰς γηροκομίας καὶ γηροβοσκίας, καὶ τὰς τῶν τέκνων εὐπραγίας, καὶ ἡδονὰς, καὶ τὰ παραπλήσια· ἐκ δὲ τῶν ἐναντίων εὐπορήσομεν εἰς ἀνασκευήν· περὶ μὲν οὖν τῆς πρακτικῆς θέσεως τοσαῦτα. φέρε δὴ πειραθῶμεν καὶ τῶν θεωρητικῶν τινα διελεῖν [28], ἐκ τῶν αὐτῶν τόπων ὁρμώμενοι· οὐ μέντοι τὴν αὐτὴν τάξιν κἀνταῦθα φυλάξομεν, ἥνπερ ἐπὶ τῶν πρακτικῶν· ἀλλ' ὡς ἂν φανῆται τῷ προτεθέντι προβλήματι ἁρμόττειν, οὕτω καὶ ποιησόμεθα· ἴσως δ' ἄμεινον τὸ αὐτὸ ποιεῖν, καὶ ἐπὶ τῶν πρακτικῶν. ἁρμόττουσα δὲ τάξις ἑκάστῳ προβλήματί ἐστιν, ὅταν τὸ καταρχὰς τὰ ἁπλούστερα [29] καὶ κουφότερα τῶν ἐπιχειρημάτων λέγοντες ἢ [30] καὶ μᾶλλον προϊόντες, τὰ πληκτικώτερα καὶ βαρύτερα λαμβάνωμεν· καὶ ὅταν τὰ κατασκευαστικὰ τινων πρὸ ἐκείνων τάττωμεν [31], ὧν ἐστι κατασκευαστικά· καὶ ὅταν

ὅν τινα οὖν, quod notandum. Scheff. 26 l. I. Rhetoricorum c. 4. Scheff. 27 Med. πόρου. 28 Jac. Leopardus conjecit διελθεῖν. vide epist. crit. p. 41. 29 Med. τὰ κουφότερα καὶ ἁπλούστερα. etiam Victor. editionum ordinem transponit. 30 ἢ Edd. om. est in Med. 31 Med. Rom. ταττό-

Digitized by Google

τὰ ἀσθενῆ μεταξὺ τῶν ἰσχυροτέρων παρεμβάλλωμεν, καὶ ὅσα ἄλλα λέγεται ἐν τοῖς περὶ τάξεως[32]· ἔστω δ' οὖν ἡμᾶς ζητεῖν, εἰ προνοοῦσι θεοὶ τοῦ κόσμου· οὐκοῦν πάλιν ἐροῦμεν, ὅτι δυνατόν ἐστι τοῖς θεοῖς προνοεῖν ἡμῶν, καὶ μηδὲν αὐτοὺς[33] ἐλαττοῦσθαι ἐκ τῆς περὶ τὸν κόσμον φροντίδος· ἔπειθ' ὅτι ῥᾴδιόν ἐστι τῷ θεῷ, καὶ ἄνευ πάσης πραγματείας· ἐξῆς, ὅτι καὶ[34] δαίμονας, καὶ ἥρωας[35], καὶ ἄλλους θεοὺς συναγωνιστὰς ἔχει ταύτης τῆς φροντίδος· εἶθ' ὅτι πάντες ἄνθρωποι, Ἕλληνές τε καὶ

μενά ἐστι κατ. 32 Hic οἱ περὶ τάξεως mea sententia sunt libri, qui agunt de instruendis aciebus. Ita namque inscripserunt veteres hos libros, quos recentiores nominarunt τακτικά. Sic Aeliani libri hujus argumenti sunt inscripti περὶ στρατηγικῶν τάξεων Ἑλληνικῶν, ut habent codices vetustiores, quem proinde titulum eorum, inductus autoritate hujus loci, puto esse verum. Certe talem adversariorum argumentorum destruendorum rationem aciei comparari, est notissimum et receptissimum. Vide Fabium l. XII. c. 12., qui propterea ibi aciem Homericam adducit. Interpretes non sunt assecuti. Scheff. 33 Edd. αὐτό. Med. αὐτούς. Per omnes hujus pronominis formas percurrit confusio, nata, opinor, ex scriptione ἀυ$^{\tau}$, unde scribarum licentiae locus datus. Sopat. ζητ. p. 289. Ald. et Vind. ἐὰν δὲ ὦσι μάρτυρες, διαβάλλειν αὐτά^{ούς}. Par. αὐτά. Med. αὐτούς. Vita Josephi c. 11. πέμψας αὐτὸν διάδοχον. Par. 1423. αὐτῷ. c. 24. φρουρεῖν αὐτοῖς ἀσφαλῶς τὰς ὁδοὺς προστάξας. Par. 1423. αὐτόν. c. 33. ὁμολόγουν δ' εἰς τὸ λοιπὸν αὐτοῖς συγγνώσεσθαι. Cod. αὐτός. c. 35. καὶ αὐτοῖς δὲ ταὐτὰ συνεβούλευον ποιεῖν. Cod. αὐτούς. c. 39. μηδ' εἰς πολλοὺς ἐκφέρειν τοὺς λόγους αὐτῶν. Cod. αὐτῷ. c. 42. τῷ περὶ αὐτῶν δέει. Cod. αὐτόν. c. 44. ἐπέμφθημεν ἐπιπλήξοντες αὐτῷ. Par. αὐτόν. bell. Jud. VII. 10. 1. οὐκ ἔτ' ἀσφαλὲς αὐτοῖς ἐνόμιζον περιορᾶν. Par. 1423. 1426. 1428. αὐτούς. 34 καὶ Edd. om. recepi ex Med. 35 Ita veteres pagani. Vide Onatum apud Stobaeum in Ecl. Phys. initio, et Sallustium de Diis et Mundo c. 6. et alibi.

Digitized by Google

βάρβαροι, ἔννοιαν περὶ τῶν θεῶν ἔχουσιν ὡς προνοοῦσιν ἡμῶν. σημεῖον δὲ· οὐ γὰρ ἂν βωμοὶ, καὶ ναοὶ, καὶ χρηστήρια θεοῖς ἀνετίθετο, ἐφ' οἷς ἕκαστοι[36] εὖ πεπόνθασιν, ἐν λιμῷ, ἢ λοιμῷ, ἢ πολέμῳ, ἢ τινι τῶν τοιούτων, ὡς ἀπαλλαγέντες· οὐδ' ἂν πάντη[37] προσήκαντο νοῦν, καὶ μάλιστα ὁπότε περὶ τῶν μεγίστων κινδυνεύοιεν· ἐξῆς δὲ ὅτι καὶ τοῖς σοφοῖς δοκεῖ· οἷον, Πλάτωνι, Ἀριστοτέλει, Ζήνωνι· εἶθ' ὅτι τοῖς νομοθέταις· οὐ γὰρ ἂν ἀσεβείας[38] ἦσαν γραφαί. εἶθ' ὅτι ἔνδοξοί εἰσι μάλιστα, οἱ ἡγούμενοι προνοεῖν ἡμῶν τοὺς θεούς· εἶθ' ὅτι ἀσφαλέστατα[39] ἂν οὗτοι καὶ προσεχόντως τὸν βίον διάγοιεν, νομίζοντες ἔχειν ἐπισκόπους ἀεὶ πασῶν τῶν κατὰ τὸν βίον πράξεων· καὶ ὅτι μάλιστα ἡδέως ζῶσιν οἱ ἡγούμενοι ἐπιμελητὰς ἔχειν τοὺς θεούς· μετὰ δὲ ταῦτα, ὅτι δίκαιος ὢν ὁ θεὸς, οὐκ ἂν ἀπρονοήτους περιεώρα τοὺς σεβομένους αὐτόν. ἔπειθ' ὅτι ἡ φύσις τῶν ὅλων μαρτυρεῖ κατὰ πρόνοιαν πάντα γεγενῆσθαι τῆς σωτηρίας ἕνεκα τῶν ἐν κόσμῳ. αἵ τε γὰρ τοῦ ἔτους ὧραι κατὰ καιρὸν τὰς μεταβολὰς λαμβάνουσαι, αἵ τε ὄμβροι καὶ καρποὶ καθ' ὥραν γινόμενοι, καὶ τὰ μέρη δὲ τῶν ὡρῶν ὡς εὖ δεδημιούργηται ὑπὸ τῆς φύσεως, πρὸς διαμονὴν καὶ σωτηρίαν αὐτῶν· καθάπερ

Scheff. 36 Med. ἕκαστος. 37 Edd. et Med. οὐδ' ἂν παντὶ [Med. h. l. repetit ἂν] προσήκοντο νοῦν. Camer. vertit: neque consilium ubique adhiberent, ceterum asterisco posito hesitationem suam significat. Heins.: „Neque illius rei rationem, in maximis praesertim periculis, haberent.“ Equidem scripsi: οὐδ' ἂν πάντῃ προσήκαντο νοῦν, neque omnino sensum admitterent s. haberent. De confusione formae παντὶ et πάντῃ vide Jacobs ad Achill. T. p. 539. προσήκοντο stare nullo modo potest. 38 Rom. εὐσεβείας. corr. Victor. 39 Vertunt tutissime. Atque tales saepe maximis expositi periculis. Itaque mallem reddere per constantissime, firmissime. Vult enim, hos non fluctuare, ac jam honestatem, jam vitia sequi, sed eodem semper tenore virtutis incedere. Scheff.

Digitized by Google

καὶ Ξενοφῶν ἐν τοῖς ἀπομνημονεύμασι δηλοῖ· εἶθ' ὅτι τοῦτο πάντων μάλιστα ἁρμόττει τῷ θεῷ, τὸ προνοεῖν τοῦ κόσμου. οὐ γὰρ δὴ ὅσιον, ἀργὸν καὶ ἄπρακτον τὸν θεὸν εἰπεῖν, ἢ νὴ Δία τοιαύτας ἔχειν ἀσχολίας, οἵας ἡμεῖς τῷ θνητοὶ εἶναι καὶ ἀσθενεῖς ἀναγκαίως ἀσχολούμεθα[40]. εἶθ' ὅτι ἀναγκαῖόν ἐστι τὸ πρόνοιαν εἶναι· εἰ γάρ τις τὸ προνοεῖν περιέλοι τοῦ θεοῦ, ἀνῄρηκε[41] καὶ ἣν ἔχομεν περὶ αὐτὸν ἔννοιαν, δι' ἣν καὶ[42] εἶναι αὐτὸν ὑπολαμβάνομεν. ἐκ γὰρ τῆς περὶ ἡμᾶς αὐτοῦ φροντίδος τοῦ θεοῦ, καὶ ὅτι ὑπάρχει πεπιστεύκαμεν. ἔπειθ' ὅτι οὐδὲ τὴν ἀρχὴν συνέστη ὁ κόσμος, εἰ μή τις ἦν πρόνοια. ὥσπερ γὰρ οὐδὲ οἰκία ἄνευ τοῦ οἰκοδόμου δύναται γενέσθαι, ἐξ αὐτομάτου συνδραμόντων τῶν πλίνθων, οὐδὲ πλοῖον ἄνευ τοῦ ναυπηγοῦ, οὐδὲ ὅλως τι τῶν εὐτελεστάτων, ἢ τιμιωτάτων, ἄνευ τοῦ περὶ ἕκαστον δημιουργοῦ, οὕτω γελοῖόν ἐστι φάναι, τὸ καλλιστον καὶ τιμιώτατον
54 ἁπάντων τῶν ὄντων, τὸν κόσμον μὴ ὑπὸ καλλίστου τινὸς καὶ θειοτάτου δημιουργοῦ γεγονέναι, ἀλλ' ἐκ ταυτομάτου. μετὰ δὲ ταῦτα, ἐκ τοῦ ἐναντίου ὅτι εὐηθές ἐστι, τὴν τοιαύτην εὐταξίαν τῶν κατὰ τὸν οὐρανὸν φερομένων, μὴ ὑπό τινος προνοίας γενέσθαι νομίζειν, ἀλλ' εἰκῇ, καὶ ὡς ἔτυχεν. ἔπειτα ἐκ τοῦ ὁμοίου· ὅτι εἰ μὴ δύναται καλῶς συστῆναι, μήτε οἰκία ἄνευ οἰκονόμου, μήτε ναῦς ἄνευ κυβερνήτου, μήτε στρατόπεδον ἄνευ στρατηγοῦ, μήτε πόλις ἄνευ πολιτευτοῦ, οὐδ' ἂν ὁ κόσμος δύναται συστῆναι ἄνευ τοῦ[43] προνοοῦντος θεοῦ. πρὸς δὲ τούτοις, ἐκ τοῦ μέρους· ὅτι εἰ ὁμολογουμένως φαίνονται ἡμῶν κατὰ πόλεις προνοοῦντες[44] ἥρωές τε καὶ δαίμονες

40 Camer. Heins. ἀσχολοίμεθα. Med. Rom. ἀσχολούμεθα. Lectio Camerarii inde orta videtur, quod υ in Romana non satis expressum est, sed υ non ι positum esse spatium docet. 41 Med. ἀνήρηκε. Edd. ἀνήρηκεν. 42 Med. τὸ εἶναι. 43 τοῦ Edd. om. recepi ex Med. et marg. Vict. 44 Loquitur

καὶ θεοὶ, ἀκόλουθόν ἐστιν ὅλου τοῦ κόσμου προνοεῖν θεούς· εἶτα ἐκ τῆς περιοχῆς· ὅτι λόγῳ μὲν ἀναιρεῖται δόγμα[45], τὸ δ' ἀληθὲς, πολλά· εἰ γὰρ οὐκ ἔστι θεῶν πρόνοια, οὐδὲ δικαιοσύνη δύναται συνίστασθαι, οὔτε εὐσέβεια, οὔτε εὐορκία, οὔτε ἀνδρεία, οὔτε σωφροσύνη, οὔτε φιλία, οὔτε χάρις, οὔθ' ἁπλῶς τῶν κατ' ἀρετὴν οὐδὲν, ἅπερ οὐκ ἔστι κατ' ἄνδρας νοῦν ἔχοντας ἀναιρεῖν· ἐκ δὲ τῶν ἐναντίων τρόπων εἰς τὸ ἕτερον μέρος ἐπιχειρήσομεν· ἐπεὶ δὲ τῶν θέσεων αἱ μέν εἰσιν ἁπλαῖ, αἱ δὲ συνεζευγμέναι· ἁπλαῖ μὲν, εἰ γαμητέον, συνεζευγμέναι δὲ, εἰ βασιλεῖ γαμητέον, διαιρετέον τὰς συνεζευγμένας εἰς ἑκάστην τῶν συνεζευγμένων, ἵνα τοὺς οἰκείους λόγους ἑκάστῳ τῶν μερῶν ἀποδῶμεν, καὶ αὐξήσεις καὶ παρεκβάσεις, καθ' ἃ ἐνδέχεται μέρη τῆς θέσεως, ποιησόμεθα. ὁμοίως δὲ καὶ πάθεσι, καὶ ἤθεσι, καὶ προτροπαῖς χρησόμεθα, καὶ σχεδὸν πάσαις τῶν λόγων ἰδέαις, πολλὰς γὰρ[46] εἰσάξομεν βίων περιστάσεις, καὶ περὶ ἑκάστης τοὺς ἁρμόζοντας λόγους ἐροῦμεν· οἷον, φέρε ζητεῖν, εἰ γαμητέον. μετὰ τὸ κοινοὺς καὶ καθολικοὺς περὶ πάντων ἀνθρώπων λόγους ὑποθέσθαι, ἐξ ὧν ἢ συστήσομεν τὸ γαμεῖν, ἢ ἀνασκευάσομεν, καὶ καθ' ἕκαστον βίον ὑπερεξελευσόμεθα· οἷον, γεωργοῦ, ἐμπόρου, στρατιώτου, πλουσίου, πένητος, βασιλέως· καὶ οὕτω πολλὴν περιουσίαν λόγων ἕξομεν, ὡς τὴν μίαν θέσιν πάμπολλα ποιῆσαι. ταῖς δ' αὐταῖς ἀφορμαῖς τῶν ἐπιχειρημάτων χρησόμεθα, καὶ πρὸς τὴν τῶν γνωμῶν ἀνασκευὴν, καθάπερ εἶπον καὶ πρότερον.

---

de diis tutelaribus. Vide Macrob. l. III. Sat. c. 9. 45 Deest aliquid, nam πολλὰ, quod sequitur, non habet, cui respondeat. Quare lego: λόγῳ μὲν ἓν ἀναιρεῖται. Particula haec excidit ob similitudinem litterarum proxime praecedentium. Scheff. 46 γὰρ Edd. om. recepi ex Med. et marg. Vict.

Digitized by Google

Cap. XIII.

Περὶ Νόμου.

Νόμος ἐστὶ δόγμα πλήθους, ἢ ἀνδρὸς ἐνδόξου πολιτικοῦ, καθ' ὃ πᾶσι προσήκει ζῆν τοῖς ἐν τῇ πόλει, οὐκ[1] εἴς τινα χρόνον ἀφωρισμένον. Τῶν δὲ νόμων ἐξέτασις, διχῶς. ἢ γὰρ εἰσφερομένων αὐτῶν καὶ τιθεμένων, ἢ κειμένων ἤδη. τιθεμένων οὖν γίνεται δοκιμασία, εἰ χρὴ κυροῦν, ἢ μή. περὶ δὲ τῶν ἤδη κειμένων, αἱ ἀμφισβητήσεις γίνονται τοῖς δικαζομένοις· οὐ παντελῶς ἀναιροῦσαι τοὺς νόμους, ἀλλ' ἑκάτερον πρὸς τὸ λυσιτελέστερον ἐξηγούμεναι, καὶ αὔξονται μέν, ὅσα ὑπὲρ αὐτοῦ γεγράφθαι δοκεῖ, συγκρύπτονται δὲ τὰ ἐναντία. ἐπεὶ δὲ νῦν ἡμῖν ὁ λόγος περὶ ἀνασκευῆς καὶ κατασκευῆς νόμου, ταῦτα δὲ μάλιστα ἐν ταῖς εἰσηγήσεσι, λεκτέον περὶ τούτου. εἰσφερομένων τοίνυν τῶν νόμων, ἢ κατηγοροῦμεν καὶ ἀνασκευάζομεν, ἢ συνηγοροῦμεν καὶ κατασκευάζομεν. μετὰ δὲ τὸ προοίμιον ἀνασκευάζομεν ἐκ τόπων τῶνδε· ἐκ τοῦ ἀσαφοῦς, ἐκ τοῦ ἀδυνάτου, ἐκ τοῦ οὐκ ἀναγκαίου, ἐκ τοῦ ὑπεναντίου, ἐκ τοῦ ἀδίκου, ἐκ τῆς ἀξίας, ἐκ τοῦ ἀσυμφόρου, ἐκ τοῦ αἰσχροῦ. γίνεται δὲ ἀσάφεια, ἢ μὲν περὶ τὴν προφοράν, ἣν τινες περιττὴν προσῳδίαν καλοῦσιν,[2] ἢ περὶ τὸ ὄνομα· ἢ δὲ περὶ τὴν ὁμωνυμίαν, ἢ δὲ περὶ τὴν πολυωνυμίαν, ἣν συνωνυμίαν ἕτεροι προσαγορεύουσιν· ἢ δὲ περὶ τὴν σύνταξιν, ἢ δὲ

1 Camer. Heins. πόλει οὖσιν. Med. Rom. πόλει, οὐκ. 2 Loquitur de peculiari vitio sermonis, quod veteres appellabant προφοράν, fiebatque, cum pro accentu unico quis efferret et alterum ea ambiguitate, ut non posset audiri, qua in syllaba verus esset locus, atque sic ambigua oratio efficeretur. Interpretatio hujus loci est obscura. Scheff. Non προφορὰ vocabatur vitium, sed περὶ τὴν προφοράν, in pronuntiatione,

Digitized by Google

περὶ σύνθεσιν, καὶ διαίρεσιν· ἡ δὲ περὶ πλεονασμὸν, ἡ δὲ περὶ ἔλλειψιν, ἡ δὲ περὶ τὴν μάχην. περὶ μὲν οὖν τὴν προφορὰν ἐστιν, ὅταν ἐν τῇ αὐτῇ τάξει κειμένων τινῶν λέξεων ὁμοίων, δυνατὸν ᾖ προφέρεσθαι διττῶς τὸ γεγραμμένον· οἷον, θεράπαινα χρυσία μὴ φορείτω· εἰ δὲ μὴ, δημοσία ἔστω. ἀμφισβητοῦμεν γὰρ, πότερον ἡ θεράπαινα δημοσία ἔστω, ἢ τὰ χρυσία· δύναται γὰρ συστέλλεσθαι καὶ ἐκτείνεσθαι τὸ ᾱ[3]· περὶ δὲ τὸ ὄνομα, ὅταν καινὸν, ἢ σφόδρα παλαιὸν ἢ ξένον ᾖ τὸ γεγραμένον. οἷον, ἡ ποδακάκκη,[4] καὶ ἡ ἡμεδαπή. καὶ εἴ τις λέγοι τὸν κέραμον ἀντὶ δεσμωτηρίου, καθάπερ Κύπριοι[5]· διὸ καὶ τὸ παρ᾽ Ὁμήρῳ τινὲς οὕτως ἐξηγοῦνται.

Χαλκέῳ δ᾽ ἐν κεράμῳ δέδετο τρισκαίδεκα μῆνας.

περὶ δὲ τὴν ὁμωνυμίαν, ὅταν ἓν ὄνομα δύο, ἢ τρία σημαίνῃ[6] ἢ καὶ πλείω· οἷον, εἴ τις γράφει, ἐκ παιδὸς μὴ εἶναι μαρτυρίαν. ζητήσομεν[7] γὰρ ἐνταῦθα, πότερον ἄνηβον λέγει μὴ μαρτυρεῖν, ἢ υἱὸν ὑπὲρ πατρὸς, ἢ δοῦλον ὑπὲρ δεσπότου. οὗτοι γὰρ ἑνὶ ὀνόματι προσαγορεύονται παῖδες. περὶ δὲ τὴν πολυωνυμίαν ἀνάπαλιν· ὅταν τὸ σημαινόμενον ἓν, τὰ δὲ ὀνόματα πολλά. οἷον, ἄορ,[8] ξίφος, φάσγανον, μάχαιρα. ἀσάφεια γὰρ καὶ οὕτω γίνεται. ὅταν οἴηταί[9] τις ἴσα τοῖς ὀνόμασιν εἶναι τὰ σημαινόμενα. περὶ δὲ τὴν σύνταξιν. οἷον, ἐπειδάν φησι 56

committi dicit. 3 Dubitat Scheff. „utrum non scripserit τὸ ō“ nihil mutandum, τὸ ᾱ breve est in neutro pluralis, longum in feminino singularis. 4 Vide Hesychium. Puto autem ex his verbis apparere vocem hanc fuisse novam Theonis nostri temporibus. Scheff. Med. ποδοκάκη. Utriusque formae mentionem facit Hesychius. 5 Hoc notandum. Nam Hesychius quidem observare omisit. Adde tamen Eustathium ad Iliad. *E.* qui notavit Scheff. 6 Med. σημαίνει. 7 Ed. Rom. ξητήσομεν. marg. Vict. ζητ. 8 Hesychius videri debet. Scheff. 9 Edd. οἴεται. Med. marg. Vict. οἴηται.

Digitized by Google

Πιττακὸς [10] νέμεσθαι πατέρα καὶ μητέρα τὴν ἴσην. ἀμφιβάλλει γὰρ καὶ ἥδε ἡ λέξις. ἆρα γὰρ τοὺς παῖδας λέγει νέμεσθαι τὰ τῶν γονέων, ἢ τοὺς γονεῖς τὰ τῶν παίδων. καὶ ἔτι ὅταν ἐν μέσῳ τι κείμενον ὄνομα δύναται συνταττόμενον ἢ τοῖς πρὸ αὐτοῦ, ἢ τοῖς μετ' αὐτὸ διάφορον διάνοιαν ἀποτελεῖν· οἷον ὁ νικήσας ἐν πολέμῳ στρατηγὸς ἀνατιθέτω τοῦ Ἄρεος ἄγαλμα χρυσοῦν ἔχον δόρυ. ἐστὶ γὰρ τὸ λεγόμενον, ἤτοι ἄγαλμα χρυσοῦν, ἢ δόρυ. περὶ δὲ τὴν σύνθεσιν, καὶ διαίρεσιν, ἣν τινες περὶ τὴν κοινὴν τοῦ διῃρημένου καὶ τοῦ ἀδιαιρέτου φασὶν, οἷον, ἐπὶ τὸν κλῆρον ἔρχεσθαι νόμου κελεύοντος, ἀδελφοὺς, παῖδας. ἔστι μὲν γὰρ διαφοροῦντας φάναι, πρῶτον μὲν καλεῖσθαι τὸν ἀδελφὸν, εἰ δὲ μὴ οὗτος εἴη, τότε τοὺς παῖδας παρεῖναι. ἔστι δὲ καὶ συντιθέναι, λέγοντας ἅμα καλεῖσθαι αὐτούς. καὶ πάλιν, ὁ ψευδομαρτυρῶν ἁλοὺς τρὶς χιλίας διδότω. ἤτοι γὰρ λέγει, ὁ τρὶς [12] ἁλοὺς ψευδομαρτυρῶν, χιλίας διδότω· ἢ τρὶς χιλίας διδότω ἅπαξ ἁλούς. περὶ πλεονασμὸν δὲ γίνεται ἀσάφεια, ὅταν δυνατὸν ᾖ πλέον τι τοῦ γεγραμμένου συλλογίζεσθαι, ὡς καὶ αὐτὸ δυνάμει δηλούμενον· οἷον, εἴ τις νομοθετήσειε κληρονομεῖν καὶ τοὺς πρὸς μητρός· ἀμφισβητήσειε γὰρ ἂν καὶ ἡ μήτηρ, ὡς εἰ [13] τοὺς πρὸς μητρὸς νόμος [14] κληρονομεῖν καλεῖ, πολὺ πρότερον αὐτὴν τὴν μητέρα καλοίη. ἡ δὲ

---

10 In legibus. Puto paucis observatum hoc fragmentum Scheff. 11 Med. ἔστω. 12 Ed. Rom. ὁ τρεῖς ἁλοὺς. Marg. Vict. τρὶς. Pausan. VII. 27. 5. ἀνελόμενος παγκρατίου νίκας, τὴν μὲν Ὀλυμπίασι, τρεῖς δ' Ἰσθμίων, καὶ Νέμεα δύο. Angel τρίς. notavit hanc confusionem Jacobs ad Achill. T. p. 664. Boisson. ad Mar. p. 76. In inscriptione Clarkiana, τρὶς δεκάτας ἐτέων τερματίσας ἔθανες bene emendatur τρεῖς δεκάδας. Vide Boisson. Comment. epigraph. ad calcem Holstenii epist. p. 431. 13 Med. εἰς. 14 Med. et edd. νόμους. marg. Vict. νόμος.

Digitized by Google

δὲ παρ᾽ ἔλλειψιν ἀσάφεια γίνεται πολλαχῶς· οἷον, ὁ πατροτύπτης χειροκοπείσθω. ἐλλείπει γὰρ, πότερον καὶ τὸν δι᾽ ἄνοιαν, ἢ καὶ τὸν ἐπ᾽ εὐνοίᾳ, καὶ πάντας ἁπαξαπλῶς. ἡ δὲ κατὰ πρόσωπον ἔλλειψις πολυειδής ἐστι· διαφέρει γὰρ δήπου τὰ πρόσωπα, καὶ φύσει, καὶ ἡλικίᾳ, καὶ ταῖς ἐγγυτέρω συγγενείαις, καὶ τύχῃ· οἷον, τῷ προδότῃ συναναιρεῖσθαι τοὺς παῖδας, οὐ γὰρ διώρισεν, εἰ καὶ τὸν θετὸν, καὶ τὴν θήλειαν. [15]

SCHOLIA

IN

THEONIS PROGYMNASMATA.

Ad Cap. II. fine. *τὴν προσήκουσαν ὑπόκρισιν.*] *Ὅρος ὑποκριτοῦ. Ὑπόκρισίς ἐστιν ἡ τῶν ὑποκειμένων προσώπων καὶ πραγμάτων μίμησις· ἄλλως φωνῆς καὶ σχήματος πιθανὴ διάθεσις, πρέπουσα τῷ ὑποκειμένῳ προσώπῳ καὶ πράγματι.*

Ad cap. III. init. *Μῦθός ἐστι λόγος ψευδής.*] *Μῦθος μὲν εἴρηται οἷον λόγος τις ὤν, ἐπεὶ καὶ μυθεῖσθαι τὸ λέγειν ἐκάλουν οἱ παλαιοί· οὐχ ὅτι δὲ λόγος ἁπλῶς, ὡς τισιν ἔδοξεν, εἴρηται μῦθος, ἀλλ᾽ ὅτι τις*

15 Desunt pluscula. Nihil enim hic de eo, quod supra vocavit *τὴν ἀσάφειαν περὶ τὴν μάχην*, partemque fecit *ἀσαφείας*. Nil de locis caeteris, excepto loco obscuritatis, ut impossibilitatis, necessitatis, contrarii, indigni, inutilis, et turpis, quorum omnium desideratur ratio, ut omittam, quae monere quolibet in capite de dispositione atque elocutione consuevit. Scheff. Camer. ad calcem adjecit: *λείπει.*

Digitized by Google

φύσει ψευδής· τοῦτο γὰρ τοῦ μύθου τὸ ἴδιον, οὗ μὴ παρόντος [1] οὐδὲ μῦθος κληθήσεται. Τοῦ δὲ μύθου ὡς γένος μέν ἐστιν ὁ λόγος, τὰ δὲ εἴδη τὰ διάφορα χωρίζουσιν αὐτὸν ἀπὸ τῶν ἀληθῶν. Τὸ μὲν οὖν ψευδὴς προτέτακται, ἐπειδὴ ὁμολογουμένως ἐκ ψευδῶν σύγκειται, εἰκονίζων δὲ ἀλήθειαν εἴρηται, ἀντὶ τοῦ εἰκόνα ἀληθείας ἔχων. Εἰκόνα δὲ ἀληθείας ἔχει ὁ μῦθος, ἐπειδὴ οὐκ ἂν ἐργάσαιτο τὸ ἑαυτοῦ μὴ ἔχων τινὰ πρὸς τὸ ἀληθὲς ὁμοιότητα. Γένοιτο δ' ἂν πρὸς τὸ ἀληθὲς ὅμοιος ἐκ τοῦ πιθανοῦ τοῦ κατὰ τὴν πλάσιν. Ψευδὴς οὖν ἐστι κατὰ φύσιν, πιθανὸς δὲ κατὰ τὴν πλάσιν. Πόθεν δ' ἂν γένοιτο τὸ πιθανὸν σκοπητέον ἐκ τόπων, περὶ οὓς διατρίβειν εἴωθε τὰ ὑποκείμενα ζῶα, ἐκ λόγων τῶν τῇ φύσει ἑκάστου ἁρμοζόντων, ἐκ πραγμάτων, ἃ μὴ ὑπερβαίνει τὴν ἑκάστου ποιότητα· οἷον ἵνα μὴ λέγωμεν, ὁ μῦς περὶ τὴν βασιλείαν τῶν ζώων ἐβουλεύσατο, ἢ ὅτι λέων ἐζωγρήθη ὑπὸ τῆς τοῦ τυροῦ κνίσης· κἂν λόγους τινὰς δεήσῃ περιθεῖναι, ἵνα ἡ μὲν ἀλώπηξ ποικίλα φθέγγηται, [2] τὰ δὲ πρόβατα εὐήθη καὶ μετὰ ἀνοίας, καὶ ἵνα ὁ μὲν ἀετὸς ἁρπακτικὸς καὶ νεβρῶν καὶ ἀρνῶν εἰσάγηται, ὁ δὲ κολοιὸς μηδὲν τοιοῦτον μηδὲ ἐννοῶν· ἢ τὸ εἰκονίζων ἀλήθειαν εἶπε, καθότι ἐκ τῶν τῇ ἀληθείᾳ συμβαινόντων πραγμάτων ἔχει τὴν σύνθεσιν· καὶ γὰρ πρὸς τὰ συμβαίνοντα τοῖς ἀνθρώποις ἀποβλέποντες, οὕτω πρὸς εἰκόνα τὸν μῦθον συντιθέμεθα· οἷον ἰδόντες πολλοὺς διὰ κέρδος τι πράττοντας καὶ τὸ προσὸν ἀπολέσαντας, καὶ δι' ἡδονὴν ἄλλως τὴν οἰκείαν προδόντας ἀσφάλειαν, οὕτω τὸν τοῦ κυνὸς καὶ τοῦ ἀκρατοῦς [3] τοῦ ἐρῶντος τῆς κόρης τὸν μῦθον

1 παρόντος — ἀπὸ τῶν ἀληθῶν in codice ita sunt exesa, ut, an litterarum vestigia conjectura assecutus sim, nolim praestare. 2 Cod. φθέγγεται. 3 Haereo in hac voce, cum in codice scriptum videatur ἀκνυτος. Etiam sqq. παρα-

Digitized by Google

ἂν ἐπλάσαμεν, παραδείξαντες τὴν συμβουλὴν, ἃ τινα τῶν πραγμάτων πράττοντες ἢ μὴ πράττοντες κατορθοῖμεν, καὶ παριστῶμεν, οἷον τοῖς ἀνθρώποις ἀποβήσεται πράγματα, οἷον ἐκ τῶν ὑποκριτῶν τὸ φοβερὸν καὶ τὸ ἀρχικὸν, ὡς ἐπὶ τοῦ ὄνου τοῦ περιθέντος ἑαυτῷ τὴν λεοντῆν. Σώπατρος δὲ οὕτω τὸν μῦθον ὡρίσατο· μῦθός ἐστι πλάσμα πιθανῶς πρὸς εἰκόνα τῶν τῇ ἀληθείᾳ συμβαινόντων πραγμάτων συγκείμενον,[4] συμβουλήν τινα τοῖς ἀνθρώποις ἢ ὑπογραφήν τινα τῶν πραγμάτων ποιούμενον· πλάσμα μὲν, διότι πρὸς τὸ δοκοῦν ἡμῖν πρᾶγμα πλάττεται· γίνεται δὲ πιθανὸς, ὅτι κατὰ τὴν φύσιν, ἢ τὴν ἀξίαν ἑνὸς ἑκάστου ζώου τοὺς λόγους ἢ τὰ πράγματα πλάττομεν. τοῦ μὲν γὰρ λέοντος ὄντος βασιλικοῦ, βασιλικὸν ἐπινοοῦμεν τὸ φρόνημα· τῆς δὲ ἀλώπεκος οὔσης κακούργου, κακοῦργον ἀναπλάττομεν τὴν διάνοιαν· δειλοῦ δὲ καὶ ἀναισθήτου ἐλάφου, κατὰ τὸν αὐτὸν λόγον, ὡς, εἴ τι τούτου παραλλάξομεν, ἀπίθανος ὁ λόγος γένηται· ἐκ δὲ τῶν τῇ ἀληθείᾳ συμβαινόντων ἔχει τὴν σύνθεσιν· ἔτι πρὸς τὰ συμβαίνοντα τοῖς ἀνθρώποις, ὡς εἴρηται, ἀποβλέποντες, οὕτω τὸν μῦθον πρὸς εἰκόνα συντίθεμεν.

Αἶνός ἐστι λόγος μυθικῶς ἐκφερόμενος ἀπὸ ἀλόγων ζώων ἢ φυτῶν πρὸς ἄλλων παραίνεσιν.

Med. p.178. Τὸν λόγον δὲ οὕτως ἐποίσομεν.] Λόγον ἐνταῦθα τὸ ἐπιμύθιον λέγει, καὶ γὰρ ἐπιμύθιόν ἐστι λόγος ὁ πρὸς τὸν μῦθον εἰσφερόμενος, καὶ δηλῶν τὸ ἐν αὐτῷ χρήσιμον. Τοῦτο δὲ τριχῶς ἐκφέρουσιν, ἢ παραδειγματικῶς, ἢ ἐνθυμηματικῶς, ἢ προφωνηματικῶς· οἷον παραδειγματικῶς μὲν, οὕτω νεότης πονεῖν οὐκ ἐθέλουσα παρὰ τὸ γῆρας κακοπραγεῖ· ἐνθυμηματικῶς δὲ,

δείξαντες — κατορθοῖμεν paene exesa sunt. 4 συγκείμενον — ὑπογραφήν τινα τῶν in codice prorsus exesa restitui ex Dopopatri Homil. in Aphthon.

Digitized by Google

ὅτ᾽ ἂν λέγωμεν· ὁ γὰρ μὴ τόδε τι ποιῶν κατηγορίας ἄξιος· προσφωνηματικῶς δὲ, καὶ σὺ, ὦ παῖ, τῶνδε ἢ τῶνδε ἀπέχου. Ἐπιλόγου δὲ τάξιν τὸ ἐπιμύθιον ἔχει.

Ad cap. IV. Εἰδέναι χρὴ, ὅτι πραγμάτων γεγονότων εἶπε διὰ τὰ ἱστορικὰ καὶ ἀτελῆ, ἢ ὡς γεγονότων πάλιν εἶπε διὰ τὰ πλασματικὰ καὶ ψευδῆ. Καὶ γὰρ τὸ διήγημα ἀφήγησίς ἐστι πραγμάτων ἀληθῶς γενομένων ἢ γεγενῆσθαι δοκούντων· τῶν γὰρ πραγμάτων τὰ μέν ἐστι φύσει ἀληθῆ, τὸ γὰρ ἀληθὲς ὁ ῥήτωρ οὐ μόνον κρίνει πρὸς τὴν φύσιν τῶν πραγμάτων ὁρῶν, ἀλλὰ καὶ πρὸς τὸ τῶν εἰπόντων ἔνδοξον πρόσωπον· τὸ γὰρ ὁμολογούμενον ἀληθὲς ἐν δυσὶ θεωρεῖται τούτοις, ἢ ὅταν δοκῇ πᾶσι τοῦθ᾽ οὕτως ἔχειν, ἢ ὅταν οὕτως ἀρέσκῃ τοῖς ἐνδόξοις τῶν παλαιῶν φιλοσόφων ἢ ποιητῶν· οὕτω γοῦν τὰ μυθικὰ διηγήματα, εἰ καὶ ψευδῆ φύσει τυγχάνει, ἀλλὰ διὰ τοὺς σοφοὺς ἄνδρας, τοὺς μνησθέντας αὐτῶν ὡς ἀληθῶν καὶ ἡμεῖς τὰ τοιαῦτα ὡς ἀληθῆ λαμβάνομεν, ἐκ τῶν μνησθέντων κρίσιν τῆς ἀληθείας δεχόμενοι· διὸ καὶ παρὰ τοῖς ῥήτορσιν εὑρεθήσεται σφόδρα πολλὰ, φύσιν μὲν ἀληθείας οὐκ ἔχοντα, διὰ δὲ τῶν μνημονευσάντων ἐνδόξων προσώπων ὡς ἀληθῆ τιμώμενα.

Ὅρος σαφηνείας.[1] Σαφήνειά ἐστιν ἡ ἐναργὴς τῶν πραγμάτων διδασκαλία μηδὲν ἐξ ἑρμηνείας ἀμφίβολον ἔχουσα.

Med. Σαφὴς δὲ ἡ διήγησις γίνεται.] Εἰδέναι δεῖ, ὅτι οὐκ ἀεὶ φροντιοῦμεν τῆς σαφηνείας, ἀλλὰ σαφῶς μὲν ἐροῦμεν ὑπὲρ ἡμῶν, ἀσαφῶς δὲ τὰ καθ᾽ ἡμῶν, ὥσπερ καὶ Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου οὐκ ἔχων λῦσαι τοὺς καθ᾽ ἑαυτοῦ νόμους, οἷς Αἰσχίνης ἐχρήσατο κατ᾽ αὐτοῦ, κατέφυγεν ἐπὶ τὸ ἀσαφὲς, οὑτωσὶ λέγων· τῶν μὲν οὖν νόμων,[2] οὓς οὗτος ἄνω καὶ κάτω κυ-

1 Hoc et sq. schol. est etiam in Par. 2 Dem. pro Cor.

Digitized by Google

κῶν ἔλεγε περὶ τῶν παραγεγραμμένων, [3] οὔτε ὑμᾶς, μὰ τοὺς θεούς, οἶμαι [4] μανθάνειν, οὔτε ἐδυνάμην συνεῖναι τὰ πολλά.

Φυλακτέον δὲ καὶ τὸ μὴ συγχεῖν.] Τὸ τοιοῦτον, εἰ καὶ οἰκονομίας πολλάκις ἐπέχει χρείαν, ἀλλ' ὅμως δυσπαρακολούθητον καὶ ἀσαφῆ τὸν λόγον ποιεῖ.

Καὶ τὸ δὶς τὰ αὐτά.] Τὸ τοιοῦτον μακρὸν καὶ ὀχληρόν ἐστιν, εἰ μὴ ἄρα ταῖς ἐργασίαις αὐτὸ μεταχειρισόμεθα, καὶ νῦν μὲν ὡς ἐπιδεικνύοντες λέγομεν, νῦν δὲ ὡς ἀνακεφαλαιούμενοι, ἐν ἑνὶ πάντα ἀναλαμβάνοντες.

Περὶ συντομίας. Ἀναγκαῖον εἰδέναι καὶ τοῦτο, ὅτι τὴν συντομίαν πρὸς τὴν ἀξίαν τῆς χρείας δοκιμάζεσθαι δεῖ. οὐ γὰρ φλυαρεῖν τὸν Δημοσθένην ἐροῦμεν ἐν τῷ περὶ τοῦ στεφάνου τοσαῦτα τιθέντα, οὐδὲ τῆς κατὰ τὴν συντομίαν ἀρετῆς ἐκπεσεῖν· μακρὸν γὰρ οὐχ ἁπλῶς τὸ μακρὸν, ἀλλ' ὅσον ἔξω τῆς χρείας· καὶ σύντομον, οὐχ ὅπερ τῇ βραχύτητι τῶν στοιχείων ἀδικήσει τὰ πράγματα, ἀλλ' ἅπερ τῶν ὑποκειμένων πραγμάτων τῇ χρείᾳ τὸ μέτρον ἐκτείνει. Δεῖ δὲ προσθεῖναι καὶ τὸ κυρίαις κεχρῆσθαι ταῖς λέξεσιν. Ἄμεινον δὲ, ἀντὶ τῆς συντομίας τὴν συμμετρίαν εἰπεῖν· καὶ γὰρ πολλα καὶ ἐλάχιστα ἐροῦμεν ἀκολουθοῦντες τῇ ὕλῃ, ἀλλ' οὐδὲ ταῖς λέξεσι πανταχοῦ χρησόμεθα κυρίαις, ὅπερ [5] ἐστὶ τοῦ ἑλληνισμοῦ, ἀλλ' ἔστιν ὅτε καὶ τροπικαῖς, ὡς ὁ Δημοσθένης.

Περὶ πιθανότητος. Πιθανότης ἐστὶν ἔμφασις ἀληθείας. πίθανὴ γοῦν διήγησις γίνεται, εἰ πάντα ὅσα λέγει τις, ἐξομοιοῦν πειρῷτο τοῖς ἀληθέσι· τοῦτο δὲ γένοιτ' ἄν, ἐὰν μὴ ψιλὰ τὰ πράγματα τιθῶμεν, ἀλλὰ καὶ τὰ μόρια αὐτῶν προσλαμβάνωμεν, ἐξ ὧν ἡ διήγησις πληροῦται. μόρια δὲ διηγήσεώς ἐστι τὰ ἔξ περιστατικά· ποιεῖ δὲ πιθανότητα καὶ τὸ περὶ ἑαυτοῦ μὲν κακόν τι εἰπεῖν

p. 263. λόγων. 3 Dem. addit νόμων. 4 οἶμαι — τὰ πολλὰ in Med. exesa restitui ex Par. 5 Cod. ὁ περὶ τοῦ. scripsi ὅπερ ἐστὶ τοῦ.

Digitized by Google

μικρὸν, περὶ δὲ τοῦ ἀντιδίκου ἀγαθὸν ὁμολογούμενον· συνεργεῖ δὲ πρὸς πειθὼ καὶ λέξις ἀνεπιτήδευτος καὶ τὸ αὐτοσχέδιον ἐμφαίνουσα. Ποιήσεις δὲ πιθανότητα, καὶ ἐὰν μὴ πάντα βεβαιῶν λέγῃς, ἀλλὰ προστιθῇς τὸ οἶμαι καὶ τάχα καὶ ἴσως, καὶ τὰ τοιαῦτα. Ἐπεὶ γὰρ πιθανόν ἐστι τὸ ἐπαγωγόν τι ἔχον καὶ ἐπισπαστικὸν πρὸς συνκατάθεσιν, δῆλον ὅτι στοχάζεται ὁ ῥήτωρ τοῦ πιθανοῦ. εἰ μὲν γὰρ πρὸς ἀστείους ἢ ἐγγυτάτω τῷ [6] ἄστει ἀεὶ ἐγίγνοντο αὐτῷ οἱ λόγοι, πάντοτε ἂν κατὰ τὸ ἀληθὲς πιθανὸν ἐποιεῖτο τὸν λόγον· ἐπεὶ δὲ ὡς ἐπὶ τὸ πλεῖστον πρὸς ἰδιώτας, οἷς οἰκεῖον διὰ πολλῶν τὸ ἀληθὲς ἐμφανίσαι, δῆλον, ὡς οὐχὶ τοῖς ὑγιέσι μόνον χρήσεται, ἀλλα καὶ τοῖς ψευδέσιν, ὡσανεὶ καὶ πρὸς παῖδας ἐποιεῖτο τοὺς λόγους· κωλύσει δὲ οὐδὲν καὶ τῷ ψεύδει χρήσασθαι, ὡς δεῖ τοῦ ἀληθοῦς μηνύοντας, ἰατροῦ δίκην καὶ στρατηγοῦ· προηγούμενον γὰρ αὐτῷ ἔσται τὸ χωρὶς ἀπάτης, εἰ δύναιτο πεῖσαι· δεύτερος δὲ, ὡς φασι πλοῦς τῆς τοῦ πεῖσαι χρείας τὸ κἂν δι' ἀπάτης καὶ κακοτεχνίας, καὶ συνελόντι εἰπεῖν, ὑπὲρ τοῦ πιθανὴν εἶναι τὴν διήγησιν, πάντα ἤ τινα τῶν εἰρημένων παραληπτέον.

6 Cod. τε.

Digitized by Google

IV.

ΝΙΚΟΛΑΟΥ ΣΟΦΙΣΤΟΥ ΠΡΟΓΥΜΝΑΣΜΑΤΑ.

I. Fabricius et Harlesius

In bibl. graec. lib. IV. c. XXXV. Vol. VI. p. 134.

Nicolaus e Myris Lyciae, Lacharis discipulus et Procli, vide Marin. vita Procli cap. 10. Suidam in *Νικόλ.* et *Λαχάρης*. Fabr. Scripsit artem rhetoricam et declamationes. v. Suidam ibique Küster. T. II. p. 624. et Eudociam p. 309. Sed apud Suidam et Eudociam ab illo discernitur Nicolaus, rhetor, qui floruit sub Leone seniore, imperatore, usque ad Zenonem et Anastasium, atque scripsit progymnasmata, declamationes rhetoricas et alia quaedam. Inter codd. bibl. Bodlejanae (catal. codd. Angl. et Hibern. I. p. 128 sq.) sunt in cod. MMCCCCLXXXIII. Nicolai, sophistae, progymnasmata, et (ejusdemne, necne?) de rhetorica. In cod. Barocc. CXXXI. (cat. p. 16.) progymnasmata, et *ἀποσπασμάτιον*, verisimilia esse, quae de Niobe feruntur. — Inter adversaria Ger. Langbaeni (cat. p. 270.), Nicolai progymnasmata. Inter codd. Thom. Gale (cat. II. p. 189.) e Nicolai, sophistae, libro progymnasm. fabulae decem. Quae

Digitized by Google

tamen in codice Barocc. leguntur sub nomine Nicolai, sophistae, ea sub Libanii nomine a Morello ad calcem tomi II. opp. Libanii esse vulgata, Fabr. infr., lib. V. c. V. p. 385. vol. VII. animadvertit. — Paris. in biblioth. publ. cod. MMDCCXX. nro. 30. Nicolai soph. narrationes [1] variae. cod. MMDCCCCXVIII. nr. 8. ejusdem progymnasmata. Nicolai Cabasilae orationes et encomia in cod. Coislin. in Montf. bibl. coisl. p. 426. sqq. Harl.

II. Joannes Doxopater

in homiliis in Aphthonium cap. *περὶ διηγήματος*

Ἕτεροι δὲ διήγησιν τὴν τῶν ἀληθῶν πραγμάτων ἐκάλεσαν ἔκθεσιν· διήγημα τὴν τῶν ὡς γεγονότων, ὡς καὶ Νικόλαος ἐν τῇ περὶ τῶν προγυμνασμάτων αὐτοῦ πραγματείᾳ.

ibid. cap. *περὶ θέσεως.*

Ὁ δὲ σοφιστὴς Νικόλαος ἐν τῷ τῶν προγυμνασμάτων βιβλίῳ αὐτοῦ οὕτω τὴν θέσιν ὁρίζεται· θέσις ἐστὶν πρᾶγμα λογικὴν ἐπίσκεψιν ἐπιδεχόμενον, ἄνευ προσώπων ὡρισμένων κ. τ. λ. Idem habent schol. Ald.

Ex his Doxopatri locis elucet, a Nicolao etiam theoriam progymnasmatum conscriptam esse, quae an in codicibus Anglis, ab Harlesio enumeratis, lateat, si quando illas bibliothecas pervestigare licuerit, inquiremus. Jam paradigmata, in Paris. 2918. inventa, edimus.

Eadem extant in codice Barberino 392. bombyc. sec.

1 Quinque sunt *διηγήματα*: *τὸ κατὰ τὴν πλάτανον*, *τὸ κατὰ τὸν Ἀχιλλέα*, *τὸ κατὰ τὸν Νάρκισσον*, *τὸ κατὰ τὸν Δαίδαλον*, *τὸ κατὰ τὴν Πασιφάην*, quae sub Nicephori Basilacae nomine edidit Allatius. Cfr. etiam Bastium in epimetro primo ad ep. crit. p. XXXI. in edit. Lips. Pluti Hemsterhusiani. Walz.

Digitized by Google

14. fol. cujus descriptionem ab Jac. Leopardo, comite Recanatensi, factam, amice mecum communicavit Sinnerus meus. Codex ab initio et in fine mutilus incipit a *συγκρίσει Αἰσχίνου καὶ Δημοσθένους*, et reliqua continet, ut Paris. 2918.

Minus luculenter Schöll in histor. litterat. Gr. T. III. p. 139. vers. Germ. in codice quodam partem progymnasmatum, sub Libanii nomine editorum, Nicolao Sophistae tribui pronuntiat: id quidem recte, nam *ἐκφράσεις*, *θέσις* et *κατηγορία* eaedem sunt, quae apud Libanium leguntur, sed addere debebat, praecedentia progymnasmata undecim prorsus dissentire, et subinde idem thema novo modo tractare, quibus cum Nicolai nomen praefigatur, cur adjudicare ei dubitemus? Sed illa quoque, quae sub Libanii nomine feruntur, non omisi, quum certe eodem jure, quo Libanio adjudicantur, etiam Nicolao tribui possint, praesertim quum mirum esset, si Nicolaus undecim progymnasmata, solito ordine disposita scripsisset, tria autem ultima omisisset, aut a Libanio mutuatus esset, id quod minus offendit apud Libanium, cujus progymnasmata a solito ordine in editionibus prorsus aberrant, eoque ipso se undique conflata et sub Libanii nomen conjecta esse testantur. Accedit codicis Par. 2918. auctoritas, qui has *ἐκφράσεις*, *θέσιν* et *κατηγορίαν* Nicolao tribuit, et ex Libanii progymnasmatibus quae deinceps continet, omittit. Quamquam id semper tenendum, inter hos homines possessionem ita incertam, furtaque ita solennia esse, ut mihi quidem suum cuique restituendi spes nulla supersit.

Digitized by Google

ΝΙΚΟΛΑΟΥ
ΣΟΦΙΣΤΟΥ
ΠΡΟΓΥΜΝΑΣΜΑΤΑ.[1]

Cap. I.

Μῦθος.

1. Γῆρας ἐλύπει τὸν λέοντα, καὶ θηρᾶν γηρῶν οὐκ ἐδύνατο. Βουλόμενος δὲ πορίσαι τροφὴν νοσεῖν ὑπεκρίνετο, καὶ σχήματι νόσου τὴν εὐπορίαν τῆς τροφῆς ἀπειργάζετο· τὰ γὰρ πλεῖστα τῶν ζώων προσιόντα φιλοφρονούμενος τροφὴν πρόχειρον ἔχων κατέσθιεν. Ἐαλωκότων δὲ τῶν πολλῶν ἀλώπηξ συνεῖσα τῆς τέχνης, ἐν προθύροις μὲν φιλοφρονεῖται τὸν λέοντα, τὰ δὲ τῶν ἑαλωκότων ἴχνη τῆς λύμης ἔλεγχον ἔφερεν. Οὕτω σοφία πανουργίας ἐπικρατεῖ.

Ἕτερος.

2. Ὄνος ἐπεθύμει λέων εἶναι δοκεῖν, καὶ μεταθεῖναι τὴν φύσιν οὐκ ἔχων ἐπὶ τοῦ σχήματος ἀνεπλήρου τὸν πόθον, καὶ λεοντῆν περικείμενος οἷα λέων τὰς τῶν γεωργῶν ἐλυμαίνετο πόνους· καὶ βιαιότερος ἄνεμος πνεύσας γυμνοῖ μὲν αὐτὸν τοῦ προκαλύμματος, φανέντα δὲ ὄνον ῥοπάλοις ἀνήρουν οἱ ὧν τοὺς πόνους κατήσθιεν. οὕτω κόσμος ἐπείσακτος τοῖς χρωμένοις γίνεται κίνδυνος.

3. Ἵππον ἐλύπει τὸ γῆρας, καὶ μύλωνα ἀντὶ μάχης ἐλάμβανεν. ὡς δὲ ἀλήθειν ἀντὶ τοῦ πολεμεῖν ἠναγκάζετο, τὴν παροῦσαν ἐδάκρυε τύχην, τῆς δὲ πρώτης ἐμέμνητο, ἐμοὶ, λέγων, ὦ μυλωρὲ, στρατεύεσθαι μὲν ὑπῆρχε τὸ

1 Extant in cod. Paris. MMCMXVIII. Fol. 132.

Digitized by Google

πρότερον, κόσμος δὲ παντὶ περιέκειτο σώματι, καὶ θεραπεύων παρηκολούθει τις ἄνθρωπος· νῦν δὲ οὐκ οἶδα, ὅ τι παθὼν ἀντιλαμβάνω τὸν μύλωνα τῆς μάχης· καὶ ὁ μυλωρὸς πρὸς αὐτὸν, ἐπίσχες, ἔφη, τὰ πάλαι θρυλῶν, τύχη γὰρ θνητοῖς τὴν εἰς ἕτερα φέρειν οἶδε μεταβολήν.

4. Ἔλαφον ἡ μήτηρ ἐνουθέτει, τί ταῦτα, λέγουσα, κέρας μὲν, ὦ παῖ, παρὰ τῆς φύσεως εἴληφας, μεγέθει δὲ διενήνοχας σώματος, καὶ οὐκ οἶδα, ὅ τι παθὼν ἀποδιδράσκεις ἐπιόντας τοὺς κύνας; ταῦτα ἦν, καὶ κυνῶν δρόμος ἠκούετο πόρρωθεν. ἡ δὲ μένειν τῷ παιδὶ παραινέσασα αὐτὴ τῆς φυγῆς προκατήρχετο. Οὕτω παραινεῖν ἕτοιμον ἃ ποιεῖν ἀπορώτερον.

5. Οἱ λύκοι πρὸς τὰ πρόβατα· τί δὲ ἡμῖν ἄσπονδος ἀεὶ καὶ ἀκήρυκτος πόλεμος· αἴτιοι δὲ οἱ κάκιστ᾽ ἀπολούμενοι κύνες, οἳ προσιόντας μὲν ἡμᾶς[2] ὑλακτοῦσιν, οὐδὲν δὲ ἠδικηκότας συγκρούουσιν· ἀλλ᾽ εἰ τούτους ἐκποδὼν καταστήσετε, σπονδαὶ ἐνθένδε καὶ διαλλαγαὶ καταστήσονται· εἶπον εἰς ἀπάτην, τὰ δὲ ῥᾳδίως ὑπήγετο, καὶ οἱ μὲν κύνες ἐλήλαντο, αὐτὰ δὲ ἔρημα φυλακῆς διεφθείρετο. Ἐχθροῖς πειθαρχῶν ὑποστήσῃ τὸν κίνδυνον.

6. Ἐλαία κατεγέλα συκῆς, ὡς αὐτὴ μὲν ἀνθοῦσα πρὸς ἅπασαν ὥραν, συκῆς δὲ συμμεταβαλούσης τὸ ἄνθος ταῖς ὥραις· ταῦτ᾽ ἦν, καὶ καταῤῥυεῖσα[3] χιὼν τὴν μὲν ἐλαίαν κομῶσαν εὗρουσα τοῖς θαλλοῖς ἐνιζάνουσα σὺν τῷ κάλλει ταύτην καθάπαξ διέφθειρε, τὴν δὲ φύλλων εὐροῦσα γυμνὴν οὐδὲν ἠδίκει πρὸς τὴν συκῆν ὑποῤῥέουσα. Κάλλος μὴ σωφρονοῦν τοῖς κεκτημένοις ὀλέθριον.

7. Ὁ βάτραχος τῆς τῶν ἰατρῶν κατηλαζονεύετο τέχνης· πάντα μὲν εἰδέναι φάρμακα γῆς ὑπισχνούμενος, πᾶσι δὲ μόνος εἰς ὑγείαν ἀρκέσειν· καὶ παρεστῶσα τοῖς

---

2 Cod. ὑμᾶς. 3 Cod. καταρυεῖσα.

Digitized by Google

λόγοις ἀλώπηξ τὸ ψεῦδος ἀπὸ τοῦ χρώματος ἤλεγχε, τί δῆτα, λέγουσα, νόσου μὲν αὐτὸς τοὺς ἄλλους ἐλευθεροῖς, νόσου δὲ φέρεις ἐπὶ τῆς [4] ὄψεως σύμβολα. Ἀλαζονεία τὸν ἔλεγχον οἴκοθεν εὗρατο.

8. Τῷ κόρακι τὸ θήραμα τυρὸς ἦν, καὶ ἐν μετεώρῳ φέρων καθῆστο. ἰδοῦσα δὲ ἀλώπηξ ἀπάτῃ περιενόστει τὸν κόρακα, τί ταῦτα; λέγουσα, μετριότητι μὲν, ὦ κόραξ, διενήνοχας σώματος, χροιὰν δὲ φέρεις τῇ τῶν ὀρνίθων ἡγεμονίᾳ προσήκουσαν, εἰ δὲ καὶ φωνὴ παρῆν, ἅπασαν εἶχες τὴν τῶν ὀρνίθων ἀρχήν· εἶπεν εἰς ἀπάτην, ὁ δὲ ὑπαχθεὶς τὸν τυρὸν ἐκβαλὼν ἀνέκραγε μέγιστον, φωνῆς ἐπίδειξιν τὴν ἀφαίρεσιν ποιῶν τοῦ θηράματος. ἡ δὲ λαβοῦσα, φωνὴ μὲν, ὦ κόραξ, εἶπε, προσῆν, ὁ δὲ νοῦς ἐπιλέλοιπεν. Ἐχθροῖς πειθαρχῶν ὑποστήσῃ τὴν βλάβην.

9. Ἐξ ἀγροῦ τις ἦγε σῦν, αἶγα καὶ πρόβατον, ὄνος δὲ πάντα ἦγεν εἰς ἄστυ, καὶ τὰ μὲν ἄλλα καθῆστο σιγῇ, μόνη δὲ ἡ ὗς μεγάλῃ φωνῇ παρηνώχλει τὸν ἄγοντα· καὶ ὁ ὄνος πρὸς αὐτήν· τί δῆτα, ἔφη, κομιδὴν [5] ἡσυχον ἅμα ταῖς λοιποῖς οὐ ποιῇ; ὅτι γάλακτος μὲν ἕνεκεν αἶξ, ἐρίων δὲ χάριν ἄγεται πρόβατον, ἐγὼ δὲ σφαγῆς. — Οἶδεν ὁ στένων τὴν πρόφασιν.

10. Θάνατον ἑαυτῶν κατεψηφίζοντο λαγῳοὶ, καὶ τελευτᾷν μὲν ἐδόκει, τὸ δ' ὅποι ζητεῖν ὑπελείπετο· λίμνην δὲ τῷ θανάτῳ προσήκοντα χῶρον ὁρίσαντες ἔθεον. ἅπαντες, ὡς περὶ ταύτην ἀποθανούμενοι. Προσιόντων δὲ τὸν κτύπον οὐκ ἤνεγκαν οἱ περὶ τὰς ὄχθας διατρίβοντες βάτραχοι, τοὺς δὲ τῆς λίμνης μυχοὺς ἅπαντες κατελάμβανον· ἃ δὲ πρεσβύτης ἑωρακὼς λαγῳὸς, λελύσθω, [6] ἔφη, θανάτου ψῆφος, πεφήνασι γὰρ ἡμῶν ἀνανδρότεροι. —

---

4 Cod. τοῖς. 5 Cod. κομιδῇ. 6 Cod. λαλείσθω.

Digitized by Google

Ψυχαγωγοῦσι [7] τοὺς ἀτυχοῦντας οἱ μᾶλλον κακοπραγήσαντες.

Cap. II.

Διηγήματα.

1. Τροίας ἁλούσης αἱ μὲν ἄλλαι Πριάμου κόραι τὸ συμβὰν ἔστεργον, Λαοδίκη δὲ δυσχεραίνουσα φθῆναι θανάτῳ τὴν δουλείαν ἥρεῖτο· καὶ διαστᾶσα μὲν αὐτὴν δέχεται γῆ [1] βουλομένων θεῶν. τελευτᾷ δὲ ἡ παῖς ἥλιον ἔχουσα τῆς δουλείας ἀμάρτυρον.

Ἕτερον.

2. Τὸ δὲ Τιταρησίου [2] θαῦμα σιωπῇ παρελθεῖν ἄλογον· Θετταλίαν γὰρ οὗτος ὁ ποταμὸς παραῤῥεῖ, Πηνειῷ δὲ οὐ [3] συμφύρεται, τὸ δὲ αἴτιον, ὅτι τῆς στυγός ἐστιν ἀποῤῥώξ, [4] ἔφη τὸ ἔπος.

Ἕτερον.

3. Ἐλαία παῖς ὑπῆρχεν Ἀττική, τὰς μὲν κόρας ὥρᾳ σώματος, ῥώμῃ δὲ παριοῦσα τοὺς ἄνδρας· ἀνακειμένη δὲ Ἀθηνᾷ τῇ θεῷ παλαίστρας προσῄει καὶ στάδια· νικώμενοι δὲ παρ' αὐτῆς, οἷς συνεγυμνάζετο, κτείνουσι μὲν ἐκεῖνοι τὴν κόρην ζηλοτυπήσαντες· τιμῶσα δὲ ἡ γῆ τὴν

---

7 Cod. ψυχαγοῦσι. Syllabarum aequalium vel similium altera saepe excidit: ita Cod. noster p. 273. 8. παιδαγῶν. 273, 26. παιδαγόν. Sopat. ζητημ. p. 389. πάντας ὑμᾶς ψηφοφοροῦντας ὁρᾷ. Ald. Vind. ψηφοροῦντας. p. 392. συγκαταθέσθαι τῷ τολμήματι. Ald. Vind. Par. συγκαθέσθαι. p. 402. τὰ δὲ παραδειγματικῶς, τὰ δὲ ἐνθυμηματικῶς. Vind. ἐνθυματικῶς. p. 415. δημαγωγὸν εἶδεν — ἀγόμενον. Ald. δημαγὸν. p. 352. μελετητικώτερος ὅλος γενήσηται. Vind. μελετηκώτερος. Hermog. Prog. c. IX, προσωποποιΐα δὲ. Par. C. προσωποιΐα.

1 Cod. γῆν. Inductus est scriba praecedente αὐτὴν, cujus erroris exempla congessi in ep. crit. p. 15. 2 Cod. Τιταρισίου. cfr. Pausan. Arcad. 18. 2. Bekk. 3 οὐ in codice omissum manus recentior supra lineam scripsit. 4 Cod. ἀποῤῥώξ. II, β. 755.

Digitized by Google

θεὸν φυτὸν ἀντ' ἐκείνης ἀνῆκε, καὶ μεταβαλοῦσα τὸν βίον μένει τὰ γυμνάσια στέργουσα, καὶ τοὺς μὲν ἀγωνιζομένους ὑπασκεῖ τῷ κάρπῳ, τοὺς δὲ νικῶντας στεφανοῖ τῷ θαλῷ. [5]

Ἕτερον.

4. Λίβανος Ἀσσύριον [6] ὄνομα καὶ ἐν ὄρει καὶ ἐν φυτῷ· μειράκιον δὲ τὸ πρὶν ἐγεγένητο τοῖς θεοῖς ἀνακείμενον. Ζηλοτυποῦντες δὲ αὐτὸ δυσσεβεῖς [7] ἄνθρωποι κτείνουσι, καὶ γῆ τιμῶσα θεοὺς ἀνῆκε φυτὸν ὁμοίως θεοῖς ἀνακείμενον· διὸ μᾶλλον εὐφραίνει τοὺς θεοὺς ὁ λίβανον ἢπερ χρυσὸν ἐπιθείς.

5. Κισσὸς τὸ ἄνθος Διονύσου τὸ πρὶν χορευτὴς ἐγεγένητο, καὶ περὶ τὸν ναὸν ἐξορχούμενος διαφθείρεται μὲν εἰς γῆν πεσών, γῆ δὲ τιμῶσα Διόνυσον ἄνθος ἀνῆκε χορεῦον καὶ μετὰ θάνατον τῷ θεῷ, ὅθεν ὁ κισσὸς περιέχει τὴν ἄμπελον τὸ [8] Διονύσου φυτὸν, ὡς ὅτε νέος ὑπάρχων ἐχόρευεν.

6. Κηφεὺς Αἰθιόπων κρατῶν Κασσιέπειαν [9] ἐκέκτητο σύνοικον· ἣ τοσοῦτον ἐπῆρε διὰ κάλλος φρονεῖν, ὡς αὐτὰς οἴεσθαι Νηρηΐδας [10] ὑπερβάλλειν· ἀγανακτήσας δὲ ἐπὶ τούτοις ὁ Ποσειδὼν κῆτος ἀνῆκε τὴν Αἰθιόπων γῆν λυμαινόμενον· ἀπορῶν δὲ Κηφεὺς λύσιν τοῦ δυστυχήματος ἤκουεν, εἰ τὴν Ἀνδρομέδαν παραθήσει τῷ κήτει, καὶ παρατυχὼν ὁ Περσεὺς ἀπολιθοῖ μὲν τῇ Γοργόνῃ τὸ κῆτος, σωτηρίας δὲ γέρας τὸν τῆς σωθείσης ἐκομίσατο γάμον.

---

5 Schneider. Lex. s. v. in dubium vocat hanc formam: redit eadem infra sub nr. 8. et VIII. 1. et 4. 6 Cod. Ἀσύριον. 7 Cod. δυσεβεῖς. — l. 12. vv. διὸ μᾶλλον εὐφραίνει τοὺς θεοὺς ex margine interiore in contextum invexi. Fortasse respexit ad Antisthenis apophthegma [Arist. Rhet. III. 4.] Ἀντισθένης Κηφισόδοτον τὸν λεπτὸν λιβανωτῷ εἰκασεν, ὅτι ἀπολλύμενος εὐφραίνει. 8 Cod. τῷ. 9 Cod. Χασιέπειαν. 10 Cod. Νηριΐδας.

Digitized by Google

7. Ἀρίων ὁ Μηθυμναῖος[11] πρὸς κιθάρας ἀσκεῖτο τὴν τέχνην. Περιάνδρῳ δὲ τῷ τυράννῳ συνὼν εἰς ἐργασίαν ἀπέπλει χρημάτων, καὶ Κορινθίας νεὼς ἐπιβὰς εἰς Ἰταλίαν ἀπῆρεν· ἐπανιὼν δὲ αὖθις ἐξ Ἰταλίας ἐπὶ τὴν Κόρινθον ἐκ τῶν πλεόντων ἐπιβουλεύεται, καὶ τὴν ἐπιβουλὴν θεωρῶν ἐδεῖτο τῶν ναυτῶν ἀναβάλλεσθαι θανάτου προοίμιον· καὶ οἱ μὲν εἴασαν, ὁ δὲ ᾖδε· δελφὶς δέ τις ἀκούων περιεσκίρτα τὴν ναῦν· καὶ παρὰ[12] τῶν πλεόντων ἐκβαλλόμενον τὸν Ἀρίωνα φέρων ἐπὶ νώτου ἐπὶ τὸ Ταίναρον ἔσωσε, καὶ νῦν ἐκεῖσε χαλκοῦς Ἀρίων κατέστηκεν ἐπὶ χαλκοῦ δελφῖνος ὀχούμενος, σώζων εἰκόνι τὸ γεγονός.

8. Ἥρα τῆς πίτυος ὁ Πὰν ἀντήρα καὶ βορέας αὐτῆς· ἑκατέρου δὲ προσαγομένου τὴν κόρην πρὸς τὸν Πᾶνα μεθίσταται, καὶ ζηλοτυπεῖ μὲν ἐπὶ τούτοις βορέας· πνεύσας δὲ ἐπ᾽ αὐτῇ βιαιότερος τὴν μὲν κόρην ὠθεῖ, παραλαβοῦσαι δὲ πέτραι τῷ θανάτῳ παρέδοσαν, γῆ δὲ ἐλεοῦσα τὸ πάθος, ἀνῆκε δένδρον ὁμοίως πρὸς τοὺς ἐραστὰς διακείμενον· τὸν μὲν γὰρ Πᾶνα στεφανοῖ τῷ θαλῷ, θρηνεῖ δὲ τοῦ βορέου προσπνεύσαντος.

9. Θίσβη καὶ Πύραμος τὸν ἴσον πρὸς ἀλλήλους ἐκέκτηντο πόθον. ἐρῶντες δὲ ἐπλησίαζον· κύουσα δὲ ἡ παῖς καὶ τὸ γεγονὸς πειρωμένη λαθεῖν ἀναιρεῖ μὲν ἑαυτὴν, μαθὼν δὲ ὁ νέος παραπλησίαν ὑφίσταται τύχην, καὶ θεοὶ τὸ συμβὰν ἐλεήσαντες εἰς ὕδωρ ἄμφω μετέστησαν, καὶ ποταμὸς μὲν γεγονὼς[13] ὁ Πύραμος διαῤῥέει τοὺς Κίλικας, πηγὴ δὲ ἡ Θίσβη, καὶ παρὰ τοῦτον ποιεῖται τὰς ἐκβολάς.

---

11 Cod. *Μυθημναῖος*. De orthographia hujus nominis vide Boisson. ad Herodiar. p. 81. 12 Cod. *περί*. 13 Cod. *γεγονός*.

Digitized by Google

10. Ἀταλάντην τὴν Οἰνέως[14] ἔχειν μὲν ἐπόθουν πολλοί, Ἱππομένης δὲ παρ' ἑτέρους ἀπείληφε· μνωμένων γὰρ τὴν κόρην πολλῶν, ἆθλον ἑαυτὴν ἡ παῖς παρετίθει τοῖς νικᾶσιν εἰς δρόμον. Καὶ πάντων ἀπολειπομένων τὸ τάχος, Ἀφροδίτην Ἱππομένης εὕρατο σύμμαχον, καὶ μῆλα χρυσᾶ παρ' ἐκείνης λαβὼν ἠφίει παρὰ τὸ στάδιον, καὶ ἡ μὲν τὰ μῆλα συνέλεγεν[15], ὁ δὲ παρῆει συλλέγουσαν, καὶ τέχνῃ μᾶλλον ἢ ῥώμῃ τὸν Ἀταλάντης ἐκτήσατο γάμον.

11. Μηκυνόμενος τῆς Τροίας ὁ πόλεμος εἰς χρείαν τοὺς Τρῶας καὶ τῆς τῶν γυναικῶν συμμαχίας κατέστησε, καὶ παραγίνεται μὲν ἐπικουροῦσα Τρωσὶ Πενθεσίλεια· πεσοῦσα δὲ δι' Ἀχιλλέως ἐν ὅπλοις εἶλεν ἐξ ἔρωτος, ὃν ἑλεῖν οὐκ ἔσχε μαχόμενον.

12. Τριτταὶ χάριτες ἐν ἄνθεσι καὶ θεαῖς καὶ κόραις γεγόνασιν. Ἐθεοκλέους γὰρ παῖδες ἦσαν, αἳ ταῖς Χάρισι θεαῖς ἐξορχούμεναι καταφέρονται μὲν εἰς φρέαρ οὐ προορώμεναι· γῆ δὲ ἐλεοῦσα τὸ πάθος ἄνθος ἀνῆκε ταῖς κόραις ὁμώνυμον καὶ τοῖς βλαστήμασιν ὅμοιον· διαιρεῖται γὰρ τὸ ἄνθος εἰς τρεῖς κορυφὰς ἀποσῶζον τὴν ὄρχησιν.

Cap. III.

Περὶ χρείας μικτῆς.

Χρεία αὕτη μικτή. Διογένης[1] μειράκιον ἐωρακὼς ἀτακτοῦν τὸν παιδαγωγὸν ἐτύπτησεν, ἐπειπών, τί γὰρ τοιαῦτα παιδεύεις.

Φιλοσοφίαν ἅπασαν ἐπαινέσαι καλὸν, μάλιστα δὲ ἣν Διογένης ἠσκήσατο· τὸ μὲν γὰρ ζητεῖν τὰς τῶν ἄστρων ὁδοὺς

14 Manus recentior correxit: σχοινέος. 15 Cod. τῶν μήλων συνέλεεν; manus serior correxit: συνέλεγεν.

1 Cfr. Libanii Progymn. p. 862. ed. Reiske.

Digitized by Google

ὁδοὺς καὶ περισκοπεῖν τὴν ἡλίου περίοδον ἑτέροις παρῆκεν[2]· αὐτὸς δὲ τὴν ἐπιστήμην εἰς ἐπανόρθωσιν ἐποιεῖτο τῶν τρόπων· ὅθεν κατ᾽ ἀγορὰν ἐμβαλὼν καὶ περιτυχὼν μὴ σωφρονοῦντ, παιδὶ, παρεστηκότος παιδαγωγοῦ, τὸν μὲν παῖδα παρῆκεν, ἐπὶ δὲ τὸν παιδαγωγὸν μετελθὼν ἀντὶ τοῦ παιδὸς σωφρονίζει τὸν φύλακα, καὶ τὴν αἰτίαν τῆς πληγῆς οὐκ ἀπέκρυψε· τοσαῦτα γὰρ, ἔφη, πᾶς οὐ καλῶς παιδαγωγῶν ὑποστήσεται, καὶ ἃ μὲν εἴργασται,[3] τάδε· πάρεστι δὲ ἐκ τῶν ἐφεξῆς κατιδεῖν ὡς καλῶς· κατιδὼν γὰρ ὁ Διογένης, ὡς μὲν νεότης χρῆμα τῶν ὄντων ἀλόγιστον, πολιαὶ δὲ, εἰ καὶ μηδὲν ἕτερον, τὴν ἀπὸ τοῦ χρόνου κέκτηνται πεῖραν, καὶ τοὺς πατέρας εἰδὼς, ὡς χρημάτων πολλῶν πρεσβύτας ὠνοῦνται, καὶ παρακαθιστᾶσι τοῖς νέοις, ἐπανορθούμενοι τὸ τῆς νεότητος ἄβουλον τῇ τῶν πρεσβυτέρων βουλῇ, ταῦτα εἰδὼς ἀφεὶς τὸν νέον ἐπὶ τὸν παιδαγωγοῦντα μετέρχεται, ᾧ τὸν παῖδα παρεκατέθεντο σωφρονίζειν, τοῦτον ἀντὶ τοῦ παιδὸς προελόμενος· εἰ γὰρ μὴ τῷ παιδαγωγῷ τὴν πληγὴν, ἀλλὰ τῷ παιδὶ προσετρίψατο, τίς οὐκ ἂν ᾐτιᾶτο τὸν Διογένους σωφρονισμὸν, μηδὲν μὲν ἐπισταμένης νεότητος, οἷς δὲ μὴ κρίνει θαυμαζούσης ἀεὶ τὸ γενόμενον· ὥσπερ δὲ τὰ ναυτῶν ἁμαρτήματα κυβερνήταις ἐπανατίθεται, καὶ χορὸς πλημμελῶν[4] ἐν αἰτίαις ποιεῖ τὸν διδάσκαλον, καὶ στρατὸς ἀκοσμῶν αἰτιᾶσθαι παρασκευάζει τὸν στρατηγὸν, οὕτω παῖς ἁμαρτὼν κατηγορεῖσθαι ποιεῖ τὸν παιδαγωγόν. Τὴν Ἀθηναίων σκόπει μοι πόλιν, ἢ πεπτωκότων ἐν Ἑλλησπόντῳ στρατιωτῶν, τοὺς στρατηγοὺς μᾶλλον ἢ τὸν Ἑλλήσποντον ἔκρινεν, ἐφ᾽ οἷς τοὺς πεπτωκότας τῶν στρατιωτῶν οὐκ ἀνείλοντο, καὶ γεγονὸς ἐξ ἑτέρων ἐπὶ τὴν τῶν στρατηγῶν ἀνήγετο μέμψιν, καὶ Θεμιστοκλέα τῆς ἐν Σαλαμῖνι νίκης ἠτιῶντο, καὶ ταῦτα ναυμαχοῦντος δήμου καὶ πόλεως· οὕτω τοῖς ἡγουμένοις ἐφ᾽

2 Cod. παρῆκε. 3 Cod. εἴργασθαι. 4 Cod. πλημελῶν.

ἑκάτερα τὰς αἰτίας ἀνατιθέασι καὶ κατορθοῦσι καὶ πταίουσιν, ἐφ' οἷς τὸν Σοφοκλέα θαυμάζεσθαι δεῖ, πόλιν ἅπασαν τῶν ἡγουμένων εἰπόντα, τοὺς δ' ἀκοσμοῦντας ἀνθρώπους διδασκάλων τρόποις πονηροὺς γίνεσθαι· πρὸς ἃ πάντα δεῖ βλέποντας ὡς σωφρονιστὴν ἄριστον Διογένην θαυμάζειν.

Περὶ ἀμίκτου[1] χρείας.

Θεανὼ ἡ Πυθαγορικὴ φιλόσοφος ἐρωτηθεῖσα, πόσον ἔσται ἀπ' ἀνδρὸς γυνὴ προσελθοῦσα τοῖς θεσμοφορίοις, εἰ μὲν ἐξ οἰκείου, παραχρῆμα, ἔφη, εἰ δὲ ἀπ' ἀλλοτρίου, μηδέποτε.

Τὴν φιλοσοφίαν ἐπαινουμένην ἐπὶ παντὶ θαυμάζεσθαι μᾶλλον Πυθαγόρας παρέσχετο· διῃρημένων γὰρ τῶν γενῶν καὶ πρὸς τὰς φύσεις ποιουμένων τὰς πράξεις Πυθαγόρας φιλοσοφῶν συνῆψε τὰ γένη πρὸς ἀρετὴν οὕτω· γυναῖκας φιλοσοφίαν ἀναπείθων τιμᾷν, ὡς ἄνδρες πεφύκασι, καὶ πολλαὶ μὲν τῆς Πυθαγόρου σοφίας ἀπώναντο· μάλιστα δὲ Θεανώ, περὶ ἧς τί δεῖ τἄλλα διεξελθεῖν, ἀλλ' οἷα περὶ σωφροσύνης ἐνομοθέτησεν. Μυστήρια ἦν, καὶ περὶ ταῦτα γυνὴ προσήει τοῖς ἱεροῖς· δεδοικυῖα δὲ, μὴ προσιοῦσα θεοῖς ἀδικοίη θεούς, Θεανοῦς ἐπύθετο, πόσον ἂν χρόνον ἀνδρὸς διεστῶσα γυνὴ προσίοι τοῖς ἱεροῖς· ἡ δὲ τὴν μὲν κατὰ νόμους ἀνδρὶ συνοικήσασαν[2] μετὰ τὴν ἄμιλλαν προσάγει τοῖς ἱεροῖς, τὴν δὲ νόθον ἡδονὴν προτιμήσασαν ἀλλοτριοῦ καθάπαξ τῶν ἱερῶν· καὶ ἃ μὲν ἐφιλοσόφησε τάδε· τὸ δὲ θαῦμα τοῖς ἑξῆς δηλωθήσεται. Γάμος μὲν γὰρ ἅπας εὕρημα καὶ δῶρον θεῶν, φυλακὴ δὲ τῆς φύσεως, καὶ κοινῆ παντὸς συνθήκη τοῦ γένους. οὗτος οὐρανὸν μὲν θεῶν ἀναπίμπλησι, τὴν δὲ γῆν τῶν μετ' ἐκείνους γενῶν, καὶ τοῖς μὲν

1 Cod. περὶ ἀ χρείας. scripsi ἀμίκτου. 2 Cod. συνοικίσασαν.

Digitized by Google

θεοῖς φύλακα καταλείπει τὴν φύσιν, τοῖς δὲ λοιποῖς τῶν γενῶν ἑαυτὸν ποιεῖ τῆς γονῆς φυλακτήριον· ἃ γὰρ ἡ φύσις ἀπορεῖ τελευτῶσα, ταῦτα γάμος ταῖς διαδοχαῖς ἀναπληροῖ τῶν γενῶν· καὶ δοκεῖ τὸ γένος ἀθάνατον οἷς ἐπιγίνεται· νόθον δὲ ἡδονὴν ἀγνοοῦσι μὲν οἱ θεοὶ, κολάζουσι δὲ νόμοι, καὶ σωφρονοῦντες ἄνθρωποι φεύγουσιν· ὥσπερ δὲ ὅσοι τοῖς κρείττουσι θύουσι, τὰ νενοσηκότα τῶν θυσιῶν ἀποκρίνουσι, οὕτως οἱ νοσοῦντες τὰς ἡδονὰς ἔξω τῆς[3] τῶν θεῶν τελετῆς καθεστήκασιν. Ὅρα τὴν Νῖνον, τὴν Ἀθηναίων ἱέρειαν, ἣ τὰς ἡδονὰς ἀναμίξασα θύμασι δέδωκε δίκην οὐ σμικρὰν παροινήσασα. διὸ καὶ περὶ ταῦτα Σοφοκλέα θαυμάσαι με δεῖ, φιλοσοφοῦντα τοὺς θεοὺς προσκειμένους τοῖς σώφροσιν, ἀπεχθανομένους δὲ τοῖς[4] τὰς ἡδονὰς προτιμήσασιν. Ὁ τοίνυν θαυμάζων τὴν Θεανὼ τὴν Πυθαγόρου θαυμαζέτω σοφίαν.

Περὶ χρείας λογικῆς.

Διογένης ἐκ Λακεδαίμονος εἰς Ἀθήνας ἰὼν, πόθεν ποῖ βαδίζεις ἐρομένου τινὸς, ἐκ τῆς ἀνδρωνίτιδος[1] ἐπὶ τὴν γυναικωνῖτιν εἶπεν.

Ὅσον Ἡρακλῆς εὖ ποιεῖ καὶ ζηλούμενος, Διογένης δηλοῖ πρὸς ἐκεῖνον ὁρῶν. Ἡρακλέους γὰρ ζηλωτὴς καταστὰς, οὐ μόνον εὖ ποιεῖν ἐπειρᾶτο τοὺς ἐντυγχάνοντας, ἀλλὰ καὶ πόλεις ὅλας ἐπὶ βραχέος ἐσωφρόνισε ῥήματος· τὴν γὰρ Σπάρτην ἀφεὶς καὶ περὶ τὰς Ἀθήνας ἰὼν, ἐπειδή τις αὐτοῦ τὴν πορείαν ἐπυνθάνετο, τὴν ἀνδρῶν, εἶπεν, ἑστίαν ἀφεὶς ἐπὶ τὴν γυναικῶν κατελήλυθα, ἔργοις τὰς φύσεις δηλῶν οὐκ ὀνόμασι· καὶ ἃ μὲν ἐφιλο-

---

2 Cod. τοῖς. 3 τοῖς inserui: cod. om.

1 Cod. ἀνδρονίτιδος. Diog. Laërt. VI. 2. 59. πρὸς τὸν πυθόμενον, ποῖ καὶ πόθεν, ἐκ τῆς ἀνδρωνίτιδος, εἶπεν, εἰς τὴν γυναικωνῖτιν.

Digitized by Google

σόφησε, τάδε· σαφέστερα δὲ τῶν λεχθέντων τὸν νοῦν ἑκατέρα δείκνυσι πόλις· Λακεδαιμόνιοι γὰρ πολιτεύονται τὴν ὀλίγων ἀρχὴν, καὶ πόλιν οἰκεῖν ἀτείχιστον εἵλοντο τὴν γῆν τοῖς οἰκοῦσι τειχίζοντες. εἶτα τελούμενοι νεώτεροι τελετὰς Ἀρτέμιδος τὴν εὐψυχίαν ἤσκουν μελετῶντες ἀεὶ καὶ τελούμενοι· μητέρες δὲ περὶ τὰ σπάργανα πρὸς ἀνδρίαν παιδαγωγοῦσι τοὺς παῖδας, τεῖχός εἶναι τῇ γῇ τοῖς παραγομένοις ἐπιβοώμεναι. Ταῦτα τὴν Διογένους παρεσκεύασε[2] κρίσιν, ἀνδρῶν μητέρα καλεῖν τὴν Σπάρτην. Ἀθηναίων δὲ τὸ μὲν οἷα δημοκρατεῖν, καὶ τὸ μηδὲν ἕτερον ἑτέρου πλέον ἔχειν παρ' ἐκείνοις εὐδοκιμεῖ· ἔπειτα κῶμοι καὶ θέατρα, καὶ τὰς δεξιὰς ἀδικοῦντες τῶν φύσεων· ἐπὶ τούτοις σκηνὴ δι' ἐναντίων πριουμένη τὴν τέχνην, γέλωτα τιμῶσα καὶ δάκρυα, καὶ προσιόντα σπουδάζουσα τοῖς πονηροῖς καὶ τερπνοῖς ἐπιφέρεσθαι· δι' ἃ δὴ πάντα Διογένης γυναικῶν ἑστίαν τὰς Ἀθήνας προσεῖπεν· ὥσπερ γὰρ οἱ φυτῶν ἐπιμέλειαν ἄγοντες τὰς τῶν δένδρων φύσεις τοῖς οἰκείοις μεταβάλλουσι πόνοις, οὕτως ἄνθρωποι τὰς αὐτῶν πράξεις πρὸς τὰς οἰκείας ἐκφέρειν ἐγνώκασι φύσεις. Ἑκάτεραν ὅρα μοι πόλιν δεῖγμα τοῦ λόγου σαφέστατον· αἵ τε γὰρ Ἀθῆναι παραλαβοῦσαι τῆς Ἑλλάδος κρατεῖν ἡδοναῖς τὴν ἀρχὴν ἐκβεβλήκασιν· οἱ δὲ Λακεδαιμόνιοι προκινδυνεύειν ἐθέλοντες τὴν τῶν Ἀθηναίων ἀρχὴν εἰς αὐτοὺς μετεστήσαντο. κἂν ταῖς κωμῳδίαις Ἀριστοφάνης τῆς τῶν Ἀθηναίων ῥᾳθυμίας κατήγορος, μηδὲν ἄλλο δρᾷν πλὴν δικάζεσθαι φήσας· ὁ δ' αὖ Εὐριπίδης φιλοσοφῶν τὰς Λακεδαιμονίων κόρας συγγυμνάζεσθαι τοῖς νέοις φησὶν, οὐκ ἀκρασίαν κατηγορῶν, ἀλλὰ τὴν ῥώμην ἑκατέροις ἐξ ἴσου διδοὺς ἀνδράσι τε ἅμα καὶ μετ' ἐκείνους ταῖς γυναιξίν. Πῶς οὖν ἦν ἐπαληθεῦσαι Διογένῃ φιλοσοφήσαντι μὴ τοῦτον ἀμφοῖν προτεθέντα τὸν ὅρον.

2 Cod. παρεσκεύασαι.

Περὶ χρείας πρακτικῆς.

Λάκων[1] *ἐρωτηθείς, τίνες ἂν εἶεν τῆς Σπάρτης οἱ ὅροι, τὸ δόρυ ἔδειξεν.*

Τὴν αὐτῶν ἀρετὴν ἐπὶ τῶν ἔργων Λακεδαιμόνιοι φέρουσιν· Ἡρακλέους γὰρ ὄντες ἀπόγονοι τοῖς πεπραγμένοις δηλοῦσι τὸν πρόγονον, καὶ Λακεδαιμονίους μὲν ὑπῆρξεν ἐφ' ἅπασιν ἄγασθαι[2]*, μάλιστα δὲ ὧν περὶ τῆς τῶν πόλεως ἐπράξαντο κρίσεως. Οἰηθεὶς γάρ τις τὴν Λακεδαίμονα τοσοῦτον χώρας περιβαλέσθαι μέτρον, ὅσον τροπαίων ἐπράξατο πλῆθος, προσιὼν ἐπυνθάνετο· ποῖ δὲ οἱ τῆς Σπάρτης καθεστήκασιν ὅροι· ὁ δὲ τὴν γῆν ὑπερβὰς ἐπὶ τοῦ δόρατος κατεμέτρει τὴν Σπάρτην, καὶ ὁ μὲν εἴργασται τάδε, τὸ δὲ θαῦμα παρὰ τῶν ἐφεξῆς ὑπάρχει καταμαθεῖν. Ἅπαντες ἄνθρωποι τὰς αὐτῶν χώρας τοῖς οἰκείοις περιβάλλουσιν ἔργοις, καὶ νικῶντες μὲν ἐπὶ πλεῖστον ἐκφέρουσιν, ἀφαιροῦνται δὲ νικηθέντες τὴν γῆν, καὶ τὴν τῶν ἔργων μένουσι νίκην τοῖς κατορθουμένοις ὁρίζοντες ἢ τῷ χωρίῳ, ὥστε εἰ μὴ τὸ δόρυ, δι' οὗ πράττεται πόλεμος, ἀλλὰ τὴν γῆν ὑπῆρχεν ὁ Λάκων ἐπιδειξάμενος, ἐδόκει ψευδὴς μεταβολὴ τύχης ἕτερον Σπάρτης φερούσης ὅρον. Ὥσπερ δὲ οἱ πονεῖν τὰ*[3] *τῆς γῆς προελόμενοι τὰ κηπεύματα ταῖς ἐργασίαις ἐκτείνουσιν, οὕτω καὶ οὗτοι τοῖς ἔργοις αὐτήν. Θέα μοι τῶν Λακεδαιμονίων τὴν πόλιν, ἣ προῆλθε μὲν τὸ πρῶτον ἐκ Δωριέων· ἔπειτα Πελοπόννησον*[4] *ἐπεισήνεγκεν ἅπασαν, καὶ τῆς ὅλης Ἑλλάδος ἡγεῖτο κρατήσασα· πρὸς ἃ δὴ βλέπων*

1 Theon. Prog. c. 5. *Λάκων ἐρομένου τινὸς αὐτὸν, ποῦ τοὺς ὅρους τῆς γῆς ἔχουσι Λακεδαιμόνιοι, ἔδειξε τὸ δόρυ.* Agesilao tribuit Plut. Apophth. Lacon. p. 179. Hutt. 2 Cod. ἄγεσθαι. Idem vitium infra: *καὶ πολλῶν μὲν πάρεστι τοὺς ποιητὰς ἄγεσθαι.* in Catasceue nr. 2. 3 τὰ Cod. om. manu seriori supra lineam scriptum τοῖς, praetuli τα. 4 Cod. *Πελοπόνησον.*

Digitized by Google

Ἀλκαῖος[3] ὁ ποιητὴς, οὐ ξύλα καὶ λίθους, ἀλλ' ἄνδρας ἐφιλοσόφησε πόλεως σύστασιν· ἐπαινετέα τοίνυν ἐστὶν ἡ Λακεδαιμόνων καὶ φιλοσοφοῦσα καὶ πράττουσα.

Cap. IV.

Περὶ γνώμης ἀποφαντικῆς.

1 Σοφὸν ἓν βούλευμα ὑπὲρ χεῖρας πολλάς.[1]

Ἦν ἄρα Εὐριπίδης παλαιᾶς ᾠδῶν ἐπὶ σκηνῆς συμφορὰς οὐκ ὀνειδίζων τοῖς πεπονθόσι τὰς τύχας, ἀλλὰ φυλάττεσθαι προβιβάζων τοὺς θεατάς· οἷς γὰρ δακρύει τοὺς πάσχοντας, παθεῖν τοὺς λοιποὺς οὐ κατέλιπε· καὶ πολλῶν μὲν ἄν τις τὸν Εὐριπίδην θαυμάσαιτο, μάλιστα δὲ ὧν περὶ τῆς σοφίας[2] ἐφιλοσόφησεν[3]· ὁρῶν γὰρ τοὺς πολλοὺς σοφίας προτιμῶντας τὴν δύναμιν φθέγγεται τὸ περὶ αὐτῆς, ἀντεξετάζων ἑκατέρας τὴν φύσιν· καὶ τί φησιν; ὁ σοφῶς βουλευσάμενος τῶν πολλὰ πράττειν ἐγνωκότων ἀμείνων· καὶ ἃ μὲν ἐφθέγξατο τάδε, πάρεστι δὲ ἰδεῖν, ὡς καλῶς· πρῶτον μὲν γὰρ περίβολοι πόλεων χερ-

3 Alc. Fragm. IX. ed. Gaisf.: ἄνδρες πόληος πύργοι ἀρήϊοι. Aristid. ὑπὲρ τῶν τεττ. p. 207. μόνος δέ μοι δοκεῖ πάντων ἀνθρώπων ἢ κομιδῆ γε ἐν ὀλίγοις δεῖξαι Θεμιστοκλῆς ἀληθῆ τὸν λόγον ὄντα, ὃν πάλαι μὲν Ἀλκαῖος ὁ ποιητὴς εἶπεν, ὕστερον δὲ οἱ πολλοὶ παραλαβόντες ἐχρήσαντο, ὡς ἄρα οὐ λίθοι οὐδὲ ξύλα οὐδὲ τέχνη τεκτόνων αἱ πόλεις εἶεν, ἀλλ' ὅπου ποτ' ἂν ὦσιν ἄνδρες αὐτοὺς σώζειν εἰδότες, ἐνταῦθα καὶ τείχη καὶ πόλεις. Aeschyl. Pers. 355. ἀνδρῶν γὰρ ὄντων ἔρκος ἐστὶν ἀσφαλὲς, ubi similes locos congessit Blomf., quibus adde Plut. Lycurg. c. 19. οὐκ ἂν εἴη ἀτείχιστος πόλις, ἄν τις ἀνδρείοις καὶ οὐ πλίνθοις ἐστεφάνωται.

1 Est etiam apud Doxopatrum in Homiliis. Vide Eurip. Antiope: σοφὸν γὰρ ἓν βούλευμα τὰς πολλὰς χέρας νικᾷ· σὺν ὄχλῳ δ' ἀμαθία πλεῖστον κακόν. Valk. Diatr. in Eurip. c. VIII. p. 78. a. 2 Fuit in codice φιλοσοφίας: sed φιλο erasum est. 3 Cod. ἐφιλοσόφησεν.

σὶν ἀνεστήκασι πλείοσι, σοφωτέρᾳ δὲ τελεοῦνται βουλῇ· εἶτα αἱ κατὰ θάλατταν ἐργασίαι· ναῦς ἐρέττεται μὲν ἐρέταις πολλοῖς, ἰθύνεται δὲ κυβερνήτου βουλεύμασι· καὶ κατὰ μάχας στρατεύματα πολλοῖς μὲν ὁπλίταις ἀνταγωνίζεται, κατορθοῖ δὲ νίκην στρατηγὸς τοῖς βουλεύμασιν· εἰ δέ τις σοφίαν ἐξέλοι τῶν ὄντων, οὐκ ἀσφάλεια πόλεσιν, οὐ σωτηρία τοῖς πλέουσιν, οὐ στρατευομένοις ἵστανται τρόπαια· ὥσπερ δὲ ὁ νοῦς παντὸς ἡγεῖται τοῦ σώματος, οὕτω καὶ τὸ βούλευμα τῶν χειρῶν ὑπῆρξεν ὠφελιμώτερον. Θεμιστοκλέα σκόπει τὸν στρατηγὸν, ὃς ἐπὶ τῶν Περσῶν καὶ συγκρυψάντων πεζῶν μὲν πλήθει τὴν γῆν, τριήρεσι δὲ τὴν θάλατταν, μόνος σοφωτέραν ἀντιτάξας βουλὴν πᾶσαν ἐξήλεγξε τὴν τῶν βαρβάρων παρασκευήν, διὸ θαυμάσαι τὸν Ὅμηρον[4] δεῖ βουλῇ φιλοσοφοῦντα κρατεῖν ἡνίοχον, καὶ κυβερνήτην ἀμείνονα[5] τὸν βουλεύμασι χρώμενον, καὶ δρυτόμον ἐκτεμεῖν ἑτοιμότερον τὸν μᾶλλον χειρῶν τοῖς βουλεύμασι χρώμενον. πρὸς ἃ δεῖ βλέποντας ἐπαινεῖν Εὐριπίδην, σοφίαν μᾶλλον χειρῶν ἐπαινέσαντα.

2. *Δεῖ δή*[1] *χρημάτων καὶ ἄνευ τούτων οὐδέν ἐστι γενέσθαι τῶν δεόντων.*

Μέγα φανεῖσα τῶν ῥητόρων ἡ τέχνη μεῖζόν τι λαβεῖν ἐκ τῆς Δημοσθένους ἔσχε δυνάμεως· ὥσπερ γὰρ ἡ τέχνη τὰς ἄλλας ἐργάζεται τέχνας, τοῦτο παρ' αὐτὴν ὁ ῥήτωρ τοὺς ἄλλους ἀπέδειξε ῥήτορας· καὶ πολλῶν μὲν

4 Il. Ψ. 315. sqq. 5 Cod. ἀμείνωνα.

1 Dem. Olynth. I. p. 15. in codice *ἐστί τι τῶν δεόντων.* supra lineam scriptum est *γενέσθαι.* Idem thema suo modo tractant Georgius Pachymeres, Anonymus in Cod. Ven. 444. et Liban. p. 1125. ed. Reiske. Locus ipse saepissime laudatur, ab Aphthon. Prog. IV., alios nominat Ruediger ad Demosth.

Digitized by Google

ἄν τις Δημοσθένην θαυμάσειε, μάλιστα δὲ ὧν περὶ τῶν πόρων λέγει· [2] ὁρῶν γὰρ τοὺς πολλοὺς τὸ δέον ἑτέρως κρίνοντας, φθέγγεταί τι περὶ αὐτοῦ, καὶ δηλῶν τἀληθὲς καὶ τὸν τῶν ἀνθρώπων βεβαιούμενος τρόπον· καὶ τί φησιν, ὁ χρημάτων χωρὶς ἐγχειρῶν κατορθοῦν, οὐκ οἶδεν ὅθεν ἅπαντα πράττεται· καὶ ὁ μὲν ἐφιλοσόφησε τάδε· πάρεστι δὲ ἐκ τῶν ἐφεξῆς κατιδεῖν· εἰρῆναι καὶ μάχαι τὸν τῶν ἀνθρώπων διειλήφασι βίον· τούτων ἑκάτερον τὴν ἀπὸ τῶν χρημάτων ἀναμένει δαπάνην· οὔτε γὰρ σοφίαν ἐν εἰρήνῃ λαβεῖν, οὔτε τὴν νίκην ἐν πολέμῳ περιεῖναι· εἰ μὴ τὰ χρήματα παρεῖχεν ἑκατέροις τὸ πέρας. καὶ τί δεῖ πόλεμον ἢ τὴν ἡσυχίαν διεξελθεῖν; ἀλλ' αὐταὶ τῶν θεῶν αἱ τιμαὶ τὴν ἀρχὴν οὐκ ἐτύγχανον μὴ τὰς θυσίας ἐπιφέρουσαι χρήμασι· καὶ γηροτροφεῖν παῖδες πατέρας οὐκ εἶχον, μὴ ταῖς εὐπορίαις τελοῦντες τὸν νόμον, ἀλλ' οὐδὲ πατέρες ἐδύναντο τρέφειν παῖδας, μὴ τοῖς χρήμασι τιμῶντες τὴν φύσιν, καὶ οὕτω γεωργεῖν ἢ πλεῖν δίδωμι, ἃ συναμφότερα τῇ τῶν χρημάτων περαιοῦνται δαπάνῃ. Εἰ δέ τις ἐξέλοι τῶν ὄντων τὰ χρήματα, πᾶσαν ἀναιρεῖ τοῦ βίου τὴν ὄνησιν, οὔτε γὰρ πόλεμος εἶχε παρασκευὴν, οὔτε περιβόλους αἱ πόλεις, οὔτε στρατεύματα δύναμιν, οὔτε ἄλλο τῶν ὄντων οὐδὲν διεπράττετο μὴ κατορθούμενα χρήμασιν· ὥσπερ δὲ ναῦς παραιτεῖται τὸ πλεῖν διαμαρτοῦσα τοῦ κυβερνήτου, οὕτως ὁ βίος ἀπορεῖ τι ποιεῖν χρημάτων διαμαρτών. Τὴν Ἀθηναίων ὅρα μοι πόλιν, ἣ κατορθοῖ μὲν ἐν Ἕλλησι πλειόνων χρημάτων εὐπορήσασα, δαπανήσασα δὲ τὸν περιόντα πλοῦτον τῇ πόλει συναφῄρηται μετὰ τῶν χρημάτων τὴν νίκην. διὸ θαυμάσαι τὸν Πίνδαρον δεῖ εὑρυσθενῆ [3] τὸν πλοῦτον φιλοσοφήσαντα· ἃ δεῖ σκοποῦντα Δημοσθένη θαυμάσαι κάλλιστα περὶ τῶν χρημάτων γνωμολογήσαντα.

---

2 λέγει abest a codice. 3 Pyth. V. 1.

Digitized by Google

3. Ἄφρων [1] δ' ὃς κ' ἐθέλῃ πρὸς κρείσσονα ἀντιφερίζειν.

Μουσῶν ἀληθῶς ὁ φιλοσοφῶν Ἡσίοδος ἔφρασε, γνωμολογεῖ γὰρ τὰ θεῶν, καὶ παράγει θεοὺς ἐκ θεῶν, καὶ λαθεῖν οὐκ ἐᾷ, τίς τε ἑκάστου προῆλθε καὶ τίνος, καὶ πολλῶν μέν ἐστιν ἐπαινεῖν τὸν Ἡσίοδον, μάλιστα δὲ, ὧν τὸν βίον εἶπεν οἰκονομῶν· νουθετῶν γὰρ ἥττους ὑπείκειν τοῖς κρείττοσιν ἄφρονας ὥρισε τοὺς ἀντεροῦντας τοῖς ὑπερέχουσι· καὶ ἃ μὲν ἔφη τοιάδε· τῶν δὲ ἐφεξῆς θαυμασθήσεται· λογισάμενος γὰρ, ὡς εἰς ἅπαν οἱ χείρους τῶν ἀμεινόνων ἀπολιμπάνονται, συμμάχων, ὅπλων, περιουσίας νεῶν, καὶ ὅσοι ταῖς παρασκευαῖς ἐλαττούμενοι πολεμοῦντες ἡττηθήσονται· [2] καὶ κατηγοροῦντάι τῶν ἡττωμένων πρὸ τῆς ψυχῆς αἱ γνῶμαι, καὶ ὡς ἀβουλότεροι τῷ πεσεῖν ἐνομίσθησαν· ταῦτα σκοπῶν εἰκότως ἀνουτάτους λέγει τοὺς ἀντεροῦντας τοῖς κρείττοσιν· εἰ δὲ τοῦτο, πῶς ὁ ποιητὴς οὐκ ἔλεγχον τῶν ἡττόνων τὴν τῶν πραγμάτων ἐκέκτητο φύσιν· εἰ μὲν γὰρ τῶν ἀνδρειοτέρων [3] ἦν τὸ κρατεῖν, ἡ νίκη δόξαν ἦγε φρονήσεως, εἰ δὲ τῶν δευτέρων τὸ πίπτειν, τὸ χεῖρον ἄβουλον, οἷς πεσεῖν ἀναγκάζεται· καὶ δι' ἀμφοτέρων ὁ ποιητὴς ἐπαινεῖται γνωμολογῶν, οἷς τε σοφὸν τὸ κρατοῦν, καὶ οἷς φαίνεται τὸ νενικημένον ἀλόγιστον· ὥσπερ δὲ οἱ νῦν κυβερνᾷν κληρωσάμενοι σφοδροτέροις ἀνέμοις μαχόμενοι πίπτουσιν, οὕτω τις ἀντιλέγων τοῖς κρείττοσι τὴν ἴσην ὑποστήσεται βλάβην. Ὅρα Θερσίτην, ὃς ἁπάντων Ἑλλήνων ὑπάρχων καταδεέστερος, ἔριν ποιεῖται πρὸς Ἀγαμέμνονα, καὶ διαλοιδορεῖται τῷ κρατοῦντι τῶν Ἀχαιῶν· ἀνθ' ὧν ὑπέσχε τὴν δίκην ἐξ Ὀδυσσέως πλεῖστα παθών, καὶ περὶ τὴν Τροίαν ἀκηκοὼς ἀκριτόμυθος, ἐκ τῆς ἀνοί-

1 Hesiod. ἔργ. 208. 2 Cod. ἡττήσονται. 3 Cod. ἀνδροτέρων.

ας φιλονεικῶν τοῖς ἀμείνοσι· διὰ θαυμάσαι Σοφοκλέα με δεῖ, τοὺς καταδεεῖς φιλοσοφοῦντα παρὰ [4] τῶν δυνατωτέρων κατειργάσθαι, καὶ πεσεῖν μαχόμενον, ἂν μὴ παρῇ παραπλήσιον· οὐ γὰρ ἔστιν, οὐκ ἔστιν ἐπὶ τῆς χέρονος γνώμης ἴσην ἐξενέγκασθαι τύχην, [5] ἀλλὰ τούτων [6] ἀνάγκη μετὰ τῆς ἰσχύος ἐκλείπειν τὴν διάνοιαν· πῶς οὖν οὐκ ἄν τις μᾶλλον ἑτέρων ἐπαινέσῃ ποιητῶν τὸν Ἡσίοδον, ὃς ἄφρονας ἔφη τοὺς τοῖς κρείττοσιν ἀντιπράττοντας.

4. Γνώμη, σοφὸς ὁ πολλὰ φυᾷ εἰδώς, [1] ἀποφαντική.

Πίνδαρον ἐπαινεῖν τὰ παρ' ἐκείνου παρασκευάζει ποιήματα· φθέγγεται μὲν γὰρ ὅσα φίσις ἐπίσταται, θαυμάζει δὲ περὶ τῶν ἄλλων τὴν φύσιν, καὶ τὸ θαυμάζειν παρέχων τὸν Πίνδαρον αὐτὸν ἐπαινῶν καταφαίνεται· γεγονὼς γὰρ ὅθεν καὶ θεοὶ προῆλθον νεώτεροι, θεους εὕρατο τῶν ποιημάτων ὑπόθεσιν, καὶ κινοῦσι μὲν εἰς τὸ λέγειν αἱ Μοῦσαι, φιλοσοφεῖ δὲ τὰ δοκοῦντα θεοῖς, ὅθεν καὶ τὰς Μούσας καλεῖ καὶ γνωμολογεῖ παρ' ὅλην τὴν ποίησιν, καὶ παρέχει δοκεῖν εἶναι Μουσῶν, ἃ φιλοσοφῶν ἀνεκρούετο· καὶ τὸ μεῖζον τὰ ποιήματα συνέμιξε κρούμασιν, ἡδονῇ λύρας βεβαιῶν τὴν ὠφέλειαν, καὶ πολλῶν μὲν ἄν τις ἐπαινέσῃ τὸν Πίνδαρον, μάλιστα δὲ ὧν περὶ πάσης ἐφιλοσόφησε φύσεως. Σοφὸς ὁ λέγων ἃ πέφυκε, καὶ ἃ μὲν ἐγνωμολόγησε τάδε· τοῖς δὲ ἑξῆς θαυμασόμεθα. λογισάμενος γὰρ ὁ Πίνδαρος, ὡς σοφία παρὰ θεοῖς, καὶ σοφοὶ θεοὶ καθεστήκασιν οὐ μαθόντες ἑτέρωθεν, ἀλλ' αὐτοὶ παρ' αὐτῶν ἃ γινώσκουσιν ἴσασι, καὶ τὰς τέχνας αὐτοὶ παρασχόντες ἀνθρώποις μαθεῖν δεδώκασιν, οὐχ ἑτέρων μανθάνουσι· ταῦτα θεωρήσας ὁ

4 Cod. περί. 5 τύχην in codice manu posteriori scriptum est supra lineam. 6 Cod. τοῦτον.

1 Pind. Ol. II. 154.

Digitized by Google

ποιητὴς, σοφὸν προσερεῖ τὸν φύσει τὰ πλείω δυνάμενον· ὁ γὰρ ἑτέρου μαθὼν σοφὸν ἕτερον οὐχ ἑαυτὸν ἐπιδείκνυται, καὶ γίνεται μάθησις σοφίας ἀλλοτρίας ἐπίδειξις. Καὶ ἄλλως ὁ μαθεῖν δεηθεὶς ἀνέμεινεν ἕτερον· ἀτελὴς δὲ ὁ μένων ἄλλον εἰς εἴδησιν· εἰ τοίνυν ἀτελὴς ὁ μαθεῖν δεηθεὶς, σοφία δὲ χρῆμα παντὶ ἐντελέστερον, ὁ τὴν τέχνην παραδραμὼν εἰκότως σοφὸς ὀνομάζεται. εἰ δὲ τὴν τέχνην ὁ Πίνδαρος, ἀλλὰ μὴ τὴν φύσιν ἔφη σοφὸν, ἐλάνθανε τὰ μὲν ἀτελῆ φθεγγόμενος τέλεια, τῶν δὲ ἐντελῶν ἀγνοῶν τὴν ἀλήθειαν, καὶ θνητοὺς μὲν θεῶν δυνατωτέρους ἀποδεικνὺς, εἰ πάντα μανθάνειν ἐγνώκασιν· ἀμαθεστέρους δὲ τῶν ἀνθρώπων θεοὺς, οἳ πάντα μαθεῖν ἄλλους ἐδίδαξαν, καὶ ὅλως τὰ μαθεῖν τοῦ μὴ δεῖσθαι μαθεῖν ἐδόκει σοφώτερον, καὶ πόνος ἀρετὴν παρῆλθεν αὐτόματον· ὥσπερ γὰρ ὅσα γῆ φέρειν οἰκοθεν ἔγνωκεν, ἀμείνω δίδωσι τῶν ὅσα τέχνη περιποιεῖ, οὕτως ὁ πεφυκὼς [2] τοῦ μαθόντος ἔφυ σοφώτερος· Θεμιστοκλέα σκόπει τῶν Ἀθηναίων δημαγωγὸν, ὃς ἐπὶ τὴν Ἑλλάδα Ξέρξου στρατεύσαντος, σοφίᾳ μὲν αὐτὸν τῆς Ἑλλάδος ἐξήλασεν, οὐδὲν δὲ παρ' ἑτέρου μαθὼν μόνοις βουλεύμασι πρὸς ὅλην ἐξήρκεσε νίκην, καίτοι παρῆν αὐτῷ περὶ τὴν μάχην Ἀριστείδης μαθὼν, ἀλλ' οὐδὲν ἐκεῖνος ἐκ μαθήσεως ὤνησεν, ἀλλὰ Θεμιστοκλῆς πεφυκὼς εἶχε διάκονον τὸν πολλὰ μελετήσαντα· οὕτως ἡγεμόνος τάξιν ἡ φύσις, ὑπηρέτου δὲ ἡ τέχνη κομίζεται. διὸ θαυμάσαι Θουκυδίδην με δεῖ, παντὸς τὴν φύσιν δυνατώτερον φήσαντα, καὶ μήτε προμαθεῖν δεῖσθαι τὸν φύσει χρώμενον, μήτε μετ' ἐκείνην ἐπιμαθεῖν. πρὸς ἃ δεῖ βλέποντας ἐπαινέσαι τὸν Πίνδαρον, μόνῃ τῇ φύσει τὴν σοφίαν μετρήσαντα.

2 Cod. πεφυκός.

Cap. V.

Ἀνασκευὴ τῶν κατὰ Ἄλκηστιν.

1. Ἕως ἔρωτας οἱ ποιηταὶ θεῶν κατεψεύδοντο, μετριώτερον ᾠμην τὸ βλασφημεῖν, εἴγε μέτριον ἀδικοῦμεν θεούς. ἐπεὶ δὲ προϊόντες ὁδῷ καὶ δουλείαν κατεψηφίσαντο, πῶς ἀνεκτὸν ἔτι θεοὺς ἀκούειν τὴν τύχην ἀναβάλλοντας· οἷα γὰρ εἰς Ἄδμητον λέγουσιν, ὃν δεσπόζειν ἐροῦσιν Ἀπόλλωνος· Ἄδμητός φησι βασιλεύσας Φερῶν τὸν Πύθιον ἔσχε δουλεύοντα· κατεγνωσμένον δὲ τελευτᾶν ἐκ μοιρῶν, ἐξ Ἀπόλλωνος μετετίθει τὰς μοίρας, καὶ δόξαν ἀντ' ἐκείνου πείσεσθαι πατὴρ μὲν ὤκνει καὶ μήτηρ· Ἄλκηστις δὲ ἡ συνοῦσα προαπελθεῖν Ἀδμήτου δέχεται, καὶ περὶ τὴν συμφορὰν ἥκων Ἡρακλῆς ξενίζεται μὲν παρὰ τὸν Ἄδμητον, ξενιζόμενος δὲ τὴν συμφορὰν ἐπυνθάνετο, καὶ μαθὼν ἀνάγειν ὑπέσχετο· καὶ εἰς μάχην ἐλθὼν τοῖς κάτω θεοῖς ἀποσώζει τὴν ἄνθρωπον. Καὶ ἃ μὲν λογοποιοῦσι τοιάδε. Πάρεστι δὲ ἐλέγχειν ἐνθένδε. Ἄδμητος κρατεῖ Φερῶν· μέχρι τούτου πεισθήσομαι· τὸ δ' ἐφεξῆς ἐξελέγχεται· δι' ὧν γὰρ Ἀπόλλωνα δουλεύειν Ἀδμήτῳ δεδώκασι, καὶ τὴν ἀρχὴν καταλείπουσιν[1] ἄπιστον· τί γὰρ πλημμελῶν[2] Ἀπόλλων ἐδούλευε; πότερον εἰς Δία παροινήσας εἶπέ τι; καὶ πῶς ἔτι θεός; ἔξω γάρ εἰσιν τοῦ παροινεῖν οἱ θεοί· ἀλλ' οὐδὲν ἁμαρτών, οὐκοῦν ὁ Ζεὺς[3] μηδὲν ἁμαρτόντος μετετίθει τὴν τύχην· τί δὲ ὁ Ἀπόλλων νόμον ἐκίνει μοιρῶν; πότερά χάριν τῆς δουλείας εἰδὼς, καὶ τίς πώποτε δουλεύειν καταγνωσθεὶς φυλάττειν τὴν τύχην ἣν κατεψήφισται βούλεται; μία τοῖς δουλεύουσιν αἵρεσις ἡ τῶν δεσποτῶν ὑπῆρξεν ἀναίρεσις. μόνος δὲ τῶν ὄντων δουλεύων ὁ Πύθιος ἠγάπα τηρῶν, ᾧ παθὼν ἐδυσχέραινε. πῶς δὲ τὰς μοίρας ἐκίνει;

1 Cod. καταλίπουσιν. 2 Cod. πλημελῶν. 3 εἰ, quod in codice est post Ζεὺς, delevi.

Digitized by Google

τελευτᾶν γὰρ οἱ κρείττους οὐκ ἴσασι, νόμοι δὲ ὅμως τοῖς τελευτῶσιν, ὅθεν τὸ βέβαιον, καὶ φυλάττειν[4] ἐθέλουσιν, ἃ παθεῖν οὐκ ἐγνώκασι. Πῶς δὲ ἡ μήτηρ κατώκνει τὴν τελευτὴν, ἢ πῶς ὁ πατὴρ ἀνεδύετο θάνατον; τὸν κοινὸν τῶν πατέρων ἐψεύσαντο νόμον, παῖδα πρὸ αὐτῶν ἀπελθεῖν προαιρούμενοι, καὶ γεγηρακότες τοῦ γηροτροφοῦντος προηροῦντο ἁμαρτεῖν, καὶ τῆς ἡλικίας, ἧς νενοσήκασι[5], τὴν παραψυχὴν ἀνῃρήκασιν· εἶτα τελευτησάσης[6] τῆς γυναικὸς Ἡρακλῆς κατήγετο περὶ τὸν Ἅιδην, ἐξενίζετο δὲ καταγόμενος· καίτοι τίς εἶδε[7] πώποτε τοὺς ἀτυχοῦντας ξενίας ἄλλοις παραθεῖναι σπουδάζοντας; τοὐναντίον ὁ νόμος τοῖς ἀτυχήσασι, τοὺς κακοπραγοῦντας ψυχαγωγοῦσιν οἱ μηδὲν ἀτυχήσαντες, Ἡρακλῆς δὲ παρὼν ἐξενίζετο μὲν, ὡς οὐδὲν ἀτυχῶν, οὕτω δὲ συμφορᾶς ὑπῆρχεν ἀλλότριος, ὡς αὐτῷ προσήκειν ξενίσαι τὸν Ἄδμητον. Πῶς δὲ εἰς μάχην ἀνικνεῖτο τοῖς κάτω θεοῖς; τί δὲ ἀνεβίω; συγγενὴς ἦν τοῖς κάτω, ἢ τί τῶν κάτω θεῶν δυνατώτερον; ἅπαντα δεύτερα τῆς ἐκείνων ἀρχῆς· καὶ μένει παρ' αὐτοῖς τὸ πρῶτον ἰδών. Εἰ δὲ δὴ τὰ μάλιστα τὸν Ἡρακλέα κρατεῖν συγχωρήσομεν τῶν κάτωθεν, οὐκ ἔχω κατιδεῖν, ὅπως ἐπανῆκεν ἡ γυνὴ τελευτήσασα. Πολὺ θανάτου καὶ βίου τὸ μέσον, καὶ τὸ θατέρου μεταλαβεῖν θατέρου διΐστησι· νῦν δὲ οἴχεται μὲν Ἄλκηστις ὡς μηκέτι βιώσουσα, βιοῖ δὲ καὶ αὖθις, ὡς τὴν ἀρχὴν μὴ τελευτήσασα. Ταῦτα καὶ τὰ τοιαῦτα λέγειν μὲν οὐκ ἔδει τοὺς ποιητὰς, καὶ εἰποῦσιν ἀπισχυρίζεσθαι δίκαιον.

2. *Περὶ ἀνασκευῆς τῶν κατὰ Κενταύρους.*

Οὐκ οἶδα, ὅ τι παθόντες οἱ ποιηταὶ μυθολογεῖν ἐφ' ἑνὸς οὐκ ἐγνώκασιν· ἢ γὰρ τοὺς θεῶν ἔρωτας πλάττου-

4 Cod. φυλάττει. 5 Cod. ναινοσήκασι, scriptura non valde nitida, quod pro solita τοῦ αι et ε permutatione legendum νενοσήκασι. 6 Cod. τελευτώσης. 7 εἶδε inserui sensu postulante: abest a codice.

σιν, ἢ γένη θεῶν παραλογώτερα φράζουσι· καὶ τὸ μὲν ἔρωτας διεξιέναι θεῶν, εἰ καὶ μὴ θεῶν, ἀλλά γε τῇ φύσει γέγονε γνώριμον· τὸ δὲ γένη θεῶν τερατεύεσθαι, καὶ φράζειν παράλογα, καὶ γενέσθαι παραλογώτερα, τοῦτο τὴν αἰτίαν μείζονα ποιηταῖς ἐπιφαίνει. Οἷα γὰρ φράζουσι; νεφέλη, φασὶ, συνήπτετο Κρόνῳ, καὶ τὴν ὁμιλίαν λαθεῖν οὐκ ἀφῆκε τὸ παρ' ἐκείνων γενόμενον· Κένταυρος γὰρ προῆλθεν ἀμφοῖν προϊών, ὅθεν οὐκ ἔλεγε, λήγων δὲ ὅθεν οὐκ ἤρχετο· συνέκειτο γοῦν ἵππος πρὸς ἄνδρα, καὶ πρὸς ὕβριν ἀρθεὶς τὰς τῶν Λαπίθων ἐλυμαίνετο πόλεις· οἱ δὲ συστάντες στρατηγοῦνται μὲν τῷ Θησεῖ, τὸ δὲ γένος προαναρπάσαντες ἄπιστον τοῖς ἔπειτα καταλελοίπασιν, εἴποτε γέγονε· καὶ ἃ μὲν μυθολογοῦσι τοιάδε, πάρεστι δὲ ἔλεγχον λαβεῖν ἐκ τῶν ἐφεξῆς. Νεφέλη συνήπτετο Κρόνῳ· τί ποτε εἶναι τὴν νεφέλην ὁρίζουσι, πότερόν τε θνητὴν ἢ θεῶν προελθεῖν; εἰ μὲν γὰρ ἀνθρώπων γεγένηται μία, τίς ποτε τούτων νεφέλῃ παρείκασται; πῶς οὖν συνήπτετο Κρόνος, ἣν φύσει μιγνυμένην οὐκ ἔσχεν; ἀλλ' ἔστω, συγκεχωρήσθω νεφέλην συνιέναι τῷ Κρόνῳ· πῶς οὐ παρήγαγεν, ἃ θεοὶ παράγειν ἐγνώκασιν; ἃ δὲ γέγονε Κένταυρος, οὐδέτερον οἶδε τὴν φύσιν θεῶν· πῶς οὖν ὁ Κρόνος ἔτι πατὴρ, εἰ μηδὲν ἔχει τοῖς ἐκείνου τὸ γένος; Βούλει καὶ ταῦτα συγχωρῶμεν τοῖς ποιηταῖς· πῶς ἵππος ἀνθρώπῳ συνήπτετο; τὰ διεστῶτα τῇ φύσει συνελθεῖν οὐκ οἶδε τοῖς σώμασι· πῶς δὲ γεγονὼς ἐξ ἀμφοτέρων ὁ Κένταυρος πολὺν διαβεβίωκε χρόνον, ἢ ποῖος αὐτῷ διαίτης ἐπορίζετο τρόπος; βεβαιοῦσι γὰρ αἱ τροφαὶ τὰς γονὰς, καὶ τὸ τικτόμενον, ᾧ τρέφεται, σώζεται. Τίς τοίνυν δίαιτα γέγονε τῷ Κενταύρῳ[1]; εἰ μὲν γὰρ ἃ τρέφειν γέγονεν ἄνθρωπον, ὁ ἵπ-

---

1 Cod. τί τοίνυν διῆτα γεγονέναι τὸν Κένταυρον, quae emendanda censui, duce lin. 27. ποῖος αὐτῷ διαίτης ἐπορίζετο τρόπος.

πων διεφθείρετο βίος, εἰ δ' αὖ δίαιταν ἐποιεῖτο πρὸς ἵππον, ὁ λοιπὸς ἄνθρωπος τοῖς αὐτοῖς οὐ τετήρηται· πῶς δὲ γενόμενος εἷς ὅλον [1] Κενταύρων παρήγαγε γένος, ἢ ποίαν κτησάμενος φύσιν Λαπίθαις ἤρατο πόλεμον; ἄνθρωπος γὰρ ὅλος οὐκ ἦν. ὡς βουλεύεσθαι πόλεμον, ἵππος δὲ οὐκ ἐτύγχανεν ἅπας, ὡς ἀρκέσαι πρὸς μάχην· οἷς οὖν ἑκάτερον ὑπῆρχεν ἡμιτελὲς, τὸ λειπόμενον ἔμενεν ἄπαρκτον· πῶς δὲ γεγονότες πρὸς τὸν λοιπὸν οὐ μεμενήκασι χρόνον· οὔπω τις πέφηνε πόλεμος, ὃς πολεμίων ὅλον ἀνεῖλε γένος· ταῦτα καὶ τὰ τοιαῦτα οὔτε λέγειν ἔδει τοὺς ποιητὰς, καὶ εἰποῦσιν ἀπιστεῖν καταλείπεται.

3. Περὶ ἀνασκευῆς τῶν κατὰ Κανδαύλην.

Ἀνασκευὴ, ὅτι οὐκ εἰκότα τὰ κατὰ Κανδαύλην.

Πρότερον μὲν ἔγωγε πολὺ τὸ σεμνὸν ἡγούμην συγγραφέων καὶ ποιητῶν, νῦν δέ μοι δοκεῖ οὐδὲν ποιητῶν διενηνοχέναι Ἡρόδοτον· τὸ μὲν γὰρ συγγράφειν ἐστὶ πρὸς ἀλήθειαν, ποιεῖν δὲ πρὸς μύθους· ὁ δ' ἑκατέρας τέχνης τοὺς ὅρους συγχέων, οὔτε τοῦ μέτρου φυλάττει τὴν χάριν, οὔτε τῆς συγγραφῆς τἀληθὲς συνετήρησε, καὶ πολλῶν μὲν ἄν τις αὐτὸν αἰτιάσαιτο, μάλιστα δὲ ὧν περὶ Κανδαύλην μεμυθολόγηκεν· οἷα γὰρ διεξέρχεται· Κανδαύλης, φησὶν, Ἡρακλέους προῆλθε, καὶ γεγονὼς ἐραστης τῆς αὐτοῦ γυναικὸς, θεατὴν ἐποιεῖτο τὸν Γύγην, καὶ παραλαβὼν οἴκαδε, κατόπιν μὲν αὐτὸν τῆς θύρας κατέστησε, θεατὴν, δὲ ἐκεῖθεν παρασκευάζει τῆς συνοίκου· ἡ δὲ συνιεῖσα τῆς θέας, ἀγανακτεῖ μὲν, τὴν δὲ ἕω προσμείνασα μετακαλεῖται τὸν Γύγην, καὶ δυοῖν αὐτῷ προὔθηκεν αἵρεσιν, ἢ κτεῖναι Κυνδαύλην, ἢ κατοκνοῦντα τοῦτο παθεῖν. ἑλομένου δὲ περιεῖναι τοῦ Γύγου πίπτει τε Κανδαύλης, καὶ φόνου μισθὸς ὁ τῆς γυναικὸς δίδοται

1 Cod. ὅλων.

γάμος· καὶ ἃ μὲν φθέγγεται τάδε· πάρεστι δὲ ἐκ τῶν ἐφεξῆς ἐξελέγξαι. Κανδαύλης Ἡρακλέους προῆλθε· ποῖα τοῦ γένους ἐπαγόμενος σύμβολα; Ἡρακλεῖ μὲν γὰρ πρὸς ἀρετὴν ἡ σπουδὴ, καὶ τὰ πεπραγμένα τὴν Ἑλλάδα διέσωζε, Κανδαύλης δὲ πρὸς μόνας ἑώρα τὰς ἡδονάς. πῶς οὖν ἀπόγονος αὐτῷ γεγονὼς τὸ γένος ἐψεύδετο; πῶς δὲ Κανδαύλης ἦρα τῆς ἑαυτοῦ γυναικός; ἢ γὰρ οὐ σύνοικος, ἢ συνὼν οὐκ ἐπόθησεν· ὁμιλίαι γὰρ διαλύουσιν ἔρωτας, καὶ πόθου πεῖρα διακόπτεται γάμῳ· πῶς δὲ τὸν Γύγην οἶκοι παρέλαβε; μεστὰ μὲν γὰρ φυλακῆς τὰ βασίλεια, πλήρη δὲ τῶν φρουρούντων ἁπανταχοῦ, ὥστε πρὶν ἄγειν, ὑπῆρχεν ἕλκεσθαι, καὶ τὸ σόφισμα πρὶν ἰδεῖν διελύετο· ποῖ δὲ τῶν οἴκων ἰδεῖν παρεστήσατο; νὴ Δία τῆς θύρας κατόπιν· οὐκοῦν ἐλάνθανε μὲν, οὐ τεθέαται δέ· τὸ γὰρ ἑτέροις ἀποκρυπτόμενον αὐτὸ πρῶτον διέλαθε· πῶς δὲ τὴν γυναῖκα γυμνουμένην τεθέαται; γυμνοῦσθαι Λυδοῖς οὐκ ἐτύγχανε νόμος, οὐδὲ τοὺς ἄνδρας ἔξω προκαλύμματος γίνεσθαι, μήτοιγε δὴ καὶ γυναῖκας· τί δὲ ἐγυμνοῦτο καθάπαξ εἰς ὕπνον ἐπειγομένη γυνή; γυναῖκες μὲν γὰρ, αἷς πόρος ἐκ τῆς εὐνῆς, κἂν ἀπογυμνωθεῖεν πρὸς ἄνδρας, εἰς ἔρωτα τοὺς θεατὰς βιαζόμεναι· αἷς δὲ ὁμιλίαι μετὰ τοῦ σωφρονεῖν, ἀπογυμνοῦσθαι τοῖς συνοῦσιν οὐ κρίνουσι. Πῶς οὖν ἐθεάσατο παρὼν τὴν μηδὲ τὴν ἀρχὴν προαιρουμένην γυμνοῦσθαι; τί δὲ ἡ γυνὴ μετεπέμπετο Γύγην, καὶ γάμου προὔθηκεν αἵρεσιν, οὗ τὴν θέαν οὐκ ἤνεγκε, καὶ τιμᾷ σύνοικον, ὃν θεατὴν ἔχειν ἀπώκνησε; πῶς δὲ βασιλείαν τὴν Λυδῶν ἐπηγγέλλετο; βασιλέας αἱροῦνται δῆμοι καὶ πόλεις· νῦν δὲ οὐκ οἶδα, πῶς Ἡροδότῳ δοκοῦν αἱρεῖται βασιλέα γυνὴ, καὶ φιλοτιμεῖται τύχην, ἣν ὅλον οὐκ ἐποίει στρατόπεδον. Ταῦτα καὶ τὰ τοιαῦτα λέγειν μὲν οὐ προσῆκεν Ἡροδότῳ· φήσαντι δὲ ἀπιστεῖν καταλείπεται.

4.

Digitized by Google

4. Ἀνασκευὴ ὅτι οὐκ εἰκότα τὰ κατὰ Πενθεσίλειαν.

Ἔρως καὶ πόλεμος κατηγορεῖν με παρασκευάζει τῶν ποιητῶν· οἷς γὰρ μῖξαι σπουδάζουσιν, ἃ μὴ μίγνυσθαι πέφυκε, τούτοις τὴν ποίησιν ἐναντίαν δεικνύουσιν. ἑκατέρῳ μὲν οὖν ὑπάρχει κατηγορουμένῳ καὶ πόθος καὶ πόλεμος, εἰ δὲ θατέρῳ μόνῳ λογοποιοῦντες ἐφαίνοντο, ὑπῆρχε τὴν κατηγορίαν ἐν μέρει ποιήσασθαι, νῦν δὲ ἄμφω τὰς αἰτίας συνάπτοντες ἐπ' ἀμφοτέρῳ καὶ τὴν κρίσιν ὑφέξουσιν. Οἷα γὰρ εἰς Ἀχιλλέα τὸν τῶν ἡρώων κράτιστον ἔφρασαν· Ἀμαζόνας εἶχε συμμάχους ἡ Τροία· καὶ γυναῖκες ἀπειπόντων ἀνδρῶν ἠγωνίζοντο· τῆς δὲ φύσεως ἐξελεγχομένης τοῖς ἔργοις, τὸ στράτευμα μετὰ τῆς οὔσης στρατηγοῦ διεφθείρετο, καὶ πρώτη τὴν φύσιν ἐξήλεγξεν ἡ τὴν φύσιν ἐπαίρουσα, καὶ κτείνει μὲν Ἀχιλλεὺς στρατηγοῦσαν· οὐ μὴν ἀνεχώρει μὴ νικηθείς· ἑάλω γὰρ τῆς ὥρας ὁ τὴν ῥώμην ἑλών, καὶ κειμένην ἐπόθησεν ὃ κεῖσθαι πεποιηκώς, καὶ μόνος Ἀχιλλεὺς ἀριστεύων ἐν Ἕλλησιν, ἣν ἀνῄρηκεν, ἔστεργε καὶ τὴν οἰκείαν κατεμέμφετο νίκην· καὶ μετ' αὐγῶν ἐζήτει λαβεῖν, ἣν ἀγῶνος ἀπέπαυσε. Ταῦτα μῦθος ὁ ποιητῶν, τὰ δ' ἐφεξῆς[1] περιθήσει τὸν ἔλεγχον. Ἀμαζόνες ἐπὶ Τροίαν ἐστράτευσαν· τίς Ἀμαζόνας ἐκόμισε χρόνος; ἢ πόθεν αὐταῖς ἐπιφέρει τὴν πίστιν ἡ ποίησις; ἢ τίνος οὖσαι τοῦτο γεγόνασι; νὴ Δία προεληλύθασιν Ἄρεος, καὶ πῶς οὐ θεαὶ θεοῦ προερχόμεναι; τὴν γὰρ συγγένειαν ἡ κοινωνία τῆς φύσεως σημαίνει, οὐ γὰρ οἷς πολεμεῖν ἐδεδύνηντο γεγόνασιν Ἄρεος, ἀλλ' εἰ προῆλθον ἐξ Ἄρεος, θεαὶ κατεστήκασιν· ἡδέως ἂν οὖν πυθοίμην τῶν ποιητῶν, πότερον Ἄρης τῶν Ἀμαζόνων πατὴρ, ἢ τίς προελήλυθεν ἔτε-

1 Pro τὰ δ' ἐφεξῆς, quae ex meis posui, in codice repetitur: ταῦτα μῦθος.

ρος· εἰ μὲν γὰρ ἕτερον φήσουσι, πόθεν ἕξουσι τῆς ἀριστείας τὴν πίστιν· εἰ δὲ ἐξ Ἄρεος δώσουσι, πῶς συνεχώρει περὶ τὴν μάχην πεσεῖν ὁ πατὴρ, παρ' ἣν ἐκράτει παραταττόμενος· εἰ μὲν γὰρ ἐξ ἑτέρας ἡλίσκοντο τέχνης μέμψις οὐκ Ἄρεος, εἰ δὲ τῆς Ἄρεος ἡλίσκοντο, πῶς μαχρμένας Ἄρης οὐκ ἔσωζε· δυοῖν οὖν θάτερον, ἢ πόλεμος ἔργον οὐ γέγονεν Ἄρεος, ἢ τῶν Ἀμαζόνων οὐκ Ἄρης πατήρ· ὥσπερ ἢ τὴν φύσιν ἐψεύσατο σώζειν ἀδυνατῶν, ἢ τὴν ἐπιστήμην ἐξελέσθαι μὴ βουληθείς· οὔτε γὰρ πατρὸς ἦν συγχωρῆσαι παθεῖν, οὔτε θεοῦ τινος ἀπορεῖν διασώσασθαι· εἰ δὲ δὴ καὶ τὰ μάλιστα προελθεῖν Ἀμαζόνας αὐτοῦ συγχωρήσαιμεν, οὐκ ἔχω κατιδεῖν λογιζόμενος, ὅπως γυναῖκες εἰς τὴν ἀνδρῶν εὐψυχίαν προῆλθον. Ὅροι φύσεως, ὡς ἐγένοντο, μένουσι, καὶ κινεῖν τοὺς ὅρους οὐκ οἶδεν ὁ χρόνος, ἀλλ' οἷον ἕκαστον προελήλυθεν, ἔμεινε κατηγόρημα φύσεως, εἰ μένειν οὐκ οἶδεν, ὅπως ἄρα τὰ πρῶτα παρήγαγε· γυναῖκας γὰρ ἱδρῦσθαι μέν ἐν τοῖς οἴκοις νόμος, ἄνδρας δὲ πρὸς μάχας ἄγειν ὁ βίος ἐπίσταται, νῦν δὲ οὐκ οἶδ', ὅ τι παθὼν ὁ τὰς Ἀμαζόνας ποιῶν πολέμῳ δίδωσιν, ἃς οἴκοι ἔδει συγκρύπτεσθαι, καὶ πρὸς ἀγῶνας ὅπλων ἀνέστησεν, ἃς ἠλλωτρίωσε τῶν κινδύνων ἡ φύσις, καὶ τὸ σχῆμα δοκεῖ πρὸς τὰς πράξεις ἀρκεῖν, καὶ παρασκευάσαι ἀνδράσιν ἐοικέναι, ὡς ἄνδρας κρατεῖν ὑπελάμβανε καὶ τῇ δοκήσει μετρεῖν τὴν παράταξιν· ἀλλὰ τὸ μέτρον ὁ τῶν ὅπλων ἀγὼν ἐξελέγχει ψευδόμενον· ἄνδρας μὲν γὰρ ἔσχεν ὅσον ὁπλῖσαι, ἐξελέγχει δὲ γυναῖκας γενομένας ὅσον ἐργάσασθαι, καὶ τὸ δοκεῖν τῷ πεσεῖν διεφθείρετο· καὶ τὸ δὴ τῆς σκευῆς ἀπιστότερον εἰς συμμαχίας ἄγει τῆς Τροίας, ἣν σώζειν οὐκ ἔσχεν Ἕκτωρ, οὐ Σαρπηδών, ἀνδρῶν ἐλπίδες ἐπέλιπον, καὶ θρασύτης γυναικῶν κατελάμβανε, καὶ οἱ Διὸς μὲν πεπτώκασιν, Ἄρεος δὲ θυγατέρες ἐν ἐλπίδι περιέσεσθαι, καὶ δι' ἀμφότερα γυναικῶν ἄνδρες ἀπελιμπάνον-

Digitized by Google

το, καὶ τεκόντων θεῶν καὶ γενομένων ἀνδρῶν· εἰ μὲν οὖν ἐπὶ μάχης καὶ μέτρον ἔστη καὶ τελευτῆς, οὐχ οὕτως ὁ μῦθος ὑπαίτιος, καίπερ αἰτίας τυχὼν ἐπ' ἀμφοτέροις· νῦν δὲ πᾶσαν ἐλέγχει τερατευομένην τὴν ποίησιν ἔρως ἐν ὅπλοις καὶ θάνατος φανείς. τί γὰρ δήποτε μαχομένην μὲν ἀνῄρει, ἔπειτα δὲ κειμένην ἐζήτει; τί δὲ τὸ ποιοῦν ἔρωτι γένεσιν; ἀγῶνες ἔρωτας φύειν οὐκ ἴσασιν, ἀρετῇ δὲ ἰδίας ἡδονὰς πολιτεύεται· εἰ μὲν οὖν τὰς μάχας πόνου χωρὶς καὶ κινδύνου κατ' ἐξουσίαν ἔφερον ἄνθρωποι, καὶ τέρπειν ἤδει τῶν ὅπλων τὰ δείματα, συγχωροῦμεν ἔρωτας καὶ κινδύνους καθίστασθαι· εἰ δὲ παρ' οἷς φόβος, οὐ προῆλθεν ὁ πόθος, πῶς ποθεῖν Ἀχιλλεὺς ἠναγκάζετο, πρὸς ὅπλα τὸν νοῦν ἀποβλέπων οὐχ ἡδονάς; ποῖ δὲ φανεῖσαν οἶδε τὴν Πενθεσίλειαν; ὅπλα μαχομένην ἀπέκρυψε, καὶ κειμένην κάλλος ἀπέλιπεν. Ἑκατέρα τῶν πόθων αἰτία κατέλιπεν, ἡ θέα καὶ κάλλος· τί δὲ τὴν Ἀχιλλέως εὐψυχίαν ἐλέγχουσιν, εἰ σμικρὸς οὗτος ἦν πρὸς τοὺς ἔρωτας, ὃς πρὸς ἀγῶνας ἦν εὐψυχότατος; τίς δὲ ὁ τοῦ πόθου καθειστήκει καιρός; ἀφεὶς τὰ ὅπλα πρὸς τὴν κειμένην ἀπέβλεπε, ἡλίσκετο γοῦν τῆς μάχης ἠμελημένος, πῶς δὲ οὐκ ἐγκαλύπτεσθαι παρῆν Ἀχιλλεῖ, τοὺς μὲν ἄλλους ὁρῶντι πρὸς ἀγῶνας μάχης πονοῦντας, αὐτὸν δὲ βλέπειν πρὸς ἡδονὰς καὶ ταῦτα κειμένην; τίς δὲ ἦν ὄνησις πεπτωκυίας ἐρᾶν; ἔρως ὅπου τυχεῖν ἐλπίζει καὶ γίνεται, τὸ δὲ μηδὲ πέρας ἐν τελευτῇ προσδοκᾶν, τοῦτο τὴν ἀρχὴν οὐκ εἶα ποθεῖν, ὥστ' εἰ δρῶν οὐκ ἐδόκει τυχεῖν, οὐκ ἐσκόπει ποθεῖν, ἀλλ' ἐπέλιπε μετὰ τῆς ἐλπίδος ὁ πόθος. Οὐδέτερα μὲν ποιητὰς ἠξίουν μυθολογεῖν, μάλιστα δὲ ταῦτα, δι' ὧν ἐροῦντες οὐδὲν ὄντες ἐλέγχονται.

---

2 Cod. ἀρετῇ δὲ ἰδ. ἡδονῆς.

Digitized by Google

Cap. VI.

1. *Κατασκευὴ, ὅτι εἰκότα*[1] *τὰ κατὰ τὴν κρίσιν τῶν Ἀχιλλέως ὅπλων.*

Εἰ μὲν ἐφ' ἑνὶ ποιηταὶ τὸν τῶν ἀνθρώπων εὖ πεποιήκασι βίον, ἅπαξ συνεροῦντας[2] *αὐτοῖς ἐχρῆν ἀπαλλάττεσθαι, νῦν δὲ πανταχοῦ τῆς ποιήσεως εὖ ποιούντων καὶ ἡμᾶς πανταχοῦ συνεροῦντας προσῆκον ὀφθῆναι. οἷα γὰρ περὶ τῆς Ἀχιλλέως σκευῆς φιλοσοφοῦσιν, ἀντεροῦσί τινες· ἐπειδή, φησιν, εἰς Τροίαν ἀφικόμενος Ἀχιλλεὺς πέπτωκε, τί τοῦτο πρὸς θεῶν ἄλογον; οὐχ ἅπαντες, οἱ θεῶν συνεστρατεύσαντο παῖδες, καὶ περὶ τὴν Τροίαν ἐλθόντες πεπτώκασιν; οὐ Σαρπηδὼν ὁ Διός; οὐκ Ἀσκάλαφος Ἄρεος; οὐ Ποσειδῶνος γενόμενος Κύκνος; εἰ δὴ θεῶν πλεῖστοι γεγόνασι παῖδες, καὶ παρελθόντες πεπτώκασι, τὴν αὐτὴν ὑπέστη τελευτὴν Ἀχιλλεύς. ὧν γὰρ εἶχε τὸ γένος, ὑπέστη τὴν τελευτήν· πεπτωκότος δὲ Ἀχιλλέως περὶ τὴν Τροίαν, τί ποτε ἔδει τοὺς Ἀχαιοὺς διαπράξασθαι; νὴ Δία περιορᾶν, ἀλλ' ἄλογον, αὐτοὺς μὲν ἐξ αὐτοῦ περιόντος*[3] *σωθῆναι, πεπτωκότος δὲ μὴ τὴν ἴσην ἐξενέγκασθαι χάριν, οὐκοῦν ἐχρῆν ἀνασώσασθαι κείμενον· καὶ δεήσαν Ἕλλησιν Αἴας τε καὶ Ὀδυσσεὺς τὴν τοῦ κειμένου κομιδὴν ἐποιήσαντο, καὶ μάλα εἰκότως, οἱ γὰρ Ἀχιλλεῖ κατὰ γένος καὶ κατὰ φιλίαν προσήκοντες, οὗτοι διέσωζον κείμενον. Ἐκκλησιάζων δεινὸς ἦν Ἀχιλλεύς· ὁ μετ' ἐκεῖνον ἦν Ὀδυσσεύς, μαχόμενος ἦν Ἀχιλλεὺς ὑπὲρ ἅπαντας, καὶ*

4 Idem thema tractavit Libanius p. 884. ed. Reisk. 2 Cod. *συναιροῦντας*, sed *αι* erasum, scripsi *συνεροῦντας*. etiam paullo post cod. *συναιροῦντας* eraso *αι*. Dem. Lept. p. 503. *τοὺς δὲ συνεροῦντας νόμῳ — αὐτοὺς τοῖς ὑπάρχουσι νόμοις δεῖ πειθομένους φαίνεσθαι.* Cod. *Σ*. Bekk. *συναιροῦντας*. Pausan. VII. 13. 2. *τὴν δὲ ἐκ Ῥώμης παρουσίαν τῶν ἀνδρῶν προεροῦντας μένειν.* Angel. *προαιροῦντας*. cfr. epist. crit. p. 14. 3 Cod. *περιόντας* et *πεπτωκότας*.

Digitized by Google

τάγε δεύτερα φιλοτιμία τῷ Αἴαντι. οἱ τοίνυν Ἀχιλλέως τὰς ἀρετὰς διελόμενοι ἄμφω κείμενον ἀνεσώζοντο. οὐ γὰρ ἦν ἐν ἑνὶ κατιδεῖν, ὅσα μόνος Ἀχιλλεὺς ἐκέκτητο πρότερον. διὸ δυοῖν ἐδέησεν ἀριστέων, Ἀχιλλέα διασώζεσθαι κείμενον· σεσωκότων δ' ἀμφοτέρων τὸν Ἀχιλλέα, τί ποτε ἔδει τὴν μητέρα ποιεῖν; νὴ Δία τῶν σεσωκότων ὑπεριδεῖν; ἀλλ' ἄτοπον τοὺς μὲν ὀλίγον ἐκείνῳ προσήκοντας μὴ περιϊδεῖν ἀνῃρημένον καὶ κείμενον. μητέρα δὲ τὴν καθάπαξ προσήκουσαν ἐν τοῖς ἀντιπάλοις ἐᾶσαι τὸν παρ' αὐτῆς· οὐκοῦν ἔδει χάριν ἀποδοῦναι τοῖς σώσασιν· τοῦτο τοίνυν ἡ Θέτις εἰργάσατο, καὶ τοῖς κεκομικόσι τὴν τοῦ σωθέντος παρετίθει σκευήν. Εἰς ἔριν οἱ λαχόντες κατέστησαν· καὶ μάλα δικαίως, τὰ γὰρ μεγάλα πρὸς κτῆσιν εἰς ἔριν ἀμφισβητήσιμα. διὰ περὶ τῆς σκευῆς ἐρίζοντες ἄμφω δικαστὰς τοὺς Ἀτρείδας πεποίηνται. ὧν γὰρ τὴν ἡγεμονίαν ἐποιοῦντο μαχόμενοι, τούτων τὴν κρίσιν ἐρίζοντες ἐπελέγοντο· ὅθεν κρίνειν μὲν αὐτοὺς τοὺς Ἀτρείδας αἰτοῦσι, νικᾷ δὲ Ὀδυσσεὺς κρινόμενος Αἴαντα προσηκόντως, καὶ τῇ τέχνῃ διαπραττόμενος πρόσφορα· ὥσπερ γὰρ, εἰ δι' ὅπλων ἦν ἀγών, Αἴας ἐκράτει παρατατόμενος, οὕτως ἐπειδὴ λόγων ὑπῆρχε σπουδὴ, τὸ κρατεῖν Ὀδυσσεῖ κατελείπετο. περὶ ἃ γάρ τις ἀσκεῖ, περὶ ταῦτα καὶ κατορθοῖ· νικῶντος δὲ Ὀδυσσέως, Αἴας πρὸς τὴν ἧτταν χαλεπαίνειν ἠνάγκαστο, οὐ γὰρ ὅπλων ἀφαίρεσιν, ἀλλὰ γένους ἐνόμιζε, καὶ τὴν Ἀχιλλέως ἀφελέσθαι συγγένειαν ᾤετο περιῃρημένον τὴν ἐκείνου σκευήν. διὸ δυσχεραίνων ἀναιρεῖν ἐπιχειρεῖ τοὺς Ἀτρείδας. εἶτα ἐγχειρῶν ἥμαρτεν· Ἀθηνᾶς οἶμαι τὸ σπούδασμα, καὶ γὰρ ἦν ἄλογον, κινδυνεύοντα μὲν ἐν μάχῃ παρελέσθαι τῶν Τρώων, συγχωρῆσαι δὲ δι' ἑνὸς τῶν Ἑλλήνων πεσεῖν. ὧν γὰρ εἶργεν ἐν πολέμῳ τὸν φόνον, τούτων ἐφορύρει στασιαζόντων τὸν βίον. ὅθεν Ἀθηνᾶ σφάλλει τῶν κρατούντων τὸν Αἴαντα· διαμαρτὼν δὲ Αἴας τῆς ἐγχειρίσεως ἑαυτὸν διε-

Digitized by Google

χειρίσατο. τί γὰρ, εἰπέ μοι, πράττειν ἐχρῆν; αὐτομολεῖν εἰς τοὺς Τρῶας; ἀλλ' ἐδεδίει τῶν ἀνηρημένων τὰ γένη· μένειν παρ' Ἕλλησιν; ἀλλ' ἐγελᾶτο μένων ἐν τοῖς ἑαυτοῦ. παρὰ τὸν Τελαμῶνα χωρεῖν; ποῖον ἀρεστείας ἐπιφερόμενος σύμβολον; οὐκοῦν ἔδει τεθνάναι, καὶ πρὸς τὴν ἀναίρεσιν Αἴαντος τὸ παρ' Ἕκτορος ὑπηρέτησε ξίφος, καὶ μάλα εἰκότως, ὅπως ὡς ἂν ἐν πολέμῳ πεπτωκὼς τῆς [4] ἐκ τῆς μάχης ἁλίσκοιτο· ταῦτα καὶ λέγειν ἔδει τοὺς ποιητὰς καὶ εἰποῦσι προστίθεσθαι.

2. *Κατασκευὴ ὅτι εἰκότα τὰ κατὰ Νάρκισσον.*

Φθέγγονται μὲν οἱ ποιηταὶ τὰ Μουσῶν, καὶ παρ' ἐκείνων ὅ τι ἂν διεξέλθωσι φέρουσι· καὶ δεῖ βουλὰς οἰκείας νομίσαι Μουσῶν, ἃ ποιηταὶ κατεμέτρησαν, ὥστε τοῖς ἀπιστοῦσι καταλείπεται κίνδυνος. οὐ γὰρ ποιηταῖς ἀντερεῖν, ἀλλ' αὐταῖς ἀναγκάζονται Μούσαις· καὶ πολλῶν μὲν πάρεστι τοὺς ποιητὰς ἄγασθαι, [1] μάλιστα δὲ ὧν φιλοσοφοῦσιν εἰς Νάρκισσον. οἷα γὰρ εἰπόντων ἀντερεῖν τινες τετολμήκασι· Νάρκισσός, φασι, μειράκιον γέγονε. τί τούτου πρὸς θεῶν ἄπιστον; οὐ πρεσβυτάτη τῶν ἀνθρώπων γένεσις, ἢ τὰ ἀνθῶν προῆλθε βλαστήματα, πρὸς ἀνθρώπων τῇ γᾶ τὰ δι' ἀνθρώπους γενόμενα. δι' ὧν τοίνυν ἡ γῆ πάντα βλαστήματα πρὸς τὴν ἀνθρώπων προενήνοχεν ὄνησιν, μειράκιόν τι νενόμισται Νάρκισσος, ἐξ οὗ προῆλθεν ἄνθος ὁμώνυμον, καὶ τὸ παρασχὸν τὴν γονὴν καταβάλλει τὴν ὄνησιν· γεγονὼς τοίνυν ὁ νέος διαπρεπὴς τὴν ὄψιν, εἰς τὸν οἰκεῖον προελήλυθε πόθον. ᾧ γὰρ ἄνθρωποι ποθεῖν ἑτέρους ἐπαίρονται, τούτῳ Νάρκισσος ποθεῖν ἑαυτὸν ἠναγκάζετο, καὶ κάλλος οἰκεῖον ἤγαγεν ἔρωτα, ὡς ἑτέρους κεκίνηκε, καὶ τοιοῦτο μᾶλλον

4 τῆς sc. ἀναιρέσεως, et ἁλίσκοιτο i. q. ἕραιτο.

1 Cod. ἄγεσθαι.

Digitized by Google

οἰκείας ὄψεως ἐρᾷν πιθανώτερον, ὅσον τὰ μὲν ἑαυτῶν ἀκριβέστερον ἔγνωμεν, ἃ δὲ μὴ πρόσεστι μόνον εἰκάζομεν· ὥστε εἰ τὸ μᾶλλον εἰδέναι πλέον παρασκευάζει πρὸς τὸ ἐρᾶν, οἰκείας ὄψεως ἑτοιμότερον ἔρως ἐγγίνεται, καὶ μᾶλλον παράλογον ἐραστὴς ἑτέρου φανεὶς, ἢ μορφῆς οἰκείας ἑαλωκὼς, ὥστε ἢ τὴν ὥραν ἀναιρητέον τοῦ νέου, ἢ τιθεμένου συγχωρητέον τῷ πόθῳ· ἐρῶν δὲ ἑαυτοῦ καὶ τὴν οἰκείαν ὥραν πόθου δεξάμενος εὕρεσιν, ὅθεν ἐπόθει παρὰ τοῦτον ἠπείγετο· τῆς γοῦν ἐν ὕδασιν ἰδέας ἁλοὺς, ἐπὶ τῶν ὑδάτων τὸ φαινόμενον ἔστεργεν. Οἶδα τοίνυν, ὅτι τινὲς ἀντεροῦσιν, ὡς οὐχ οἷόν τε εἶναι, σκιᾶς ἐρασθῆναι τὸν νέον, ἐγὼ δὲ, ὅσον ἐρᾷν τις αὐτὸν συγχωρήσειε, τοσοῦτον ἂν φαίην ἁμαρτάνειν εἰς κρίσιν. ἔρως γὰρ, περὶ ὃ ποθεῖ, κρίνειν οὐκ ἔγνωκεν· αἱ γὰρ ὁπωσοῦν ἐπιθυμίαι τὸ κρίνειν τοῖς ἐπιθυμοῦσιν οὐ καταλείπουσιν· τοσούτῳ δὲ μᾶλλον ἀφαιρεῖται τὴν κρίσιν, ὅσῳ καὶ μεῖζον παντὸς γέγονεν ἔρωτος· ἤδη δὲ καὶ πολλοὶ σωμάτων αἰσχρῶν ἐρασταὶ καθεστήκασι· κάλλους μὲν ἔρως προέρχεται, ὃ δὲ μὴ καλὸν εἰδέτις, τοῦτο δι' ἔρωτος ἔκρινεν ἄριστον. ὅθεν οὐδὲν ἀπεικὸς, οὐδὲ Νάρκισσον ἐμπεσόντα εἰς ἔρωτα τὴν σκιὰν τιμᾷν ὡς ἐρώμενον· ἀεὶ γάρ τι μεῖζον ὁ πόθος οἷς ποθεῖ περιτίθησιν· οὐκοῦν οὐδὲν ἀπεικὸς, οὐδὲ Νάρκισσον ποθεῖν τὸ τῆς οἰκείας ὄψεως εἴδωλον· σφαλεὶς δὲ τὰ πρῶτα τὴν δόξαν, εἰκότως ἁμαρτάνει τὰ δεύτερα, καὶ τοῖς ὕδασιν ἐπαφῆκεν αὑτὸν, ὥσπερ τι ληψόμενον· πεσόντα δὲ διαδέχεται θάνατος· οὐ γάρ ἐστιν, οὐκ ἔστιν παραλόγου πόθου πέρας ἔξω κινδύνων εὑρεῖν· πεσόντος δὲ τοῦ νέου παρὰ τὰ νάματα προῆλθεν ἄνθος, ὃ τὴν ἐκ τοῦ νέου δέχεται κλῆσιν· καὶ ταῦτα ποιητῶν ἄγαμαι μάλιστα, προσηγορίας εἶναι τῶν ἀνθρώπων φιλοσοφούντων τοῖς ἄνθεσιν; ὧν γὰρ αἱ κλήσεις, τούτων αἱ γενέσεις νομίζονται· ταῦτα καὶ τὰ τοιαῦτα καὶ λέγειν ἔδει τοὺς ποιητὰς καὶ εἰποῦσι προστίθεσθαι.

Digitized by Google

3. Κατασκευὴ, ὅτι εἰκότα τὰ κατὰ Δανάην.

Ἐπὶ πολλῶν ἄν τις ἐπαινέσαι τοὺς ποιητὰς μηδὲν συγχωροῦντας τοῖς ἐπαινουμένοις λαθεῖν, μάλιστα δὲ ὧν περὶ Δανάην ἐφιλοσόφησαν· τὰ γὰρ τοιαῦτα περὶ τῶν ἡμιθέων ἐρεῖν, ὧν ἡ γένεσις πιστοῦται τὸν βίον, ἐκ τῆς ὁμιλίας σημαίνουσιν· οἷα γὰρ περὶ Δανάης ἐροῦσιν· ὁ Ζεύς, φασι, τῇ Δανάῃ συνῆλθε, τί τοῦτο γέγονεν ἄπιστον; οὐχ ἅπαντες οἱ θεοὶ γυναιξὶν ἐπλησίαζον; Τυροῖ Ποσειδῶν, Κρόνος Νεφέλῃ· δι' ὧν οὖν ἕτεραι τοῖς θεοῖς ἐπλησίαζον, καὶ τὸ Δανάης κατεφάνη πιστὸν, εἰς ὁμιλίαν συνιούσης Διΐ· καίτοι ἔγωγε ἡδέως ἂν ἐροίμην τοὺς ἀντεροῦντας τοῖς ποιηταῖς, ὅθεν ἀνθρώπων ἀρετὴ προελήλυθεν, ἢ δηλονότι παρὰ θεῶν· οἷς τοίνυν ἀρετὰς ἀνθρώποις οἱ κρείττους δεδώκασιν, οἱ θεῶν γάμοι, τὴν διὰ τῶν ἀρετῶν φέρουσι πίστιν· οὐδὲ γὰρ ἄνθρωποι τῆς ἀρετῆς μετελάμβανον μὴ παρ' ἑτέρων αὐτοῖς γεγονότων θεῶν, καὶ οἷς τὴν συγγένειαν αἱ κοινωνίαι τῶν ἀρετῶν ἐπιφέρουσι, παῖδες εἰκότως δοκοῦσι θεῶν οἱ τὰ θεῶν κομιζόμενοι, καὶ πλησιάζων ὁ Ζεὺς γυναικὶ ἕτερος ἐδόκει, παρ' ὃ προσελήλυθεν. οὐ γὰρ οἷόν τε θεοὺς ἀνθρώποις ὃ γεγόνασι φαίνεσθαι· διόπερ εἰς ἄλλην πλησιάζοντες μεταπίπτουσιν ὄψιν, καὶ μεταβαλὼν τὴν θέαν ὁ Ζεὺς ἐπὶ τῆς Δανάης ἐδόκει χρυσὸς, καὶ μάλα δικαίως· οὔτε γὰρ χρυσοῦ πρὸς βίον σεμνότερον, οὔτε τοῦ Διὸς ἐν θεοῖς δυνατώτερον, ὅθεν εἰς σεμνὸν μετεβάλλετο ποθῶν, αὐτὸς τῶν θεῶν γεγενημένος σεμνότερος, καὶ τὴν αὐτοῦ φύσιν ἐκ τῆς τοῦ χρυσοῦ κατεμήνυσε θέας· χρυσὸς δὲ ὁ Ζεὺς εἶναι δοκῶν τῇ κόρῃ τὴν ὁμιλίαν εἰργάσατο, ῥᾷστα γὰρ οὕτως καὶ τὴν κόρην προσήγετο, καὶ τὴν ἡδονὴν ἐξεπλήρου· ἡ δὲ προχείρως ἑαυτὴν εἰς ὑποδοχὴν τοῦ χρυσοῦ σχηματίζουσα τὴν ὁμιλίαν ἐπλήρου Διός. Συγγεγονότος δὲ τῇ Δανάῃ Διὸς Περσεὺς ἐξ ἀμφοῖν προελήλυθεν, οὐδὲν γὰρ τῶν

Digitized by Google

θεῶν ἄγονον, οὐδ' ἔξω γονῆς ἃ συνάπτεται κρείττοσιν, ὅθεν χρυσὸς κατεφαίνετο καὶ φανεὶς ἐπλησίαζε, καὶ πλησιάζων κατεφάνη πατήρ· τεκούσης δὲ τῆς παιδὸς παραλόγως, Ἀκρίσιος ὁ πατὴρ ἐχαλέπαινεν· φέρουσι γὰρ ταῖς κόραις αἱ πατέρων ὁμιλίαι χωρὶς τῶν τεκόντων ἀγανάκτησιν, διὸ τὴν ὁμιλίαν ἔξω τῆς αὐτοῦ γεγονυῖαν βουλῆς ὁ πατὴρ ἐδυσχέραινεν, καὶ τὸ πρᾶγμα φθορὰν Ἀκρίσιος ἔκρινεν, ἀγνοῶν τὰ Διὸς, καὶ ὡς ἐκ Διὸς κατεφαίνετο πρόγονος, ἄγνοια δ' ἐτίθει τῷ πατρὶ τὴν κόρην συγγνώμονα· διόπερ Ἀκρίσιος ἀγνοῶν, καὶ παραλόγως διεφθάρθαι τὴν κόρην οἰόμενος παραλογωτέρᾳ κολάζειν προῄρητο δίκῃ. οἷαι γὰρ αἱ τῶν ἠδικημένων ὀργαὶ, τοιαῦται τοῖς ἀγανακτοῦσιν ἐπινοοῦνται τιμωρίαι, διόπερ Ἀκρίσιος ἐπὶ παραλόγῳ τῷ γάμῳ παραλογωτέραν ἐφεῦρε τὴν δίκην· ἐπλησίαζε χρυσὸς τῇ παιδί· τὸ γεγενημένον παράλογον· παῖς ἐκ πατρὸς ἐπὶ κιβωτοῦ κατὰ θάλατταν ἐτίθετο· τοῦτο τῆς δίκης παραλογώτερον· ἐπὶ παραλόγῳ πάθει παραλογωτέραν ἐπῆγε τὴν κόλασιν, οἷς γὰρ ἡ παῖς οὐ διετήρει τὸ σῶφρον, ὁ πατὴρ οὐκ ἐτήρει τὸν πόθον, καὶ παράλογος ἡδονὴ δόξασα πατέρα κολάζειν ἐπήγαγεν ἔκτοπα· ὅθεν οὔτε παῖς διέμεινε σώφρων οἷς ἐνόμιζεν, οὔτε πατὴρ ἐδόκει τέκνου, οἷς ἐχαλέπαινεν. ἀλλ' ἡ μὲν ἐπὶ τῆς ἡδονῆς ἀνῄρει τὸ σῶφρον. ὁ δὲ ἐπὶ τῆς δίκης ἠδίκει τὴν φύσιν, καὶ δι' ἀλλήλων ἄμφω τὸ δέον ἐψεύδοντο, καὶ παῖς καὶ πατήρ· ἐψεύδετο γὰρ εἶναι παρθένος ἡ παῖς, ἐψεύδετο δὲ καὶ τὸ δοκεῖν εὔνους εἶναι πατήρ· οὕτως ὁ τεκὼν ἀνεῖλε τὴν εὔνοιαν, ὡς ἡ κόρη τὸ σῶφρον· ἡ δὲ παῖς ἐπὶ κιβωτοῦ φερομένη κατὰ θάλατταν σώζεται. Τεθαύμακα Δία, καθίσταται γὰρ πατὴρ τῆς παιδὸς ὁ τοῦ ταῦτα παθεῖν τὴν αἰτίαν καταβαλών, καὶ δὴ ἐξέρχεται μὲν ἀβλαβὴς, παράγεται δὲ ὁ Περσεὺς ἔλεγχος τῆς αὐτοῦ γονῆς καταστάς· οἷς γὰρ μεῖζόν τι τῶν ἄλλων ὁ Ζεὺς, τούτοις ὁ Περσεὺς παντὸς εἰς ῥώμην

Digitized by Google

προσῆλθεν ἐπικρατέστερος, καὶ τὸν ἀγῶνα πρὸς Γοργόνας ἀνήρηται, πάντα τῆς τύχης κομιζούσης παράλογα, καὶ γάμον πατρὸς καὶ σωτηρίαν μητρὸς καὶ παιδὸς ἀγῶνα τοὺς πολλοὺς ἀποκρύπτοντα· πρὸς ταῦτα μή μοι κατηγόρει τῶν ποιητῶν, οὐ γὰρ ἄξιον αἰτιᾶσθαι τέχνην, ἢ τοῖς παραλόγοις τῶν θεῶν ἰσχὺν ἐπιστώσατο.

4. *Κατασκευὴ ὅτι εἰκότα τὰ κατὰ Πασιφάην.*

Ἐπὶ πολλοῖς ἑτέροις ἐπαινέσας τοὺς ποιητὰς ἐπὶ τοῖς παροῦσιν ἐθαύμασα. τὸ γὰρ ἐπὶ παντὸς οὕτω φιλοσοφεῖν, ὡς μηδαμοῦ τὴν αὐτῶν ποίησιν ἔξω καταλείπεσθαι θαύματος, πῶς οὐ βεβαιοῖ τῶν ποιητῶν τὸν ἔπαινον ὁ περὶ τὰ δεύτερα καταβαλλόμενος[1] λόγος, οἷς γὰρ τὸ φθάσαν ὁμολογεῖ τοῖς ἑξῆς, βεβαιοῖ τὴν ἐφ' ἑκάτερα πίστιν, καὶ πολλὰ μέν τις αὐτῶν αἱρεῖται θαυμάσαι, μάλιστα δ' ἃ περὶ τῆς Πασιφάης ἐφιλοσόφησαν. Πασιφάην φασὶν ἡλίου γενέσθαι, τί τοῦτο ἄπιστον, πρὸς θεῶν, οὐχ ἥλιος κοινὸς ἁπάντων κατέστη πατήρ; οὐ πᾶν εἴ τι γέγονεν ἡλίου προῆλθεν; εἰ δὴ κοινὴν τοῖς οὖσιν ἥλιος κατεβάλετο γένεσιν, πῶς οὐ φανεῖται Πασιφάης πατήρ; οἷς γὰρ τὸν κοινὸν ἐκτήσατο βίον, τὴν κοινὴν εἴληφε γένεσιν, καὶ μιᾶς κατέστη πατὴρ ὁ πᾶσι τοῦτο γενόμενος. Οἶδα τοίνυν, ὅτι πρὸς μὲν ταῦτα οὐδεὶς ἀντερεῖ· πρὸς ἐκεῖνα δὲ βλέποντες μέμφονται, τί δή ποτέ, φασί, περιεῖδε νοσοῦσαν τὴν ἐξ αὐτοῦ, καὶ τοῦτο διϊσχυρίζονται, ὧν τὴν ἄνοιαν ἐκ τῶν ἑφεξῆς ὑπάρχει καταμαθεῖν, οὐ γὰρ ἅπαντα τῶν ἀνθρώπων μεταβάλλειν οἱ κρείττους ἐγνώκασιν, ἀλλ' ὅσα φύσις οἶδε μεταβάλλειν, συγχωροῦσι μεθίστασθαι. διὸ τὴν νόσον παιδὸς καταλέλοιπεν ἥλιος, εἰς γνώρισμα τοῦ γένους κατελεήσας τὸ πάθος, καὶ περιῶπται νοσοῦσα τὸ πρῶτον, ὅτι γέγονεν ἄνθρωπος· ἧς γὰρ παράγει τὴν φύσιν, ἀφῆκε τὴν νόσον· καὶ γενομένη

1 Cod. καταβαλόμενος.

Digitized by Google

βασίλισσα γυνὴ πάθος ὑπέστη παραλογώτατον, καὶ κατεναντιουμένην ἔχουσα τῷ πάθει τὴν τύχην, τοὐναντίον δὲ βεβαιοῦσα τὴν ἀξίαν τῷ δυστυχήματι· ὁπόσαι γὰρ γυναικῶν περιουσίαν κτῶνται βραχεῖαν, εἰς ἡδονὰς οὐ ῥᾳδίως ἐπαίρονται, ἀπορίας ἀναιρούσης τὴν ἀκρασίαν, αἱ δὲ εὐποροῦσαι τῶν γυναικῶν, ὁπόσα πλουτοῦσι, τρυφᾶσι, καὶ τῆς μὲν τρυφῆς ὁ πλοῦτος, τῶν δὲ ἡδονῶν ἡ τρυφὴ πρόφασις γίνεται. ὥστε ὅσῳ βασιλέως ὑπῆρχε γυνή, τόσῳ μᾶλλον ἐτρύφα· καὶ πρὸς ἡδονὰς ἀπέβλεπε παντὸς ἑτοιμότερον, πίπτουσι δὲ εἰς παράλογα πάθη τὰ ταῖς ἡδοναῖς ἑτοιμότατα· διὸ Πασιφάη πρὸς ταῦρον ἀπέκλινεν, ὥσπερ ζητούσης ἄλλο τι τῆς ἑτοιμότητος καὶ τῆς εὐκολίας, τῆς πρὸς τὰ σώματα φερούσης ἐπί τι καινότερον· εἰκότως ὁ ταῦρος πρὸ τῶν ἄλλων ἐφάνη. δοκεῖ γὰρ τῶν λοιπῶν εὐπρεπέστατος, κέρας ἀνέχει μικροῦ, ὃ[3] παρεκατέρωθεν κυκλούμενον ἐργάζεται στέφανον· ἔπειτα πρόσωπον οὐκ ἀπηλλαγμένον τῆς ὥρας· οἱ γοῦν ὀφθαλμοὶ πρὸς κάλλος ἐκλάμπουσι καὶ θεοῖς παραβάλλεσθαι πρέποντες, εἶτα λευκαίνεται καὶ τὸ χρῶμα προσῆκον εἰς ἡδονάς· ἔπειτα μέγεθος σώματος εἰς ἀξίαν ἐπαῖρον τοὺς ἐντυγχάνοντας[2]· ἐφ' ἅπασι δὲ βάδισμα μέτριον καὶ τρόπος εὐάγωγος· ἄγεται γὰρ ἔνθα ἂν θέλῃς ὁ βοῦς, τίκτει δὲ πόθον τὰ τῶν ἠθῶν ἑτοιμότατα, πρὸς ἃ δὴ πάντα πεφυκὼς ὁ ταῦρος εἰκότως ἐπῆρεν εἰς ἐπιθυμίαν τὴν ἄνθρωπον· ἐρῶσα δὲ μίαν ἡγεῖτο λύσιν τοῦ πόθου, τὴν πρὸς αὐτὸν ὁμιλίαν· ψυχαγωγοῦσι γὰρ τὰς ἐπιθυμίας αἱ πεῖραι, διὸ ἦρα μὲν παράλογον, ἐδεῖτο δὲ πλησιάζειν σύνηθες, καὶ τὸ συνελθεῖν οὐκ ἄπορον, εἰ καὶ τὸ παθεῖν ἀπορώτερον. ὡρμημένη δὲ πρὸς ὁμιλίαν θεᾶται τὸν Δαίδαλον, καὶ τὴν ἐκείνου τέχνην ἐκάλεσε σύμμαχον, φιλοῦσι γὰρ αἱ τέχναι νοσούσαις ἀμύνειν ταῖς φύσεσιν· ὅσῳ τοίνυν τὸ πάθος ὑπῆρχε παράλογον,

2 Cod. ἐπαίρων. 3 Cod. τό.

Digitized by Google

τὴν τέχνην θαυμασιώτερος Δαίδαλος· διόπερ καλεῖ, καὶ καλοῦσα τετύχηκε, καὶ κληθεὶς Δαίδαλος ἐξήρκει πρὸς ἴασιν, καὶ φανεῖσα τέχνη παραλογωτέρα τοῦ πάθους, παράλογα γὰρ παραλόγοις εἴωθε λύεσθαι. Νοσησάσῃ δὲ τῇ φύσει σοφῆς συλλαμβανούσης βουλῆς, πίστις τῇ Δαιδάλου τέχνῃ τὸ παρ' αὐτῆς ὑπῆρξε γενόμενον· καὶ συνελθόντος τοῦ ταύρου τῇ γυναικὶ παράγεται ἃ παῖς οὐχ ἑνός, ἀλλ' ἐξ ὅσων ἐγένετο, καὶ τοῦτο εὖ οἶδα ὅτι τινὲς αἰτιάσονται. Σῶμα συγκείμενον ἐκ διπλῆς φύσεως, ἐγὼ δὲ τόσῳ μᾶλλον πιστοτέραν οἶμαι τὴν γένεσιν, ὅσῳ τοὺς φύσαντας κατὰ μέρος παρήγαγεν. εἰ μὲν γὰρ παράλογόν τι τικτόμενος βοῦς, ἢ παράλογον γενόμενος ἄνθρωπος, εἰκότως καινὸν ἐδόκει τὸ παρ' ἀμφοτέρων συγκείμενον. εἰ δὲ τίκτει μὲν ἄνδρας ἡ φύσις, παράγει δὲ βοῦς, οὐχ ἑτέρα τις δύναμις, καλῶς ἡ φύσις, ἃ κατὰ μέρος ἀνθρώπου καὶ βοὸς ἐδημιούργησε, ταῦτα συνθεῖναι παρὰ τὸν Μινώταυρον ἴσχυσε, καὶ καινὸν οὐδὲν συνθεῖσα πεποίηκεν· πολὺ γάρ που θαυμαστότερον ἦν μὴ γεγενημένον δεῖξαι τὸν ἄνθρωπον, καὶ μὴ φανέντα δημιουργῆσαι τὸν βοῦν, ἢ τὰ γεγενημένα συνθεῖναι· τὸ γὰρ ἤδη λαβὸν ἀφορμὴν ἑτοιμότεραν γίνεται, καὶ συνάπτεται ῥᾷον, ἃ κατὰ μέρος ἤδη γεγένηται. Καί μοι σκόπει τὰς τέχνας, αἳ γεγόνασι δεύτεραι φύσει, αὗται γὰρ δήπου χρυσὸν ἀργύρῳ κράσασαι φύρουσι, καὶ τὸ μέσον ἀμφοῖν οὐκ ἀνεῖλε τὴν μίξιν. εἰ δὲ λειπόμεναι τέχναι τῆς φύσεως τὰ διεστῶτα συνάπτειν δεδύνηνται, τί τοῦτο ἄλογον, εἴ τις φύσις ἐστὶ δυνατωτέρα τῆς τέχνης, σῶμα δημιουργῆσαι συγκείμενον ἐξ ἀνθρώπου καὶ βοὸς, καὶ τὸ παράλογον τεχθὲν παραλογώτερον ἔμεινεν, οἷς ἅπασιν ἐνομίσθη. οὐκοῦν ἡ τὰ πρῶτα συνάψασα καὶ τεχθῆναι παρέσχε, καὶ τεκοῦσα συνεχώρησε τρέφεσθαι καὶ πιστότερον ποιεῖται. Θαῦμα τὸ γεγενημένον τοῖς φθάσασι καὶ πιστοῦται τὴν μίξιν τόκος, τὸν δὲ τόκον ἡ μετ' ἐκεῖνον τρο-

φή· οἷς μὲν γὰρ συνήφθη, προῆλθεν, οἷς δὲ προῆλθεν, ἔμεινεν, οἷς δὲ διέμεινε, τέθαπται, καὶ τὸ γένος παρατῆθὲν ὁ πολὺς ῥέων οὐκ ἀπέκρυψε χρόνος. ἴσασι γὰρ τὰ παράλογα καὶ χρόνου δυνατώτερα φαίνεσθαι. διὸ Μινώταυρος ἔμεινε, καὶ πρὸς λήθην συναγωνιζόμενον οὐκ ἔσχε τὸν χρόνον· ταῦτα καὶ τὰ τοιαῦτα καὶ λέγειν ἔδει τοὺς ποιητὰς, καὶ εἰποῦσι τὴν ψῆφον προστίθεσθαι.

5. Κατασκευὴ ὅτι οὐκ εἰκότα τὰ κατὰ Μήδειαν.

Ἐπὶ παντὶ ποιητὰς ἐπαινέσαι ζητῶν ἐν τοῖς Μηδείας τεθαύμακα μάλιστα, τὸ γὰρ τοιαῦτα περὶ Μηδείας φιλοσοφεῖν, ἐξ ὧν ἡ κοινὴ τῶν ποιητῶν δείκνυται φύσις, πῶς οὐ θαυμάσαι παρέχει ποίησιν, ἢ διὰ μιᾶς τὸ κοινὸν ἀνθρώπων δείκνυσι γένος· οἷα γὰρ περὶ Μηδείας φιλοσοφούντων αὐτῶν ἀντεροῦσί τινες. Αἰήτης φασὶ προῆλθεν ἡλίου, Αἰήτου δὲ γέγονε Μήδεια, καλῶς ἐπ' ἀμφοῖν τοὺς λόγους ποιούμενοι· τό τε γὰρ Αἰήτην πρῶτον ἡλίου φιλοσοφῆσαι γενόμενον, καὶ τὴν Μήδειαν Αἰήτου φανῆναι, καλῶς ἔχον ἐστὶ πρὸς ἀμφότερα, κοινὸς γὰρ ἅπασι τοῖς τικτομένοις ἥλιος ὑπάρχει πατὴρ, καὶ τὸ πρὸς βίον ἐλθὸν ἡλίῳ τὴν γένεσιν ἐπιγράφεται· οὐκοῦν Αἰήτης ἡλίου προῆλθε· γεγονὼς δὲ ἡλίου Μήδειαν παρήγαγε πρότερον, τὴν γὰρ πρώτην ἀνθρώποις γενεὰν παραγαγὼν τῶν θεῶν, ἐντεῦθεν ἄνθρωποι δι' ἀνθρώπων προέρχονται. Διὸ καὶ τὸν Αἰήτην ἡλίου φιλοσοφοῦσιν εἰκότως οἱ ποιηταὶ, καὶ τοῦ Αἰήτου γεγενῆσθαι τὴν Μήδειαν, καὶ γενομένη, φασὶν, Αἰήτου Μήδεια θεῶν ἐτίμα μᾶλλον τὴν Ἄρτεμιν· τὰ γὰρ τῶν βαρβάρων ἐπ' ἄμφω διαιρεῖται θεῶν, Ἀπόλλωνος καὶ Ἀρτέμιδος, καὶ μόνη θεῶν ἐν βαρβάροις τετίμηται μετ' Ἀπόλλωνος Ἄρτεμις, ὅθεν Ἀπόλλωνι προσετίθετο Μήδεια, καὶ τιμώσης Μηδείας τὴν Ἄρτεμιν Ἑλληνικὸς στόλος ἐπὶ Κόλχους ἀνήγετο· φύσει γὰρ τὰ γένη

Digitized by Google

πρὸς ἄλληλα τὰς ἐπιβουλὰς ἀντεπιδείκνυνται· κόρας οὖν ἁρπάζειν ἐξ ἀλλήλων ἐσπούδαζον, οὐκοῦν Ἕλληνες οὐδὲν ἔξω τοῦ παρὰ σφίσιν πεπράχασιν, ὁμοῦ καὶ πρὸς τοὺς βαρβάρους ἀναχθῆναι σπουδάζοντες, καὶ τὰ παρ' αὐτῶν μετάγειν εἰς Ἕλληνας. Ἀφικομένων δὲ περὶ τοὺς Κόλχους Ἑλλήνων Ἰάσων μὲν ἡγεῖτο τοῦ στόλου, τὰ γὰρ τῆς Ἑλλάδος τοιάδε δι' ἡγεμονίας, ἅπαντα δὲ τῶν ἡρώων εἰς Σκύθας. Αἰήτης μὲν ἠγανάκτει, καὶ μηχανὴν ἐζήτει παρακρουσομένην τοὺς ἥκοντας, καὶ ζητῶν ἐπορίσατο ζεῦγος ἔξω μὲν δοκοῦν τῆς κοινῆς φύσεως, οὐκ ἔξω δὲ τῶν ὅσα πράττειν ἅπαντα πέφυκεν. χαλκοῦς γὰρ αὐτῶν ἐροῦσι τοὺς πόδας, οὐχ ὅτι χαλκὸς συνεκράθη τοῖς σώμασιν, ἀλλ' ὅτι τοιοῦτοι τῶν ταύρων οἱ πόδες, ὡς χαλκοῦ μιμήσασθαι φύσιν· καὶ πῦρ τῶν στομάτων ἠφίεσαν, οὐχ ὅτι τὸ πῦρ τοῖς σώμασι σύντροφον, ἀλλ' ὅτι τοιαύτη προήει θέρμη τῶν πόρων, ὡς μιμεῖσθαι πυρὸς τὴν ἰσχύν· καὶ καθεστῶτος τοιούτου τοῦ ζεύγους ἠπόρει μὲν Ἰάσων, συλλαμβάνουσαν δὲ εὗρε τὴν Μήδειαν· καὶ μάλα εἰκότως· ποριστικώτεραι γὰρ γυναῖκες ἀνδρῶν ἐπὶ τὰς μηχανὰς καὶ ἄλλως. Μήδεια μὲν ἦν ἐγγενὴς, καὶ τοῦ προστάττοντος γεγένηται παῖς, καὶ διὰ τοῦ συγγενοῦς τῶν αὐτῷ ταττομένων πόνων ἐγνώκει φύσιν· ὅθεν ὡς εἰδυῖα τὴν φύσιν ἐπορίζετο λύσιν, μηχανησαμένη τοῖς ἄθλοις τὸν πόρον, ἐφ' οὓς προσελήλυθεν Ἰάσων· ἔπειτα τοῦ πατρὸς ἀντεπιτάττοντος μείζονα γῆ μὲν ἐσπείρετο παραλογωτέρῳ τινὶ σπέρματι, γῆς δὲ ἄνδρες ἀνήεσαν, καὶ ταῦτα θαυμάσαι τὴν ποίησιν, οὐκ αἰτιᾶσθαι παρέχεται. εἰ μὲν γὰρ ἕτερον ἐκόμισεν ὄφιν, ἕτερον δὲ παρήγαγεν ἄνθρωπον, εἰκὸς ἦν ἀπιστεῖν· εἰ δρακόντων ὀδοὺς ἀνθρώποις γέγονε γένεσις, οἱ δὲ παῖδες ἀμφότεροι καὶ ἄνδρες καὶ δράκοντες, οἷς ἄμφω προῆλθε τῆς γῆς, δι' ἀλλήλων ἄμφω γεγόνασιν· ἐφ' οἷς Αἰήτης μὲν κατεπλήττετο, δράκων δὲ μετεμάνθανεν ὕπνον, κἂν τούτῳ συνεργὸν ἔσχε τὴν φύ-

Digitized by Google

σιν ἡ Μήδεια, οἷς γὰρ ἅπαντα κατακηλεῖν ἔγνωκεν ὕπνος, τούτοις καὶ δράκων τῆς ὕπνου δυνάμεως ἥττηται· καὶ γέγονε φύσις αὐτῇ τέχνης ἐπίκουρος· λαβοῦσα δὲ τὸ δέρας ἡ Μήδεια συνεξέπλει τῷ ξένῳ· τοῦτο γὰρ ἐδίδασκε πόθος, ὧν γὰρ αἱ γυναῖκες συναπτόμεναι γένωνται, τούτους [1] ἡγοῦνται καὶ πολίτας καὶ πόλιν· οὐκοῦν οὐ πόλιν κατέλιπε Μήδεια, πατρίδα δὲ μείζω τὴν τοῦ συνοικοῦντος ἐλάμβανε· μεθ' ὧν γὰρ ὁ βίος, μετὰ τούτων ἡ πόλις. καὶ πατρὶς γυναιξὶν ἡ φιλοτιμουμένη τὸν γάμον· ἀποπλέουσαν δὲ διώκει μὲν Αἰήτης· Ἄψυρτον δὲ ἐλεῖν συναπέστειλεν, ἡ δὲ τἀδελφῷ μηχανᾶται τὸν φόνον· οὐκ ἔξω τῆς ἔρωτος βίας ἡ μηχανή, ἃ γὰρ ἔρωτες ποιεῖν ἀναπείθουσιν, ἑτοιμότερον πράττουσιν· ἀφικόμενος δὲ ἐπὶ τῆς Ἑλλάδος Ἰάσων ἑτέραν γνώμην ἐλάμβανεν, οὐδὲν γὰρ ἔχουσι βέβαιον οἱ πρὸς ἔρωτα γιγνόμενοι γάμοι· πρὸς Ἑλληνικὸν οὖν ἀπέβλεπε γάμον, καὶ μάλα δικαίως· ἄλογον εἰς παίδων γονὴν βάρβαρος ἄνθρωπος· συνεργούσης μὲν γὰρ πρὸς κίνδυνον εἴχετο, παιδοποιεῖν δὲ ἐκ Μηδείας ἄδοξον ᾤετο· διὸ τοῖς μὲν κινδύνοις τὸν Μηδείας ἔστεργε γάμον, τοῖς δὲ τῶν Ἑλλήνων νόμοις τὸν τῆς Γλαύκης ἠγάγετο· καὶ ἄλλα ὁ τῆς Γλαύκης πατὴρ ἐκράτει παρὰ τὴν Κόρινθον, καὶ δυνάμεως Ἰάσων προσεδεῖτο μείζονος, ὥστε καὶ ἐξ αὐτῆς παῖδας ἐθέλειν φύσειν Ἑλληνικούς. Λυσιτελέστερος οὖν ὁ Γλαύκης κατεφαίνετο γάμος, ἃ θεωμένη χαλεπῶς ἔφερε Μήδεια, καὶ μάλα δικαίως, γυνὴ γὰρ ἀδικουμένη πρὸς εὐνὴν χαλεπώτατον, καὶ τἄλλα μὲν φέρειν ἐπίσταται, παραιτουμένη δὲ γάμον οὐ καρτερεῖ· διὸ Μηδείᾳ πάντα θυμὸν ἤγειρε μείζονα ἡ φύσις, ὅτι γυνὴ τὸ γένος, ὅτι δὴ βάρβαρος Ἰάσων μετὰ τὴν χάριν ἀγνωμονῶν, καὶ δυσχεραίνουσα κτείνειν ἅπαντας προσήκοντας ἐσπούδαζεν, ἐξ

1 Cod. τούτοις.

ὧν ἠδικεῖτο, τούτους ἀνταδικῆσαι φιλονεικοῦσα, καὶ πρὸς τιμωρίαν συνεργὸν ἔσχε τὴν τέχνην· ἦ γὰρ ἦν ἄλογον Ἰάσωνι μὲν ἐπικουρεῖν μαγγανεύουσαν, ἑαυτῇ δὲ μὴ συμμαχεῖν ὅμοια πράττουσαν· ὅθεν τὴν ἴσην ἐκάλεσε τέχνην ἐπ' ἔργοις οὐκ ἴσοις, καὶ πάντα κοινῷ δαπανᾶται πυρὶ, Κρέων κηδεύων, Γλαύκη παραιρουμένη τὸν γάμον, οἶκος παρ' ὃν ἄλογος ἐγίνετο γάμος, καὶ πάντας κτείνασα καταλέλοιπεν ἀθῷον Ἰάσωνα, καὶ τοῦτο δικαίως ἄν τις ἀγανακτήσειε, τί δήποτε ἐλύπει μὲν Ἰάσων, ἕτεροι δὲ τὴν δίκην ὑπεῖχον· ὅτι μάλιστα τιμωρίαν ὑπεῖχεν, ἀναιρουμένους ὁρῶν, οὓς Μηδείας προετίμησε. καὶ θεατὴς γεγονὼς ἐκολάζετο πλέον. θάνατος μὲν γὰρ ἀναιρεῖ τῶν λυπούντων τὴν αἴσθησιν, βίος δὲ λυπηροτέραν τῶν ἀτυχημάτων ἐργάζεται κρίσιν· ὅθεν περιεῖναι συγχωρεῖ τὸν Ἰάσωνα. Τάχα ἄν τις ἐπιτιμήσειε τοῖς ποιηταῖς, παίδων ἀναίρεσιν ἐκ Μηδείας ἀκηκοὼς, ἀλλὰ ταῦτα μᾶλλον ἐπαινεῖσθαι παρέχει τὴν Μήδειαν· εἰ μὲν γὰρ ἑτέρων ὑπῆρχον οἱ παῖδες, εἰκότως ἠδίκει παῖδας ἀναιροῦσα τοὺς μηδὲν ἀδικήσαντας, νῦν δ' ὡς ὑπόμνημα τῆς πάλαι μένειν οὐ προῃρεῖτο τύχης, ὅθεν ἀνῄρει τοὺς παρ' αὐτῆς, καὶ φθείρασα πάλιν εἰς θεοὺς ἀνελήλυθεν· ὧν γὰρ τικτομένη προῆλθε, καὶ τελευτῶσα πάλιν ἀνῆλθε. Ταῦτα καὶ τὰ τοιαῦτα καὶ λέγειν ἔδει τοὺς ποιητὰς καὶ εἰποῦσι συντίθεσθαι.

6. Κατασκευὴ ὅτι εἰκότα τὰ κατὰ Νιόβην.

Ποιητῶν εἰς ἅπαν ἄγαμαι, καὶ τὸ μέτρον φιλοσοφοῦν οὐκ ἐπὶ μετρίου φέρω τοῦ θαύματος, μάλιστα δὲ ἃ περὶ Νιόβης ἐφιλοσόφησαν φράσαντες, θαυμάσαι τῶν ἄλλων μᾶλλον κατέλιπον. Οἷα γὰρ περὶ Νιόβης ἐροῦσιν ἀπιστεῖν τινες ἐπεχείρησαν. Νιόβη, φασὶ, προῆλθε Ταντάλου· τίνα τοῦτον ἄπιστον καταλελοίπασι λόγον, εἰ μὲν γὰρ Τάνταλον φίλον θεοῖς καθάπαξ εἰρήκασιν, εἰκότως ἄπιστον

ἄπιστον ἦν Ταντάλου παῖδα γενέσθαι Νιόβην, ὃς παραπλησίως τοῖς ἄλλοις θεοῖς ἀπηχθάνετο. τὸ γὰρ συγγενὲς τῇ κοινωνίᾳ βεβαιοῦσι τοῦ μίσους, οἷς γὰρ ἀμφότεροι τοῖς θεοῖς ἀπεχθάνονται, καὶ Νιόβη Ταντάλου καὶ Νιόβης Τάνταλος πατὴρ ἐνομίζετο· τὰς γὰρ συγγενείας αἱ κοινωνίαι πιστοῦνται τῶν τρόπων· ἐκολάζετο Τάνταλος, δίκην ὑπεῖχε μετ᾽ ἐκείνου καὶ παῖς πρὸς θεοὺς ἀπηχθάνετο, καὶ πρὸς τὴν Λητῶ γέγονεν ἡ παῖς δυσμενής· ὃ κοινῇ πᾶσι γεγένηται Τάνταλος, τοῦτο πρὸς μίαν θεὸν καθειστήκει Νιόβη· καὶ τὸ γεγονὸς ἐν τῷ μέρει περὶ τοῦ συμβάντος κοινῶς ὑπῆρχε πιστότερον· φιλεῖ γὰρ τὰ καθέκαστον ἐκ τῶν κοινοτέρων παραδειγμάτων φαίνεσθαι· διὸ πρὸς πάσας ἐνυβρίσας ὁ Τάνταλος Λητοῖ παθεῖν παραπλησίως δέδωκεν, καὶ τὸν τρόπον ἡ παῖς ἐκ τοῦ τεκόντος ἐμάνθανε· καίτοι πρὸς ταῦτά τινες ἀντεροῦντες ἀναιροῦσι τῆς Λητοῦς τὴν φιλίαν, τὴν μὲν ἐν οὐρανῷ διαιτᾶσθαι διδόντες, τὴν δὲ διατρίβειν ἐν γῇ· καὶ τὰ θεῶν μετροῦσι τοῖς τόποις· τίς γὰρ οὐκ οἶδε πλὴν τούτων, ὡς ἅπαντα θεοὶ περιθέουσι, [1] καὶ δοκοῦντες μένειν ἐν οὐρανῷ τῆς γῆς καθάπαξ ἐντὸς οὐ γεγόνασιν, ἀλλὰ τὸ πᾶν τῆς αὐτῶν ἐξήρτηται χάριτος· εἰ δὲ παντοχοῦ φοιτῶσι θεοί, καὶ Λητοῖ Νιόβη συνήπτετο, καὶ τῆς συνουσίας παρεῖχε τὴν ἀφορμὴν πανταχοῦ περιθέουσα, συγγενομένη δὲ τὴν μὲν εὐδαιμονίαν ἐκ τῆς συνουσίας ἐλάμβανεν· ἐκ δὲ τῆς εὐδαιμονίας μεταμανθάνει τὴν ὕβριν· πέφυκε γὰρ καὶ ἄλλως ἄνθρωπος εὐδαιμονήσας,

1 Plat. Cratyl. p. 397. d. φαίνονταί μοι οἱ πρῶτοι τῶν ἀνθρώπων — — — ἀπὸ ταύτης τῆς φύσεως τῆς τοῦ θεῖν θεοὺς αὐτοὺς ἐπονομάσαι. Arridet haec etymologia sophistae nostro, qui eandem VII. 2. repetit: οἷς γὰρ περιθέουσιν ἅπαντα καὶ θεοὶ προσερρήθησαν. et X. 4. οἷς γὰρ περιθέουσιν ἅπαντα θεοὶ προσερρήθησαν, καὶ οἷς ἐκ τοῦ θέειν προσηγορεύθησαν, πάθος ἀργίας παντελῶς ἠγνοήκασι.

Digitized by Google

ἐκτρέπεσθαι· διόπερ Νιόβη, δι' ὧν μὲν συνήει Λητοῖ, διὰ τῆς συνουσίας ηὐτύχει, καὶ μέγα φρονεῖν ἠναγκάζετο. οἷς δὲ ἐφρόνει μέγα, πρὸς ὕβριν ἐχώρει· οὐκοῦν οὐδὲν ἄπιστον, εἰ συνιοῦσα Νιόβη θεῷ καὶ τὸν τρόπον μετέβαλεν· οὐ γὰρ καθάπαξ θεοὶ τὰς τῶν ἀνθρώπων ἀμείβουσι φύσεις, ἀλλὰ νοσεῖν αὐτοὺς καταλείπουσι, κἂν νοσεῖν οὐκ ἐθέλωσι. Μεταβληθείσης δὲ τῆς γυναικὸς ἡ Θεὸς εἰσεπράττετο δίκην· καὶ μάλα δικαίως· ὡς γὰρ ἐτίμα τὴν ἀρχὴν μετριάζουσαν, οὕτω μεταβεβλημένην ἐκόλαζε, καὶ τὴν μεταβολὴν οὐχὶ θεὸς τῆς γνώμης, ἀλλ' ἡ γυνὴ παρεῖχε τῆς φύσεως· ἔμεινε γὰρ ἡ θεὸς ἡ αὐτὴ καὶ τιμωρουμένη καὶ στέργουσα. τὴν γὰρ αὐτὴν κέκτηται δύναμιν χρηστὸς τιμηθεὶς καὶ πονηρὸς κολαζόμενος. Οἶδα τοίνυν, ὅτι πρὸς μὲν ταῦτα οὐδεὶς ἀντερεῖ· τοῦτο δὲ τῆς ποιήσεως μέμψονται, τί δήποτε, λέγοντες, πλημμελεῖ μὲν Νιόβη, δίκην δὲ οἱ παῖδες ὑπεῖχον, καὶ παροινεῖται μὲν ἡ Λητὼ, δίκην δὲ οἱ ταύτης κομίζονται παῖδες, ὥσπερ οὐκ εἰδότες, ὅτι κατὰ συγγένειαν ὁ τῆς κολάσεως προέρχεται τρόπος, καὶ τῶν δυσσεβούντων ἡ κρίσις μέχρι τοῦ γένους προέρχεται· ἄνευ δὲ τούτων καὶ λόγον τινὰ δοκεῖ μοι μείζω κεκτῆσθαι, τὸ διὰ τῶν παίδων ἑκατέραν τὴν δίκην εἰσπράττεσθαι· τήν τε γὰρ ἀλαζονείαν Νιόβη διὰ τοὺς οἰκείους ἐκτήσατο παῖδας· τήν τε ὕβριν Λητὼ διὰ τὸ γένος ὑφίσταται· πρὸς ἃ τοίνυν ἑκατέρα πεπαρῴνηκεν, ἐπὶ τοῦ γένους τὸ προσῆκον ἐξέτισε· καὶ κολάζονται μὲν παῖδες, ὧν ἡ μήτηρ ἐνύβρισε, καὶ δι' οὓς τὸ πάθος, ἐπὶ τούτους ἡ δίκη· καὶ τὸ δὴ κάλλιστον ἀμφοτέρους ὥπλιζεν ἡ θεός· εἰς οὓς ἀμφοτέρους ἐποιεῖτο τὴν ὕβριν· ὥστε τὸ μέτρον τῆς παροινίας τιμωρίας ἐγένετο τρόπος, καὶ κατὰ γένος ὡπλίσθησαν οἱ περιοφθέντες κατὰ συγγένειαν· πεπτωκότων δὲ τῶν παίδων θάπτειν οὐκ εἴων ἀνῃρημένους οἱ θεοὶ, καὶ μάλα δικαίως· τὴν γὰρ δίκην ἐχρῆν ὑπερόριον

Digitized by Google

γενέσθαι, καὶ κολάζουσιν ἀθανάτως τοὺς εἰς ἀθανάτους ὑβρίσαντας· εἰ δὲ μεγάλα τῆς τεκούσης τὰ δάκρυα, μέγα τῶν τεχθέντων τὸ πάθος· καὶ κακοπραγοῦσα συνεμέτρει τῇ τύχῃ τοὺς θρήνους, καὶ προῆλθεν εἰς λίθον καινὴν ὑποστᾶσα μεταβολήν· ἀλλ' ὅθεν προήλθομεν ἄνθρωποι, παρὰ τοῦτο μεθίστανται· τὴν γὰρ ἴσην ἄνθρωποι δέχονται γένεσίν τε καὶ τελευτὴν, καὶ δι' ὧν προέρχονται φθείρονται. Ταῦτα καὶ τὰ τοιαῦτα καὶ λέγειν ἔδει τοὺς ποιητὰς καὶ εἰποῦσι προστίθεσθαι.

7. Ἀνασκευὴ [1] ὅτι εἰκότα τὰ κατὰ Πασιφάην.

Ποιητὰς ὤμην τὴν βλασφημίαν εἰς ἑτέρους ποιεῖν, νῦν δέ μοι δοκοῦσιν αὐτοὶ τῆς αὐτῶν ψευδολογίας αἰσθάνεσθαι, καὶ εἰς τὸν οἰκεῖον τερατεύεσθαι κίνδυνον· τὸ γὰρ εἰς θεοὺς τοιαῦτα λογοποιεῖν καὶ παροινεῖν εἰς τὸν θεὸν ἁπάντων τυγχάνοντα κάλλιστον, πῶς οὐκ αὐτοὶ καθ' ἑαυτῶν λογοποιοῦντες τυγχάνουσιν; οἷα γὰρ περὶ τῆς ἡλίου παιδὸς ἀποφαίνονται; Πασιφάη, φασὶ, προῆλθεν ἡλίου, καὶ γενομένη τοῦ καλλίστου θεῶν πάθος ὑπέστη παραλογώτατον· ταύρου μὲν γὰρ ἐάλω, καὶ τὸ πάθος ἀποροῦσα διενεγκεῖν πρὸς τὸν Δαίδαλον ἤνεγκεν· ὁ δὲ ξυλίνην μηχανησάμενος βοῦν, καὶ περιβαλὼν τὸ μηχάνημα δορᾷ βοὸς, ᾗ παρὰ τὴν ἀγέλην ὁ ταῦρος συνήπτετο, τὴν μὲν ἄνθρωπον ἔνδον κατέκλεισε· σοφίζεται δὲ μίξιν ἐκ τέχνης, ἣ μὴ πέφυκε γίνεσθαι, καὶ τὸ πραχθὲν τῆς μίξεως κατέστη μαρτύριον· παῖς γὰρ προῆλθε ταύρου μὲν ἀρχόμενος, τελευτῶν δὲ μετ' ἐκεῖνον εἰς ἄνθρωπον, φύσεις ἐφ' ἑνὸς διπλᾶς κομιζόμενος σώματος. οὐδέτερον μὲν ἐντελὲς, ἑκάτερον δὲ δι' ἑτέρου πληρούμενον· καὶ ἃ μὲν μυθολογοῦσι τοιάδε. πάρεστι δὲ ἐκ τῶν ἐφεξῆς ἀπελέγξαι. Πασιφάη προῆλθεν ἡλίου· τίνα τοῦ

1 Praecedens caput finit Fol. 136. b. hoc et sqq. sunt Fol. 181. b. adjecta nota: *Νικολάου καὶ ταῦτα τοῦ σοφιστοῦ·*

Digitized by Google

γένους ἔχουσα πίστιν; ὁ μὲν γὰρ Θεῶν ἐγεγένητο [2] κάλλιστος, ἡ δὲ γυναικῶν δυστυχεστάτη πασῶν· οἷς τοίνυν ἠρνεῖτο τὴν τύχην, ἠπιστεῖτο τὸ γένος· ἀλλ' ἔστω, συγκεχωρήσθω τοῖς ποιηταῖς, Πασιφάην ἡλίου γενέσθαι, τί κακοπραγούσῃ παιδὶ πατὴρ οὐκ ἐπήμυνε; [3] Θεοὶ μὲν γὰρ ἅπασι τοῖς νοσοῦσι, μόνος δὲ τῶν Θεῶν ἥλιος, ὃ κοινῇ πᾶσιν ἀνθρώποις παρεῖχεν, ἐπὶ τῆς αὐτοῦ κόρης ἀπώκνησεν· ἡδέως δ' ἂν πυθοίμην τῶν ποιητῶν, πότερον συμμαχεῖν οὐ προῃρεῖτο δυστυχούσῃ παιδὶ, ἢ προῃρημένος οὐκ ἴσχυσεν· εἰ μὲν γὰρ οὐκ ἐδύνατο, πῶς ἔτι Θεὸς, εἰ δὲ οὐ προῃρεῖτο, πῶς ἐνθένδε πατήρ· λείπεται τοίνυν κατά γε ποιητὰς δυοῖν θάτερον ἁμαρτεῖν τὸν ἥλιον, ἢ μὴ γενέσθαι θεὸν, ἢ πατέρα δοκεῖν· ἀλλ' ἔστω συγκεχωρήσθω, Πασιφάην γενέσθαι ἡλίου πατρὸς, πῶς ἥρα βοὸς ἄνθρωπος οὖσα; γυναιξὶ μὲν γὰρ ἔρωτες φύονται, ἀλλ' ἐκ τοῦ συγγενοῦς ἔχοντες πρόφασιν· πόθος μὲν γὰρ τῆς τοῦ σώματος ὥρας προέρχεται, κοινωνία δὲ γένους παρέχει τὴν γένεσιν, νῦν δὲ τὸ πολὺ διεστὸς [4] ἐν μέσῳ τῶν φύσεων κώλυμα ποιεῖται οὗ γέγονεν ἔρωτος· εἰ μὲν γὰρ ἵππος ἥρα βοὸς, ἢ βοῦς ἵππων ἑάλω ποτὲ, τυχὸν ἄν τις αὐτὴν ἐρασθῆναι βοὸς συνεχώρησε, καὶ μικρὸν ἐπ' ἀμφοῖν τὸ διάφορον· εἰ δὲ οἷς ὀλίγον ἡ φύσις διήλλαξεν, οὐδὲ πώποτε πόθον εἰργάσατο, πῶς ἄνθρωπος ἑάλω βοὸς, οἷς πολὺ τὸ μέσον ἐκ τοῦ γένους προῆλθεν· ἀναιρεῖ τὸ πάθος ἡ φύσις, κἂκ τῶν γενῶν ἔρως οὐ πρόσεισιν. Εἰ δὲ δὴ καὶ τὰ μάλιστα βοὸς ἄνθρωπον ἐρῶντα παράσχοι τις, οὐκ ἔχω συνιδεῖν, ὅπως ἑάλω Πασιφάη τοῦ ταύρου· εἰ μὲν γὰρ βουκόλου τις ὑπῆρχε γυνὴ καὶ συνεχῶς ἐσκόπει τὸν ταῦρον, ἐκ τῆς συνεχείας ὁ πόθος ἐλάμβανε πρόφασιν· εἰ δὲ βασιλέως γεγένηται σύνοικος, καὶ παρὰ τὸν βασιλέα διάγουσα πέφηνε, πῶς εἶχε τὸν

2 Cod. ἐγεγένοιτο. 3 Cod. ἐπίμυνε. 4 Cod. διεστώς.

Digitized by Google

πόθον, οὗ μὴ τὴν θέαν ὑφίστατο. Συνεχὴς μὲν γὰρ ὄψις ἐπάξεται πόθον προσλαβοῦσα τὴν ὥραν τοῦ σώματος· τὸ δ' ἅπαξ ἰδεῖν οὐ προῆλθεν εἰς ἔρωτα. Βούλει καὶ ταῦτα συγχωρῶμεν ποιηταῖς, ἐν τοῖς ἐφεξῆς ἔτι μᾶλλον ἁλίσκονται· τί γὰρ δήποτε γυναιξὶν ἀφεῖσα λέγειν τὸ τῆς γνώμης ἀπόῤῥητον πρὸς ἄνδρα πονηρὸν ἤγγειλε· καίτοι Δαίδαλος συνεξητάζετο Μίνῳ, καὶ χάριν ἤδει τῷ συνοικοῦντι τῇ γυναικὶ τῆς παρ' αὐτὸν φυγῆς ὧν διεσώσατο· πῶς οὖν πρὸς ἐκεῖναν ἐξήγγελε; τί δὲ ὁ Δαίδαλος τὴν γνώμην παθὼν ὑπισχνεῖτο τὴν ἴασιν; δεινὸς [4] μὲν γὰρ οὗτος ὑπῆρχε τεκτήνασθαι, καὶ τέχνην εἶχε σοφωτέραν τῶν ἄλλων, οὐ μέν τι φύσει βιαιοτέραν φαίνεσθαι, οὐ γὰρ αἱ τέχναι τὰς φύσεις, ἀλλ' αὗται τὰς τέχνας εὑρήκασι· τί δὲ τὸ μηχάνημα δορᾷ βοὸς περιέβαλεν; οὐκ εἶχε συνιδεῖν, ὡς ἅμα τις βοῦς ἀφαιρεῖται τοῦ προκαλύμματος, καὶ συναφαιρεῖται τούτῳ τὸ κάλλος· ἢ πῶς εἰκασθείσης τῆς μηχανῆς συνελθεῖν ὁ ταῦρος ἐπείθετο; πολλαὶ μὲν γὰρ κατὰ τὴν ἀγορὰν ἀνεστήκασι βόες, ἃς λίθος ἢ χαλκὸς εἴκασε, καὶ οὐδείς πω ταῦρος ἐκ τῆς τέχνης συνελθεῖν ὑπήχθη· πῶς δὲ γυνὴ πρὸς τὴν μίξιν ἐσχηματίζετο; πότερα ὡς βοῦς, ἀλλὰ τὸ τῶν ἀνθρώπων διεφθείρετο πρόσχημα, ἀλλ' ὡς γυνή, καὶ τὸ βοῶν πῶς ἦν διασώζεσθαι; πῶς δὲ προσιόντος βοὸς γυνὴ τὴν ὁρμὴν εἰς μίξιν ὑπήνεγκεν; ἄνθρωποι μὲν γὰρ ἀνθρώποις ὁμιλοῦσι πραότητι, ταῦροι δὲ πρὸς ὁρμὴν καὶ θυμόν, ὥστε ἐλάνθανεν ἂν διαφθείρας τὴν ἄνθρωπον ἢ πρὸς μίξιν ἐλθών· τίς δὲ ὁ χῶρος ὃς ἀμφοτέρους συνῆψε τοῦ σκότους, ἀνδρῶν μὲν γὰρ ἕτερος, βοῶν δὲ προῆλθεν οὐχ εἷς ὢν ὁ τόκος· ἢ πῶς τὸ πραχθὲν οὐκ ἀνῄρει τὴν ἄνθρωπον, τίς δὲ ἡ γνώμη τῆς γυναικὸς τρέφειν τὸ παραλόγως φανέν; εἰ μὲν γὰρ εἰς κοινὸν ἐνεγκεῖν προῃρεῖτο

---

5 Cod. δηνός.

τὸν πόθον καὶ τεκοῦσα διέτρεφεν· εἰ δὲ συνῆει λάθρα καὶ κρύπτειν ὤφειλε τίκτουσα, νῦν δὲ παραλόγου βοὸς ὁμιλίας γνώρισμα τὸν παῖδα τρέφειν ἠβούλετο· ἢ πῶς προηρημένης τρέφειν τῆς γυναικὸς τὸ πραχθὲν διετρέφετο, τροφαὶ μὲν γὰρ ἕτεραι βοὸς, ἀνθρώπων δὲ καθεστήκασιν ἕτεραι, καὶ διπλῆ φύσις τροφὴν οὐκ ἐδέχετο μίαν. Ταῦτα καὶ τὰ τοιαῦτα ποιητὰς μὲν οὐκ ἔδει λέγειν, λέγουσι δὲ ἀπιστεῖν καταλείπεται· φέρει γὰρ ἔπαινον τοῖς φυγοῦσι μαθεῖν, ἃ μὴ καλῶς οἱ φράζοντες ἔδειξαν.

8. Ἀνασκευὴ ὅτι οὐκ εἰκότα τὰ κατὰ Νιόβην.

Ἕως οἱ λοιποὶ κατηγοροῦνται θεοὶ, καρτερεῖν ᾠόμην δεῖν κατηγορουμένων ἑτέρων θεῶν· ἐπεὶ δὲ κατὰ βραχὺ προϊόντες ἐπὶ τὸν Δία τελευτῶντες ἀφίκοντο, πῶς ἔδει φέρειν, ὅπου τοῖς λοιποῖς ὁ θεῶν κάλλιστος συμπεπαρῴνηται· οἷα γὰρ περὶ τῆς ἐκείνου μυθολογοῦσι γονῆς· ὁ Ζεύς, φασι, παρήγαγε Τάνταλον, ὁ δὲ Νιόβην, καὶ γεγονυῖα τοῦ καλλίστου θεῶν ἔκγονος Λητοῖ τῇ θεῷ προσιοῦσα συνήπτετο. καὶ συνοῦσα κατηλαζονεύετο τῆς θεοῦ· τὴν δ' ἀλαζονείαν παρεῖχε τῶν τεχθέντων τὸ πλῆθος· κρεῖττον γὰρ ᾤετο τετοκέναι Λητοῦς τεκοῦσα πολλούς· τὴν δ' αὖ θεὸν καταδεεστέραν ἐνόμιζε τεκοῦσαν εἰςάπαξ, καὶ πολλάκις ἐκείνη προήγαγεν, ἡ δὲ θεὸς ἐπὶ τούτοις ἀγανακτήσασα ὁπλίζει τοὺς ὀλίγους κατὰ τῶν πλειόνων, καὶ δι' Ἀρτέμιδος μὲν αἱ κόραι πεπτώκασιν, οἱ δὲ λοιποὶ δι' Ἀπόλλωνος· δακρύουσα δὲ τὸ πάθος ἡ μήτηρ λίθου φύσιν ἠλλάξατο, καὶ μεταθεῖσα τὴν φύσιν οὐκ ἀμείβει τὴν τύχην, ἔστηκε γὰρ ἐν λίθῳ δακρύουσα, καὶ ἃ μὲν μυθολογοῦσι τοιάδε· πάρεστι δὲ ἔλεγχον λαβεῖν τῶν προκειμένων· Νιόβη Ταντάλου προῆλθε· τίνα τοῦ προελθεῖν ἔχουσα χρόνον, θεοῖς μὲν γὰρ πρῶ-

Digitized by Google

τον συνεξητάζετο Τάνταλος, ἐξέπιπτε δὲ τελευτήσας θεῶν, καὶ πεσὼν ἐκολάζετο· πῶς οὖν εἰς ὁμιλίαν ἐλθὼν κατεφάνη πατήρ· οὔτε γὰρ θεοῖς συνδιαιτώμενος προσεῖχε ταῖς ἡδοναῖς, οὔτε δίκην διδοὺς ἐπὶ γάμον ἀπέβλεπεν, ἀλλ' ἑκατέρας ἡδονῆς ὑπῆρχεν ἀναίρεσις· ἀλλ' ἔστω, συγκεχωρήσθω, Τάνταλον ἐπὶ γάμον ἐλθεῖν, καὶ τὴν παῖδα παρενεγκεῖν. πῶς ἡ τούτου Νιόβη Λητοῖ τῇ θεῷ πρὸς φιλίαν συνήπτετο· θεοῖς μὲν γὰρ ἦν ἀπεχθὴς Τάνταλος, Λητὼ δὲ καλλίστη θεῶν. πῶς οὖν οὐ τὴν αὐτὴν τοῖς θεοῖς εἶχε προαίρεσιν, ἀλλ' ὃν πάντες κοινῶς ἀπεστρέφοντο, τούτου τὴν κόρην Λητὼ μόνη προσίετο, καὶ τῇ πρὸς αὐτὴν φιλίᾳ ἔχθραν πρὸς θεοὺς ἀνελάμβανε· πῇ δὲ ἡ Θεὸς συνδιῆγε τῇ γυναικί; πότερον ἐπὶ γῆς; ἀλλ' οὐ θέμις διατρίβειν ἐν γῇ· ἀλλ' εἰς οὐρανὸν ἀνῆγε τὴν ἄνθρωπον; οὐδὲ ἀνθρώποις θέμις διαιτᾶσθαι περὶ τὸν οὐρανόν· ἑκάτερα ἐξῄρει τῶν χωρῶν ἡ φύσις, οὔτε γὰρ γυνὴ διητᾶτο παρὰ θεοῖς, οὔτ' αὖ θεὸν ἐν ἀνθρώποις ἦν πολιτεύεσθαι· βούλει καὶ ταῦτα συγχωρῶμεν τοῖς ποιηταῖς, πῶς ἡ γυνὴ τὴν συνουσίαν τὴν τῆς Λητοῦς εἰς κακίαν ἐξέφερε; συναπτόμενοι γὰρ ἀγαθοῖς ἀγαθοὶ καθεστήκασιν ἄνθρωποι, καὶ συνουσίαι τοὺς τρόπους ἀμείβουσιν. οὐκοῦν οἱ χρηστοὶ τοὺς τρόπους θεοί, δι' ὧν ἡ Λητὼ θεὸς καθεστήκει, τὸν τρόπον ἐπαινούμενον ἐκ τῆς φύσεως ἔλαχε· συναφθεῖσα δὲ Νιόβη θεῷ πρὸς τὸν ἐκείνης μετετίθετο τρόπον· οὐκοῦν τελευτῶσαν ἐκφέρουσι, καὶ συναπτόμενός τις θεῷ κατηγορούμενον ἔσχε τὸν τρόπον· ἀνηρημένων δὲ τῶν παίδων θάπτειν οἱ θεοὶ τοὺς προκειμένους οὐκ εἴων, καίτοι θεοὶ μὲν τελευτᾶν οὐκ ἐγνώκασι· τιμῶσι δὲ ὅμως τῶν ἀνθρώπων τὴν τελευτὴν τῇ τῆς ταφῆς πρασθήκῃ· πῶς οὖν ἀνεῖλον ἃ πράττειν ἐπέταξαν, πῶς δὲ ἡ μήτηρ ἑτέραν ἐκ δακρύων ἐκτήσατο φύσιν· καὶ συμφοραὶ φέρουσι θάνατον, οὐχ ἑτέραν φύσιν ἐργάζονται· ἡ δὲ μεταπίπτει μὲν εἰς λίθους, ὡς μη-

Digitized by Google

δὲν ἐπαισθάνεσθαι, δακρύει δὲ ἐν λίθῳ τὴν τύχην ὡς μὴ μεταθεῖσα τὴν φύσιν. καὶ τὸν τῶν γενῶν συγχέουσι τρόπον τὰ μηδὲν εἰδότα τοῖς ἐγνωκόσι συνάπτοντες· δάκρυα καὶ λίθος ἄλλο παρ' ἄλλο γεγονότα γνωρίζεται. Ταῦτα καὶ τὰ τοιαῦτα λέγειν μὲν οὐκ ἔδει τοὺς ποιητὰς, εἰποῦσι δὲ ἀντερεῖν καταλείπεται.

9. Ἀνασκευὴ ὅτι οὐκ εἰκότα τὰ κατὰ Μήδειαν.

Οὐκ ἐφ' ἑνὶ οἱ ποιηταὶ τὰς βλασφημίας ποιοῦνται κατὰ θεῶν, οὐδὲ λέγειν ἐθέλουσι μυθολογοῦντες κατὰ θεῶν, ἀλλὰ νῦν μὲν ἔρωτας, ἄρτι δὲ δουλείαν τῶν θεῶν κατεγνώκασι· τελευταῖα δὲ μεῖζον ἢ πρὶν τερατεύονται· θεάσασθε γὰρ οἷα περὶ τῶν ἡλίου προελθόντων ἐροῦσιν· Αἰήτης, φασὶν, ἡλίου φανεὶς προήγαγε Μήδειαν· ἡ δὲ γονυῖα τοῦ καλλίστου θεῶν ἀνέκειτο μὲν τὸ πρῶτον Ἀρτέμιδι· θεραπεύουσα δὲ τὴν θεὸν ὁμοῦ θεᾶται ξένον Ἰάσωνα, καὶ τὸν ἐκείνου πόθον ὑφίσταται· καὶ παράλογον ἆθλον τοῦ πατρὸς ἐπιτάττοντος βοῦς μὲν εἰς ἄροτρον ἤγοντο πῦρ ἀφιέντες τοῦ στόματος· καὶ ποσὶ βαίνοντες συγκειμένοις χαλκῷ, καὶ τὸ τοῦ ζεύγους παραλογώτατον ὀδόντες δράκοντος σπόρος τῇ γῇ κατεβάλλοντο. Ὃ δὲ τοῦ σπέρματος ἦν ἀπιστότερον, ἄνδρες τῆς γῆς ἀνεδίδοντο, πρὶν ὅλοι γενέσθαι μαχόμενοι, καὶ δαπανήσας τούτους συνεργούσης Μηδείας ἆθλον τῆς νίκης χρυσοῦν διεδέχετο δέρας, ὃ δράκων μὲν ἐφρούρει μηδέποτε πρὸς ὕπνον ἰδών· κατακλίνασα δὲ τοῦτον ἡ Μήδεια πάντα τῷ ξένῳ καθίστατο καὶ νίκη καὶ δέρας. συνεπάρασα δὲ κτείνει τὸν ἀδελφὸν μετερχόμενον, εἰς Ἕλληνας δὲ ἀφικομένη παρὰ τὴν Κόρινθον ὑπερώφθη παρὰ Ἰάσωνος· καὶ ἃ μὲν μυθολογοῦσι τάδε· πάρεστι δὲ ἐκ τῶν ἐφεξῆς ἐξελέγξαι τὸ ψεῦδος. Αἰήτου φανεῖσα Μήδεια πρὸς τὴν Ἄρτεμιν ἔβλεπε· καὶ ποῦ θεραπεύειν

θεοὺς ἴσασι βάρβαροι· τοῦτο γοῦν Ἕλλησι πρὸς τοὺς βαρβάρους τὸ μέσον· ὀλιγωρεῖν τῶν θεῶν, οὓς θεραπεύειν ἴσασιν Ἕλληνες· ἀλλ᾽ ἔστω, συγκεχωρήσθω τοῖς ποιηταῖς, Μήδειαν βάρβαρον οὖσαν θεραπεύειν τὴν Ἄρτεμιν· πῶς δὲ θεραπεύουσα παρθένον θεὸν πρὸς ἡδονὰς ἐξεφέρετο· δυοῖν γὰρ θάτερον λείπεται· ἢ γὰρ τιμῶσα τὴν Ἄρτεμιν σωφρονεῖν ἐξηπίστατο, ἢ σωφρονεῖν οὐκ εἰδυῖα τὴν θεὰν οὐ τετίμηκεν· ἀλλ᾽ ἔστω καὶ τιμᾷν τὴν θεόν· καὶ πρὸς ἡδονὰς παρανόμους ἐκφέρεσθαι, τί συμμαχοῦσαν οὐκ ἔσχε νοσοῦσα τὴν τιμωμένην θεόν· ὁ γὰρ σωφρονεῖν ἐγνωκὼς πρὸς ἡδονὴν μὲν τὴν ἀρχὴν οὐκ ἐκφέρεται, συμμαχεῖται δὲ παρὰ πάντας ἐξενεχθείς· πῶς οὖν Ἄρτεμις περιεῖδε νοσοῦσαν, ἣν σωφρονεῖν τὸ πρῶτον ἐδίδασκεν· εἰ δὲ δὴ καὶ τὰ μάλιστα περιεῖδε νοσήσασαν Ἄρτεμις, Αἰήτης πατὴρ γεγονὼς καὶ Σκυθῶν κρατεῖν κληρωσάμενος, παρανομοῦσαν οὐκ εἴα τὴν ἐξ αὐτοῦ· ἀγριαίνουσι γὰρ οἷα θῆρες οἱ βάρβαροι, καὶ τὰ παράνομα τιμωροῦνται πικρότερον· ποία δὲ τῇ Μηδείᾳ καθίστατο δύναμις χαλκοῦ καὶ πυρὸς ἐξελεῖν τὸν Ἰάσονα· εἰ μὲν γὰρ αὐτὴ μαγγανεύειν ἠπίστατο, τί τὸν οἰκεῖον οὐ μετέθηκε τρόπον· εἰ δὲ τὸν οἰκεῖον πόθον μεταβαλεῖν ἀδύνατος ἦν, πῶς ἑτέρῳ συμμαχεῖν ἐδεδύνητο; τὸ γὰρ οἴκοθεν ἄπορον ἐφ᾽ ἑτέρων ἐστὶν ἀπορώτερον· πῶς δὲ γῆς ἀνίεσαν ἄνθρωποι πρὶν βιῶναι μαχόμενοι· βίος καὶ πόλεμος ἐνὶ προελθεῖν οὐκ ἴσασι χρόνῳ,[1] ἀλλ᾽ ἐφ᾽ ἑτέρῳ θάτερον γέγονε βίῳ προστιθέμενος πόλεμος. τούτων δὲ τὸ πρότερον οὐκ ἔσχε τὸ πέρας. τὸ γὰρ μεθ᾽ ἕτερον πρὸς ἀρχὴν οὐ προέρχεται· πῶς δὲ καὶ δράκοντα κατεκήλει πρὸς ὕπνον; ἢ πῶς ὁ δράκων οὐχ ὑπήκουεν ὕπνῳ; τὸ λεχθὲν ἄλογον ἀλογωτέρῳ λόγῳ λύειν ἐπείγονται· πῶς δὲ συνεξῄει τῷ ξένῳ φυλακῆς ἄτης ἐν βαρ-

1 Cod. *χρόνον*.

Digitized by Google

βάροις ἐνούσης; ἢ πῶς Ἰάσων ὑπερεώρα Μηδείας, δι' ἣν τὴν Ἑλλάδα κατεῖδε; βαρβάρων ἦν ἀτοπώτερος, περὶ τὴν Ἑλλάδα τὰ βαρβάρων μιμούμενος; ἢ πῶς ἡ Μήδεια πανοικὶ διέφθειρε Κρέοντα; τί δὲ τῶν οἰκείων παίδων ἀνθήπτετο; ἢ πῶς οἱ θεοὶ τὴν τοιαῦτα δρῶσαν ἐλάμβανον; πᾶν εἴ τι δεινὸν ἐροῦσιν οἱ ποιηταὶ, τὰ φθάσαντα τοῖς ἑξῆς ὑπερβάλλοντες.

10. *Κατασκευὴ*[1] *ὅτι εἰκότα τὰ κατὰ Ἄλκηστιν.*

Ἐπὶ πολλοῖς ἐπαινέσας τοὺς ποιητὰς, ἐφ' οἷς εὐσέβειαν φιλοσοφοῦσι τοῖς ἀγαθοῖς, ἐπαινέσὼν προῆλθον· τῷ γὰρ Ἀδμήτῳ τοσαύτην εὔνοιαν ἐκ θεῶν μαρτυρεῖν, ὥστε μεταθεῖναι δυνηθῆναι τὰς μοίρας, πῶς οὐχ ἅπαντας εἰς εὐσέβειαν αἴρουσιν, εἰ θεοῖς προσκείμενος μεταθήσει τὰς μοίρας· οἱάπερ ἀπιστεῖν φιλοσοφούντων πρὸς Ἄλκηστίν τινες τετολμήκασιν. Ἄδμητός, φασιν, ἐκράτει Φερῶν· τί τοῦτο πρὸς θεῶν ἄπιστον; οὐ κρατοῦσιν ἀνθρώπων ἄνθρωποι; καὶ τὸ συγγενὲς ἐκ τῆς αὐτῆς καὶ μιᾶς ἄγεται τύχης, εἰ δὲ τῷ γένει γένος ὑπακούειν ἐπίσταται, καλῶς Ἀδμήτῳ τὰ Φεραίων ὑπήκουε πράγματα· κρατοῦντι δὲ Ἀδμήτῳ Φερῶν Ἀπόλλων συνῆν, καὶ τοῦτο τοῖς ποιηταῖς φιλοσοφίας περὶ θεῶν, μὴ πόρρωθεν εἶναι θεοὺς εὐσεβοῦντος ἀνθρώπου. ὥσπερ γὰρ δυσσεβούντων οἱ κρείττους πόρρω γεγόνασιν, οὕτως τοῖς εὐσεβεῖν ῥηθεῖσι πλησιάζειν πάντες ἐγνώκασι. καὶ τὴν συνουσίαν δουλείαν ἐπονομάζουσιν, οὐχ ὅτι θεοῖς μετετίθει τὴν τύχην, ἀλλ' ὅτι προχείρως εὐσεβοῦντος κατήκουον. τῶν γὰρ ἀκούειν ἐγνωκότων ἀνθρώπων ἀνθυπακούειν οἱ κρείττους ἐγνώκασιν, ὅθεν Ἀπόλλων προχειρότερον ἤκουσεν, ἣν χάριν αἰτεῖν ἤθελεν Ἄδμητος· συνόν-

1 Haec et seqq. quatuor foliis interjectis ab antecedentibus sejuncta sunt.

Digitized by Google

τος δὲ τοῦ θεοῦ τελευτᾷν Ἄδμητος ἔμελλεν, ὡς ἂν ὁ θεῶν ἐνθένδε μᾶλλον καταφαίνοιτο πόθος· τὸ μὲν γὰρ Ἀπόλλωνα [2] παρέχειν Ἀδμήτῳ βοσκημάτων πλῆθος παντοδαπὸν ἢ περιουσίας εὐπόρους ἤ τι τῶν ὅσα φέρουσιν ἄνθρωποι, τυχὸν ἄν τις πρὸς ἀλλήλους ἔφησε κέρδος. τὸ δὲ μεταβάλλειν ἐθέλειν τὰς μοίρας, ὃ μηδενὶ τῶν ἄλλων προσγέγονε, μείζω τὸν Ἀδμήτου πόθον ἐδείκνυεν, ὅσῳ γὰρ μείζων Ἄδμητος τὴν εὐσέβειαν, τοσούτῳ μᾶλλον ἡ παρ᾽ Ἀπόλλωνος εἰσεφέρετο χάρις. διὸ τελευτᾷν μὲν μοῖραι κατέγνωσαν· Ἀπόλλων δὲ μετετίθει τὴν κρίσιν· οἶδα τοίνυν, ὅτι πρὸς μὲν ταῦτα οὐδὲν ἀντεροῦσιν ποιηταῖς, ἐλεῖν δὲ τὴν ποίησιν ἐνθένδε βουλόμενοι τὸ τῆς πεπρωμένης θρυλοῦσιν ἀκίνητον, ὡς οἷαι τὰ πρῶτα γεγόνασι μοῖραι, τοιαῦτα φέρουσι μένουσαι· ἐγὼ δὲ, εἰ μὲν θνητὸς ἦν ὁ τὰς μοίρας κινῶν, ἀκίνητον, οἶμαι, συνωμολόγουν [3] τὸν νόμον· εἰ δὲ ἐκίνει ταύτας θεὸς ὁ μοίρας κύριος, καὶ τὸν τούτων ἐκίνησε νόμον· ὥστε πῶς ἀδυνατῶν ὑπῆρχεν ὁ Πύθιος, πεπρωμένον ἀπελθεῖν Ἄδμητον, τῆς τελευτῆς ἐξελέσθαι· ἐγὼ δὲ οὐ παράλογόν τι πεφιλοσοφημένον ὁρῶ περὶ τῆς ποιήσεως· εἰ μὲν γὰρ ἅπαξ Ἄδμητον, ἐξεῖλε τῆς τελευτῆς, ἕτερον δὲ μὴ παρεσκεύασε τελευτᾷν, ἐδόκει τε καινὸν εἰκότως καθάπαξ ἀναιρούμενος θάνατος· εἰ δὲ τελευτᾷν ὁντινοῦν συγκεχώρηκεν, ὁ μοιρῶν ἐσώζετο νόμος τεθνεῶτος ἑνός· κἂν ἐφ᾽ ἑτέρου παρέβη τὸν νόμον, χρόνος τελευτῆς ἄχαρις ἀναβαλλόμενος, καὶ μοῖραι τὸν οἰκεῖον πεπράχασι νόμον τελευτὴν κομισάμεναι· τί δὲ ἄλογον ἦν πατέρα πρεσβύτην καὶ γεγηρακυῖαν μητέρα κατοκνῆσαι τὸν θάνατον· μᾶλλον τῶν νέων οἱ πρεσβύται [4] φιλόψυχοι, καὶ τελευτὴν ὀκνοῦσι πλησιάζουσαν, καὶ πλέον ὅσον ἐλπίζουσι στέρεσθαι,

2 Cod. Ἀπόλλωνος. 3 Cod. συνομολόγουν. 4 τῶν νέων post πρεσβύται repetit cod.

Digitized by Google

τοσοῦτο τοῦ βίου μᾶλλον ἀντιλαμβάνονται, τὸ γὰρ ἐν ἐλπίδι στερήσεώς ἐστι ποθεινότερον. εἰ δὲ τελευτᾷν Ἄλκηστις ἤθελε, γυναικὸς οἶμαι σωφρονεῖν ἐπισταμένης ἡ γνώμη· χηρεία γὰρ γυναικὶ σώφρονι τελευτῆς λυπηροτέρα, ὅθεν ἠγάπα τελευτᾷν Ἄλκηστις, ἢ τοῦ συνόντος διΐστασθαι· περιοῦσα μὲν γὰρ τελευτῶντος ἀνδρὸς συναφῃρεῖτο μετὰ τοῦ συνοικοῦντος τὴν τύχην, καὶ μία τῶν πολλῶν ἔμενεν Ἀδμήτου πεσόντος, καὶ τὴν αὐτὴν γάμου καὶ δυναστείας ὑπέμενε στέρησιν, ὅθεν προτιμᾶται βίου θάνατον, τὸ μηδὲν τῶν δεινῶν ἐπαισθάνεσθαι τοῦ δυσχεραίνειν ἐπὶ πάντα προκρίνασα.

11. *Κατασκευὴ ὅτι εἰκότα τὰ κατὰ Ἀμαζόνας.*

Ἔρως καὶ πόλεμος ἐπαινεῖν με παρασκευάζει τοὺς ποιητάς, ὅ τε γὰρ ἔρως τῆς τῶν ἀνθρώπων προέρχεται φύσεως, ὅ τε πόλεμος τῶν ἀνθρωπίνων πραγμάτων ἐπιστατεῖ, δι' ὧν νῦν ποηταὶ τὴν κοινὴν ἀνθρώπων ἐφιλοσόφησαν φύσιν, ἔρωτας ἀνθρώποις φιλοσοφοῦντες καὶ πόλεμον, καὶ τὰ σύντροφα πάθη τῆς φύσεως τὴν κοινὴν φαίνονται φιλοσοφήσαντες φύσιν. καὶ πολλὰ μὲν ἄν τις θαυμάσῃ τῶν ποιητῶν, μάλιστα δὲ ἃ φιλοσοφοῦσιν εἰς Πενθεσίλειαν. Ἀμαζόνες, φασὶν, ἐπὶ Τροίαν ἐστράτευσαν· τί τοῦτο πρὸς θεῶν ἄλογον; οὐ πάντα γένη παρὰ Τροίαν ἐτάχθησαν, οὐ Μαίονες, [1] οὐ Κᾶρες, οὐ Φρύγες; οὐχ ὅσα τὴν Ἀσίαν κατῴκισε καὶ Τροίαν; εἰ δ' ἐχομένη ἦν τῆς Ἀσίας Ἀμαζόνων ἡ γένεσις, ἐξ ὧν ἅπαντες τὴν τῆς Ἀσίας ᾠκήκασι [2] γῆν, κοινὴν ἅπαντες τὴν ὑπὲρ Ἀσίας ἐποιήσαντο μάχην. καὶ γεγονυῖαι τῆς Ἀθηνᾶς Ἀμαζόνες Ἄρεος παῖδες ἐδόκουν, καὶ μάλα δικαίως· ὥσπερ γὰρ Ἄρης τῶν πολέμων ἐπιστατεῖ, οὕτως αἱ κόραι τὴν τοῦ τεκόντος μεμελετήκασι τέχνην, καὶ τὸ συγγενὲς τῇ κοι-

1 Cod. μῆονες. 2 Cod. οἰκήσασι.

νωνίᾳ τῶν ἔργων ὑπέδειξαν· ἦσαν Ἄρεος, ὅτι τὴν τέχνην ἐπήσκησαν Ἄρεος· αἱ πράξεις τοῦ γένους ἦσαν βεβαίωσις, ἐδείκνυον ὅθεν γεγόνασιν, ἀφ' ὧν κατειργάζοντο, ὥστε εἰ μηδεὶς ὑπῆρχε τῶν ποιητῶν Ἄρεος Ἀμαζόνας εἶναι φιλοσοφῶν, πρός γε τὴν τόλμην ἀποβλέψας ἐκ τῶν πραχθέντων καὶ τὸ γένος ὡρίζετο· καὶ γεγονυῖαι τοῦ Ἄρεος Τρωσὶν ἐπεκούρησαν, ὧν γὰρ ὁ πατὴρ ἐτύγχανε σύμμαχος, τούτων αἱ κόραι σύμμαχοι καθεστήκασι· καὶ ἔνθα πολέμων ὑπῆρξεν ἅπαξ ἀγών, παρεῦσαι τὴν γνώμην ἐδείκνυον, ἀφικόμεναι δὲ παρὰ τὴν Τροίαν ὡς Ἄρεος, ὡς μαχόμεναι περὶ τὴν Τροίαν πεπτώκασιν· ὥσπερ γὰρ ἡ φύσις ἐποίει τὰς πράξεις, αἱ πράξεις τελευτὴν ὑφεστήκασιν· εἰ μὲν γὰρ ὅσαι θεῶν ὑπῆρχον θεοί, καινὸν Ἀμαζόνες πάθος πεπόνθασιν, Ἄρεος οὖσαι καὶ παρὰ τὸν πόλεμον πίπτουσαι. εἰ δὲ πάντες ὅσοι θεῶν ἐπὶ Τροίαν ἐστράτευσαν τελευτὴν ὑφεστήκασι, τὸ κοινῇ γεγονὸς συμβὰν ἐπὶ τῶν Ἀμαζόνων οὐκ ἄλογον· τὸ γὰρ ἐν πολλοῖς γεγονὸς ἐν ὀλίγοις πιστότερον· οὐ γὰρ ὅτι προῆλθον Ἄρεος, ἄπιστον αὐτὰς ἐν μάχῃ πεσεῖν, ἀλλ' ὅτι Ζεὺς Ἄρεος ἦν δυνατώτερος, οὐχὶ Διὸς ἀπολλύμεναι, τοῦτο πιστοτέρας ποιοῦσι τὰς φανείσας ἐξ Ἄρεος. ἦλω Σαρπηδὼν ὁ υἱὸς Διός. Ἀσκάλαφος Ἄρεος πέπτωκεν, ὁ Ποσειδῶνος ἀνῄρηται Κύκνος· Ἀχιλλεὺς καὶ Διὸς καὶ Θέτιδος· εἰ πάντες οἱ θεῶν ἐπὶ Τροίαν ἀνῄρηνται, πῶς οὐκ εἰκὸς Ἀμαζόνας πεσεῖν, καὶ βεβαιῶσαι τὸ γένος καὶ θανάτῳ καὶ πράξεσι· κειμένης δὲ Πενθεσιλείας τελευτῇ μὲν ἐδήλουτο τὸ θνητὸν τῆς φύσεως, ἔρωτι δὲ τῆς γυναικείας γονῆς τὰ γνωρίσματα· ἐπειδὴ γὰρ τὴν φύσιν ἀγωνιζομένη παρήλλαξε, ποθουμένη ταύτην ἐδήλωσεν· ἦν τοῖς ὅπλοις ἀνῄρηκε τῷ πόθῳ τετέλεκεν· ἀνὴρ ὁπλιζομένη νομίζεται, γυνὴ διὰ πόθον ἐλέγχεται, τὸ μὲν γὰρ πεσεῖν οὐκ ἐδήλου γυναῖκα· τῷ δὲ παθεῖν ἐπεδείκνυτο, καὶ διπλῆν ἐβεβαίου φύσιν Πενθεσίλεια πίπτουσα, θνητὴν μὲν

οἷς ἀνηλίσκετο, γυναικείαν δὲ, οἷς ἐρᾷν παρεσκεύασεν· εἰ δὲ κειμένων οὐ γίνεται πόθος, οὐδὲ καθοπλιζομένων φαίνεται κάλλος, ὧν δὲ τὸ κάλλος συγκρύπτεται, πόθος ἀνήρηται· καὶ σκυλευομένην ἰδὼν Ἀχιλλεὺς εἰς ἀνάμνησιν ἦλθε καὶ πόθου καὶ φύσεως· ἑκατέρῳ γένει τὸ προσῆκον ἐτήρησεν, ἀνδρὶ δοκοῦντι τὴν μάχην, γυναικὶ φαινομένῃ τὸν πόθον· ἥρα γυναικὸς, ἣν ὡς ἄνδρα μαχόμενον ἔκτεινεν· ἀνθ' ὧν σύνεστι φιλοσοφοῦσι πείθεσθαι ποιηταῖς, καὶ θαυμάσαι τὸ μέτρον, οἷς ἐφ' ἑκάστῳ τὴν προσήκουσαν τετήρηκε φύσιν.

12. Κατασκευὴ ὅτι εἰκότα τὰ κατὰ Ὀρέστην.

Ἐπὶ παντὶ ποιηταὶ θαυμαζόμενοι, θαυμάσαι μᾶλλον ἐπ' Ὀρέστην δεδράκασι· τὸ γὰρ ἀνδροφόνους μητέρας ἐκ παίδων ἀγαθῶν διαφθείρεσθαι πῶς οὐ τοῦ θαυμάζεσθαι παρ' ὅλον βίον παρέχει τὴν πίστιν; οἷα γάρ τινες φιλοσοφησάντων ἠπίστησαν, ἐπειδὴ Τροίας Ἀγαμέμνων ἐπανελθὼν πέπτωκε, τί τοῦτο πρὸς θεῶν ἄπιστον; οὐχ οἱ πλεῖστοι μετὰ Τροίαν ἠτύχησαν; οὐδ' Ὀδυσσεὺς ὅλην πεπλάνηται γῆν; οὐ Διομήδης ἐν Ἄργει πρὸς τῆς συνοικούσης ἐπανελθὼν δεδυστύχηκεν; οὐκ Αἴας ἀνήρηται παρὰ τὴν Θάλατταν; εἰ δὴ τῶν Ἑλλήνων πολλοὶ μετὰ Τροίαν δεδυστυχήκασι, τῆς ἴσης Ἀγαμέμνων μετελάμβανε τύχης, εἰ δὲ πρὸς τῆς οἰκείας γυναικὸς διεφθείρετο, καὶ τοῦτο Λακωνικόν· ὡς γὰρ Ἑλένη[1] Μενέλαον ἔλιπεν, ἀναιρεῖ Κλυτημναίστρα τὸν Ἀγαμέμνονα· καὶ πεσόντος ἐπὶ Μυκηνῶν Ἀγαμέμνονος, ὁ παῖς ἀντανεῖλε τὴν κτείνασαν· τοιοῦτοι γὰρ, ὅσοι τῶν παίδων ἀρετὴν ἐπησκήκασιν, ἀναιρουμένοις πατράσιν ἀμύνουσιν· ἀναιρῶν δὲ ὁ παῖς ἐκ τῶν Ἐριννύων ἠλαύνετο· καὶ μάλα δικαίως· ὥσπερ γὰρ ὁ πατὴρ ἀναιρούμενος δίκην ὑπέχειν

1 Cod. Ἑλένην.

ἀναγκάζει τὴν κτείνασαν, οὕτως ὁ μητέρα διεφθαρκὼς λόγον ὧν ἔκτεινε δέδωκε· καὶ φύσις ὑπ᾽ ἀμφοτέρων ἠδίκηται· διὸ τὸ πάθος ἐπ᾽ ἀμφοτέρων κολάζεται, καὶ μανεὶς μετὰ φόνον ὁ παῖς ἐν ταῖς Ἀθήναις τῶν μανιῶν ἀπαλλάττεται· πρέπον γὰρ ἦν τῷ θεῷ χρησμοδοτοῦντι πειθόμενον ἐκ θεῶν ἐλαυνόμενον σώζεσθαι· ταῦτα καὶ τὰ τοιαῦτα καὶ λέγειν ἔδει τοὺς ποιητὰς καὶ εἰποῦσι κόσμον προστίθεσθαι.

Cap. VII.

1. Κοινὸς τόπος κατὰ προδότου[1].

Τοῦτον ὑφ᾽ ἡμῖν γενέσθαι τήμερον, ἀλλὰ μὴ ὑπὸ τοῖς πολεμίοις ἡμῶν ἡ θεῶν εὔνοια δέδωκε· δεῖ δὲ ἀμφοτέροις τὸ προσῆκον ἐκτίσαι· θεοῖς μὲν εἰδέναι τοῦ σωθῆναι χάριν, τοῦτον[2] δὲ ὧν ἥμαρτεν εἰσπράξασθαι δίκην· εἰ μὲν οὖν ἔμελλε τὸ παρὸν διαφυγὼν φιλόπολις ἔσεσθαι, τυχὸν ἄν τις ἐκ τῶν δευτέρων ἀφῆκε τὸ φθάσαν· εἰ δὲ τὸ παρὸν ἀποδρὰς, οἷον ὑμεῖς ἴστε, γινώσκετε, ποῦ δίκαιον προδοσίας ἀρχὴν τὴν τοῦ παρόντος καταστῆναι συγγνώμην· οἱ μὲν οὖν ἄλλοι πάντες, ὅσοι δικάζειν εἰλήφασι, κἂν τὴν παροῦσαν ἀναβάλωνται κόλασιν, ἑστῶσαν ἔτι τὴν πόλιν εὑρήσουσιν· προδότης δὲ ἀφεθεὶς, οὐκέτ᾽ εἶναι παρασκευάσας τὴν πόλιν, ὥστε λύσετε[3] μετὰ τὴν πόλιν καὶ τὰ δικαστήρια, καὶ τὰ λοιπὰ τῆς πολιτείας, εἰ τοῦτον ἀφήσετε· δοκεῖτε δέ μοι κάλλιον πο-

---

1 Idem thema tractavit Libanius: et ita quidem primi versus in utroque consentiunt, ut Nicolao nostro Libanii declamatio ante oculos fuisse videatur, quae ita incipit: Τὸ τοῦτον ἐφ᾽ ἡμῖν εἶναι τήμερον, ἀλλὰ μὴ τοὺς πολεμίους δεσπότας, παρὰ τὴν τῶν θεῶν εὔνοιαν ὑπῆρξε· δεῖ δὲ ὑμᾶς, εἴπερ εὐφρονεῖτε, τοῖς μὲν ὧν ἐκώλυσαν εἰδέναι χάριν, τὸν δὲ ὧν ἐπεχείρησεν ἀπαιτῆσαι δίκην. 2 Cod. τούτων. 5 Cod. λύσεται.

Digitized by Google

λὺ περὶ τῆς τοῦ παρόντος προδοσίας σκοπεῖν, εἰ τὰς ἁπάντων ἀνθρώπων λογίσεσθε γνώμας· ἅπαντες ἄνθρωποι περὶ πλείστου τὰς ἑαυτῶν ποιοῦνται πατρίδας, καὶ μάλα εἰκότως· ἑστώσης γὰρ πόλεως θεραπεύονται μὲν παρὰ τὰ τεμένη θεοὶ, ἐργάζονται δὲ γῆν οἱ ταύτης λαχόντες, καὶ νεὼς ἐπιβαίνουσιν οἱ περὶ ταύτας ἀπεργαζόμενοι· καὶ πολιτεία καὶ νόμοι καὶ ὧν ἄνευ ζῆν τοῖς ἀνθρώποις οὐκ ἄξιον ἑστηκυίας πατρίδος περιέσται, ὧν ὀλιγωρήσας ὁ καλὸς κἀγαθὸς οὗτος βεβούλευται βούλευμα χείριστον, ὅλην πρυέσθαι τοῖς πολεμίοις τὴν πόλιν, καὶ τοιάσδε πρὸς αὐτοὺς ἠφίει φωνάς· τί δὲ ὑμῖν ἄνθρωποι πολέμου δεήσει καὶ μάχης, δώσει πολιτῶν εἷς εὐνοῶν, ὃ μὴ πολὺς εἰργάσατο χρόνος ὑμῖν, καὶ ταῦτα πρὸς ἐκείνους εἰπὼν οὐδὲν τῶν παρ' ἡμῖν συνεχώρει ἀπορρήτων λαθεῖν, καὶ προήγγελε μέν, οὐ διέφθειρε δέ. θεῶν γὰρ κατεκώλυσεν εὔνοια· μὴ δὴ τοῦτο σώσῃ τουτονὶ τὴν τήμερον, εἰ μηδὲν ὧν ἠρεῖτο ποιεῖν, ἀφῖκται τελεῖν, ἀλλὰ τοῖς θεοῖς χάριν ὀφείλειν, εἰ τὰ τούτου πάντα καταστήσαιμεν ἄπρακτα· δεινὸν ἱερόσυλος, ἀλλὰ προδότου κατα- δεέστερον· ἱερόσυλος μὲν γὰρ μόνους ἀδικεῖν οἶδε θεούς· προδότης δὲ κοινὰ διαφθείρει τὰ γένη καὶ θνητῶν καὶ θεῶν· ὅσῳ δὴ τὸ πάντας ποιεῖν τοῦ λυπεῖν ἐν βραχεῖ καθέστηκε μεῖζον, τοσοῦτον προδότης ἱεροσύλου δεινότερον· καί τοι μόνοις τοῖς προδιδοῦσιν ἀκούσιον οὐκ ἔστι τὴν προδοσίαν προστήσασθαι· τὸ μὲν γὰρ ἀνελεῖν τυχὸν ἂν τὴν τοῦ πράξαντος διαφεύξεται γνώμην· τὸ δὲ προδιδόναι βουλευσάμενον ἔχει πρῶτον τὸν ἀδικήσαντα· δεῖ τοίνυν πρὸ τῶν ἔργων καὶ γνώμης δίκην ὑποσχεῖν ἐν ὑμῖν· εἰ μὲν γὰρ κωλυόμενος τῆς προδοσίας ἕτερον μηδὲν ἐπεπράχει, δεινὸν [4] μέτριόν τι τὸ προδοῦναι παρ' ἡμῖν ἐνομί-

4 δεινὸν μέτριον calamitas modica. Neutrum adiectivi pro substantivo positum praedicatum adsciscit Eurip. Iph. A. 333.

Digitized by Google

ἐνομίζετο· νῦν δὲ τοσοῦτον τῆς προδοσίας προεξειργάσατο πρότερον, ὡς μικρὰν ἐν αὐτοῖς τὴν προδοσίαν εἶναι δοκεῖν· τίς οὖν ἔτι τοῦτον προεξαιτήσει κρινόμενον; νὴ Δία πατὴρ καὶ πρὸς τούτοις ἡ μήτηρ· ἀλλ᾽ ὅταν οὗτος γονέας παραστησάμενος κλαύσηται, τοὺς ἡμετέρους ὑμεῖς πατέρας λογίσεσθε προδιδομένης τῆς πόλεως, οἷα παρ᾽ ἡμῖν ἔμελλον ποιεῖσθαι, καὶ γενέσθω γονέων ὑβριζομένων ἀνάμνησις ἡ τοῦ προδότου παραγωγή· καί τοι εἰ νόμος τοὺς εὐνοοῦντας τῇ πατρίδι τιμᾶν, τοὺς προδιδόντας κολάζεσθαι[5] λείπεται· δίκαιον δὲ τοσαύτην αὐτὸν ὑποστῆναι τὴν βλάβην, ὁπόσην ἠδίκησε· λυσιτελήσει δὲ προδότης πεσών· πολλοὺς γὰρ εὐνοεῖν παρασκευάσει[6] πολίτας, ῥᾷον δὲ τὸ δίκην ὑπέχειν· ἂν γὰρ ἐξενέγκητε μόνην τὴν ψῆφον, ἔχω προδότου δίκην.

2. Κοινὸς τόπος κατὰ ἀργοῦ.

Ἄχθεται μὲν ὁ μιαρὸς καὶ ὥσπερ ἀπολλύναι τι νομίζων ἔστηκεν, οὐχ οἷς εὐλαβεῖται τὴν δίκην, ἀλλ᾽ οἷς πονεῖν ἀναγκάζεται καὶ λόγον ἀφιέναι περὶ αὐτῆς· δεῖ δὲ ὥσπερ ἄγος τι τὸν παρόντα νομίσαντας ἐξελάσαι τῆς πόλεως, ὡς ἔστι δέον, μὴ κοινὴν ἀπραξίαν ἡ τοῦ παρόντος ἀργία προστρίψηται[1]. Εἰ μὲν οὖν νοσῶν τι τοῦ σώματος, ἢ τὴν χεῖρα κατεαγὼς ἢ πεπηρωμένος τὸ σκέλος ἐπὶ τοῦτο, ὃ νοσεῖ, προελήλυθε, τυχὸν ἄν τις αὐτὸν ἀφῆκε τῆς κρίσεως· ἐπεὶ δὲ τὰ ἄλλα λαβὼν ἐκ τῆς φύσεως οὐδενὶ τούτων εἰς δέον ἐχρήσατο, εἰ μηδὲν ἄλλο, δί-

πονηρὸν γλῶσσ᾽ ἐπίφθονον σοφή. 560. ὁ δ᾽ ὀρθὸς ἐσθλὸν σαφὲς αἰεί. Pind. Ol. I. 99. Diss. τὸ δ᾽ ἀεὶ παράμερσον ἑσλὸν ὕπατον ἔρχεται παντὶ βροτῷ. XII. 12. ἑσλὸν βαθύ. Bion Borysten ap. Diog. Laërt. IV. 51. τὴν δυσγένειαν πονηρὸν ἔλεγεν εἶναι σύνοικον τῇ παῤῥησίᾳ. Aristot. Rhet. init. τὸ ἴδιον ἡδὺ ἢ λυπηρόν.

5 Cod. κολάζεται. 6 Cod. παρασκευάσας.

1 Cod. προστρίψαιται.

κην ὑπέσχετο κριθεὶς, ὧν τὴν φύσιν προήκατο· δοκεῖτε δέ μοι πολὺ κάλλιον περὶ τῆς τοῦ παρόντος τιμωρίας σκοπεῖν, εἰ τὸν ἁπάντων ἀνθρώπων ἐξετάσετε βίον· ἅπας ὁ τῶν ἀνθρώπων βίος, ἓν γέ τι ποιοῦντες κατὰ τὴν ἀγορὰν περιέρχονται, ὁ μὲν ἐργάζεται γῆν, ὁ δὲ ἐπιβαίνει νεώς· ἐκκλησιάζουσιν ἕτεροι, νόμους εἰσφέρουσι πλείονες, καὶ ὅλως οὐκ ἔστιν, ᾧ τὸ πονεῖν οὐ βίου γίνεται σύνθημα· καὶ τί δεῖ[2] τοὺς ἀνθρώπους ἐρεῖν· ἀλλ᾽ οἱ θεοὶ πῶς περὶ ταῦτα διάκεινται; πονεῖν ἐφ᾽ ἅπαντα παιδεύουσιν, καὶ τοσοῦτον αὐτοῖς τοῦ πόνου περίεστιν, ὡς ὄνομα αὐτοῖς καταστῆναι τὸν πόνον· οἷς γὰρ περιθέουσιν ἅπαντα καὶ θεοὶ προσερρήθησαν, καὶ κοινῇ μὲν θεοὶ τιμῶσι τοὺς πόνους, ἰδίᾳ δὲ ἁπάντων κάλλιστος ἥλιος, ὅσον πονεῖ μὲν περινοστήσας τὴν γῆν, πόνου δὲ φανεὶς τοῖς ἀνθρώποις γίνεται σύνθημα, ὧν ὁ παρὼν οὐδὲν ἐνθυμούμενος περὶ πάντας κάκιστον ἐβουλεύσατο βούλευμα, εἰς κοινὴν ἀπραξίαν καταστῆσαι τὴν πόλιν· δημηγορεῖν μὲν ἐπ᾽ ἐκκλησίας μὴ βουληθεὶς, ὅπλα δὲ περὶ πατρίδος μὴ θέμενος· εἶτα τίς αὐτὸν κλέπτῃ παραβάλλει; ἀλλ᾽ ὁ μὲν σὺν πόνῳ λυπεῖ, κἂν ἐφ᾽ ἕτερα μεταβάλλῃς τοῦ κλέπτου τὸν πόνον, ἐπαινέσῃ τὸν τρόπον· ἀργὸς δὲ καθάπαξ προῆλθεν ἀνόνητος· ὅσῳ οὖν τὸ μηδὲν ἐθελῆσαι

2 Cod. δή. Permutatur in codicibus δεῖ et δή. Menand. p. 636. infr. καὶ ὅτι πολλῶν ἂν χρημάτων προτιμήσειας πυνθάνεσθαι δεῖ περὶ αὐτῶν τὰ βέλτιστα. Med. 2. δή. Jos. bell. Jud. I. 27. 2. εἰ δὲ δὴ καὶ λόγου μεταλάβοιεν, ῥᾳδίως Ἀλέξανδρον ἀπολύσεσθαι τὰς αἰτίας. Par. 1425. εἰ δὲ δεῖ. Synes. de provid. p. 89. ταύτην δὴ τὴν αὐτὴν ὁδὸν αὖθις ἀναῤῥιῆναι. Par. 138. et 139. Coislin. 249. δεῖ. Sopat. ζητήμ. p. 443. οὐ γὰρ δεῖ κατεφρονήσαμεν τῶν πατρῴων. lege: δὴ κατεφρόνησα μέν. Doxopat. Homil. in Aphth. c. I. οὐ γὰρ δὴ καὶ κατὰ τὸν αὐτὸν χρόνον — — τὰ τοιαῦτα δεσπόζεσθαι δυνατόν. Vind. δεῖ. Aristid. τέχν. A. pag. 448. Jebb. οὐ γὰρ δεῖ ἐκπιεῖν με αὐτὸ Καλλικλῆς ἀξιώσει. Par. δὴ per rasuram.

Digitized by Google

πονεῖν τοῦ σὺν πόνῳ λυπεῖν κατέστη δεινότερον, τοσοῦτον ἀργὸς χαλεπώτερος ἔσται τοῦ κλέπτοντος· εἰ μὲν οὖν ἄκων ἐς τόδε προῆλθε, τυχὸν ἂν τὸ πάθος ἐπὶ τὴν ἀνάγκην ἀνήγετο· εἰ δὲ ἑκὼν καὶ βουλόμενος ἄπρακτος ἦν, τὴν γνώμην παρεῖχε πρὸ τοῦ πάθους εὐθύνειν· ἐβουλεύσατο γὰρ, ὃ πεποίηκε, καίτοι τοῖς ἄλλοις ἅπασιν ἀνθρώποις τὸ παρὸν εὐθύνεται μόνον. τὸ δὲ φθάσαν[3] ἀφεῖται τῆς δίκης· μόνος δὲ ὁ παρὼν ἐφ' ἑκάτερα κρίνεται βίου, καὶ παρ' ἑκάτερα προῆλθεν ὑπεύθυνος· τίνες οὖν αὐτὸν ἐξαιτήσονται; νὴ Δία, παῖδες, τίνες; οὓς ὀκνῶν οὐκ ἐφύτευσεν· οὐδὲ γὰρ οἷς ἅπαντες ἄνθρωποι κατακηλοῦνται, ταῖς ἡδοναῖς, οὐδὲ πρὸς ταῦτα οὕτως ἐπῇρται[4], καίτοι εἰ νόμος τοὺς πονοῦντας τιμᾶν, τοὺς ἀπράκτους κολάζεσθαι λείπεται. Δίκαιον δὲ μὴ τὴν αὐτοῦ πρὸς αὐτὸν τιμήσασθαι γνώμην, μηδὲ καταστῆναι πρὸς τὴν κρίσιν ἀργοὺς, ὡς τὸν τρόπον αὐτός· λυσιτελήσει δὲ ἀργὸς ἀναιρούμενος· πολλοὺς γὰρ ἐν ἡμῖν ἐνεργοὺς ἀπεργάσεται· ῥᾷον δὲ τὴν τοῦ παρόντος ἐργάσασθαι δίκην· ψηφίσασθαι μόνον προσήκει καὶ κοινὴν ἀπραξίαν συνανελεῖν.

3. Κοινὸς τόπος κατὰ μοιχοῦ.

Ἄνδρες, οἱ[1] πατέρες μᾶλλον ἢ δικασταὶ προσαγορεύεσθαι σπεύδοντες, τὸ πατρὸς ὄνομα τοῖς λοιποῖς πολίταις βεβαιότερον κρίνατε· τὸ γὰρ τὸν παρόντα δίκην εἰσπράξασθαι, ὃς ἀμφισβητησίμους τοὺς κοινοὺς ἁπάντων εἰργάσατο παῖδας, πῶς οὐ βεβαίως ἡμᾶς πατέρας ἐργάζεται· εἰ μὲν οὖν ἐφ' ἑτέροις ὁ παρὼν ἐπλημμέλει, τὸ τολμώμενον ἂν ἦν μετριώτερον· ἐπεὶ δὲ τὸ παρὰ τούτου γινόμενον εἰς τὰ τῆς φύσεως ἀναγκαῖα κατείργασται, ποῦ προσήκει περιιδεῖν, ἐφ' οἷς τὰ γένη δι' αὐτῶν ἀμφιβάλλεται· δοκεῖτε δέ μοι μᾶλλον ἀγανακτήσειν, εἰ τὰς ἀ-

3 Cod. φθάσας. 4 Cod. ἐπῆρθαι. 1 Cod. ἦ.

Digitized by Google

πάντων ἀνθρώπων λογίσεσθε γνώμας. Ἅπαντες [2] ἄνθρωποι περὶ πλείστου ποιοῦνται τὰς συνοίκους τὰς ἑαυτῶν, γυναικὸς γὰρ ἀκεραίου συνούσης τίκτεται παῖς οὐχ ὑπάρχων ἀμφισβητήσιμος, καὶ καλεῖται πατὴρ κοινωνὸν οὐκ ἔχων τῆς κλήσεως ἕτερον· καὶ γυνὴ συνοικεῖ πρὸς ἕνα τὸν νοῦν ἀποβλέπουσα, καὶ προκινδυνεύειν ἐθέλουσιν ἄνθρωποι, παῖδας καὶ γυναῖκας αὐτῶν εἶναι νομίσαντες, καὶ τὰ καλῶς τῇ φύσει κείμενα διασπᾷν ἀλλήλων ὁ παρὼν ἐβουλεύσατο· καὶ τὴν ἑκάστου σύνοικον ὑποδὺς ἡδονῇ παρανόμῳ τῆς τοῦ συνοικοῦντος εὐνοίας μετέστησε, καὶ πάντα κατέστησεν ἄδηλα πονηρία μία, πατέρα παιδὶ καὶ παῖδα τῷ φύσαντι, καὶ τῷ λαχόντι κατὰ νόμον τὴν σύνοικον· ἀφαιρείσθω τοίνυν τὸν βίον οὗτος, ὡς αὐτὸς τὰ γένη καθέκαστον· δεινὸν ἀνδροφόνος, ἀλλὰ τοὺς παῖδας καταλείπει δόξαν τοῦ πίπτοντος, καὶ τελευτᾷ πατὴρ βιαιότερον, παισὶ βεβαίοις παραμυθούμενος θάνατον· μοιχὸς δὲ λυπεῖ συναμφότερον καὶ πατέρας καὶ παῖδας, τοὺς μὲν οὐκ εἶναι τῶν τεκόντων ἐῶν, τὴν εὔνοιαν δὲ μεταφέρων ἐφ' ἕτερα· ὅσῳ δὴ χαλεπώτερον ἄμφω λυπεῖν, ἢ πρὸς ἕνα ἀδικεῖν, τοσοῦτο μοιχὸς ἀνδροφόνου δεινότερος. Εἰ μὲν οἶν ἀνάγκη τὰς παρανόμους ἐτόλμα τῶν ἡδονῶν, ἧττον ἐδόκει τὸ παρανόμημα, νῦν δὲ βουλευσάμενος ὅσα λελύπηκε, τὴν παρανομίαν διπλασίαν πεποίηκε· καὶ μὴ εἰ μόνον ἐγεγόνει μοιχὸς, ἕτερον δὲ μηδὲν προηδίκει, τυχὸν ἄν τις αὐτὸν ἑνὸς ἀδικήματος ὀφείλειν ἔφη τὴν κρίσιν· νῦν δὲ τί δεῖ μόνης μοιχείας εἰσπράξασθαι δίκας τὸν ἕτερα πολλὰ παρ' αὐτὴν ἐργασάμενον; τὴν γὰρ πόλιν ἀποστερήσας τῶν παρ' αὐτῆς οὐδὲν ἐδόκει πρᾶξαι νεανικὸν, εἰ μὴ καὶ τῶν πολιτῶν τὰς συνοίκους ἀφέλοιτο· καὶ κατηγοροῦσιν ὡς ἕκαστοι μᾶλλον γυναικὸς ἢ χρημάτων στερούμενοι. Θαυμάζω τοίνυν, εἰ παῖδας οὗτος τολμήσει παράγειν, ὁ παῖδας εἶναι πατράσιν οὐ

2 Cod. ἅπαντα.

Digitized by Google

συγχωρῶν. οὐ γὰρ ᾧ λέγει, τίς ἐστιν ἄδικος, τούτῳ σωθήσεται, οὐδὲ οἷς ἑκὼν ἀδικεῖ, ταῦτα δεικνὺς ἀφεθήσεται· βεβαιοῖ τὰ μοιχοῦ παῖς τῷ τοιούτῳ συνηγορῶν, καίτοι εἰ νόμος τοὺς σωφρονοῦντας τιμᾶν, τοῖς ἀκολάστοις ἐξελαύνεσθαι λείπεται, δίκην δὲ μὴ μετρίαν ἐκτίνειν τῷ ἀδικεῖν οὐχ ἑλομένῳ μέτρια· λυσιτελήσει δὲ μοιχὸς ἀναιρούμενος, ἀκέραιοι γὰρ ἐνθένδε μένουσιν οἱ ὑμέναιοι.

4. Κοινὸς τόπος κατὰ πατραλοίου.

Ἄνδρες, οἱ πατέρες μᾶλλον ἢ δικασταὶ συνελέγητε, πεπαρωνημένην[1] τὴν κοινὴν διατηρήσατε φύσιν· εἰ γὰρ πατέρων μὲν προεληλύθαμεν ἅπαντες, πατέρες δὲ γενέσθαι σπουδάζομεν, ὁ νῦν ἀγὼν κοινός, οὐχ ἑνός· δεῖ δὲ καὶ τὴν ψῆφον ἡγεῖσθαι παντὸς, καὶ συναγωνιστὰς πάντας ἀνθρώπους τοῖς ἐμοῖς παρίστασθαι ῥήμασιν, ὡς οὐκ ἔστι τοῖς λοιποῖς πολιτεύεσθαι νόμοις, μὴ τοῦ πατραλοίου[2] πρῶτον τὰ δίκαια φέροντος. δοκεῖτε δέ μοι περὶ τυοῦ παρόντος πολὺ μᾶλλον ἀγανακτεῖν, εἰ τοὺς ἁπάντων ἀνθρώπων λογίσεσθε τρόπους, κἂν γὰρ εἶεν Ἕλληνες κἂν γενόμενοι[3] τύχωσι βάρβαροι, πρὸς ἕνα κοινὸν συνάπτονται νόμον, τὸ πατέρας τιμᾶν, καὶ διεστηκότες οἷς πολιτεύονται, συνάπτονται δι' ὧν πατέρων παράγονται, καὶ προέρχεται μὲν τὸ πρᾶγμα θεῶν, ἀνθρώπων δὲ καθίσταται κοινὸν, καὶ πᾶν εἴ τι γέγονε, πρὸς ὁμοίαν ἐκφέρεται τύχην, κἂν μὴ τὴν ἴσην κέκτηται φύσιν, καὶ πατέρες πάντες, κἂν μὴ πάντα προσόμοια· ὧν ὁ παρὼν μηδὲν ἐνθυμούμενος πάντα τὰ γένη παραδραμὼν ἐπὶ τὴν φύσιν νεανιεύεται, πρὸς οὐδὲν γένος τῶν ὄντων ὁρῶν, ἀλλ' ὥσπερ ἢ τὴν ἀρχὴν οὐ γενόμενος, ἢ ποιεῖν ἑτέρους οὐ προαιρούμενος, πρὸς μὲν τὴν φύσιν ἀγανακτεῖ τὴν πατέρας κομίσασαν, πρὸς δὲ τὸν νόμον παρανομεῖ τὸν πα-

1 Cod. πεπαροιημ. 2 Cod. πατέρων. 3 Cod. γενώμενοι.

τέρας τιμήσαντα, καὶ συνέστηκεν ἀποβλέπειν τολμῶν εἰς τοὺς κρίνοντας, ἐπιλελησμένος ἑκατέρας γονῆς, ἧς τε παρῆκται καὶ ἧς παράγειν ἑτέρους δυνήσεται, καὶ τὸ δόξαι πατὴρ ἀναιρεῖ, δι' ὧν τὸ γενόμενον ὕβρισε. δεινὸν ὁ φονεὺς, ἀλλ' εἰς ἑτέρους μιαιφονεῖ, πατραλοίας δὲ πρὸς τὸ συγγενὲς πειρᾶται νεανιεύεσθαι· ὅσῳ τοίνυν τὸ συγγενὲς ἀδικεῖν ἧττον μὴ προσῆκον λυπεῖν χαλεπώτερον, καὶ πληγὴ φόνου δεινοτέρα, ἂν εἰς προσῆκόν τι γένοιτο, τοσούτῳ πατραλοίας ἀνδροφόνου δεινότερος, καίτοι τὸ βούλευμα τῆς τόλμης ἐστὶν ἀδικώτερον· βουλευσάμενος γὰρ πάντα συγχεῖν τὰ τῆς φύσεως ἔπληξε, καὶ πληγῇ μιᾷ συγχεῖν ἅπασαν πειρᾶται τὴν φύσιν, καίτοι τοῖς ἄλλοις οὐχ ὁ βίος ἐφ' ἅπασι κρίνεται, πρὸς ἓν δὲ μόνον τὸ παρὸν ἐξετάζεται· πατραλοίας δὲ μόνος ἅπαντα συλλαβὼν παρῆλθε τὰ δυστυχήματα, τί γὰρ τῶν καταδεεστέρων οὐ πέπραχεν, ὅπου τὸ μεῖζον ἐτόλμησε· πατὴρ αἰκιζόμενος παντὸς ὑπῆρξεν ἀδικήματος ἔλεγχος· οὐκ εἰς θεοὺς ἱεροσυλίας χωρὶς, οὐκ εἰς πολίτας ἔξω μιάσματος ἔμεινεν ὁ πατρὶ[4] τολμῶν θράσος ἐπανατείνασθαι· παντὶ τοίνυν ὑπέσχετο τὴν κόλασιν ὁ πάντα δι' ἑνὸς παρελθὼν ἀδικήματος. ἀλλὰ νὴ Δία παῖδες παραστάντες αὐτὸν ἐξαιτήσονται, τίνες; οὓς πατέρα τύπτειν ἐδίδαξε; παῖδες δικάζοντες πείθουσι, κἂν μὴ πατέρων ὦσι κατήγοροι· τὸ παιδὸς ὄνομα τίμιον, ὅτι πατέρα φέρει συνεκφωνούμενον· πῶς ἐξαιτήσεται ὁ τὴν πατέρων διαφθείρων αἰδῶ. τὸν ἐπὶ τῶν πατέρων ἔλεον[5] οὐ κομίζεται· καίτοι εἰ νόμος τοὺς αἰσχυνομένους γονέας τιμᾶν, τοὺς παροινοῦντας ἀνελεῖν κατα-

4 Cod. πρίν. Vide de hac confusione ep. crit. p. 33. 5 Cod. ἔλαιον. idem vitium Hermog. Prog. VI. εἶτα ἐκβαλεῖς τὸν ἔλεον. Par. B. ἔλαιον. Arsenii Apophthegm. s. v. Phocion: Φωκίων ἔφη, οὔτε ἐξ ἱεροῦ βωμὸν, οὔτε ἐκ τῆς ἀνθρωπίνης φύσεως ἀφαιρετέον τὸν ἔλεον. Violeti codices Moscov. et Laurent. ἔλαιον. Aphthon. Prog. c. VII. ἔπειτα ἐλέου ἐκβολήν. Mon. 2 ἐλαίου.

Digitized by Google

λείπεται· δίκαιον δὲ παθεῖν αὐτὸν, ἃ πατέρας δράσας ὕβρισατο· συνοίσει δὲ πατραλοίας ἀναιρεθεὶς, ἑστήξεται γὰρ τῶν πατέρων ἡ φύσις· ῥᾷον δὲ δίκην ἐπαγαγεῖν, μόνη δὲ φύσις εἰς τὸ πάτριον ἀνοίσει τοὺς φύσαντας.

5. Ὑπὲρ ῥήτορος πρεσβευτοῦ.

Αὐτὸν μὲν, ὦ ἄνδρες πολῖται, τῆς αὐτῆς δωρεᾶς ἐδόκει καταστῆναι συνήγορον, καὶ περὶ τῆς αὐτῆς τέχνης τὴν οἰκείαν εἰσενέγκασθαι χάριν· ἐπεὶ δὲ καὶ τοῦτο τῶν εὐεργετημάτων παρέχεται σύμβολον, τὸ δοκεῖν μηδὲν ἐποφείλεσθαι, τὴν δὲ πόλιν αὐτὴν δωρεὰν οἴεσθαι φέρεσθαι, παρῆλθε τὴν αὐτοῦ πρὸς ἡμᾶς ὑποκρινόμενος τέχνην· καὶ γὰρ ἄλογον αὐτὸν μὲν ὑπὲρ ὅλης πρὸς πολεμίους φθέγγεσθαι πόλεως, ὑμᾶς δὲ βραχύ τι τῆς αὐτοῦ μὴ ζηλῶσαι δυνάμεως· ἅπαντας μὲν οὖν ἔδει πολίτας μιμητὰς τῆς ἐμῆς καταστῆναι φωνῆς καὶ δημηγορεῖν ἅπαντας, ὡς ἅπαντες κινδύνων ὑπεξῃρέθησαν· ἐπεὶ δὲ τὴν ἐμὴν διάνοιαν ἅπαντες καὶ τὴν ἑνὸς φωνὴν ὅλης νομίζετε πόλεως, τὴν μὲν φιλοτιμίαν ἡμετέραν ἡγοῦμαι τῆς χάριτος, τὸ δὲ λέγειν ὑπὲρ ἁπάντων ἐμόν· δοκεῖτε δέ μοι κάλλιον περὶ τῆς τοῦ παρόντος δωρεᾶς ἐννοεῖν, εἰ τοὺς πονηροὺς τῶν ῥητόρων λογίσεσθε· πονηροὶ ῥήτορες ἁπτόμενοι βήματος, ὅλην ἐξαπατᾷν εἰώθασι πόλιν, καὶ μεταποιοῦσι τῶν νόμων τὴν οὐσίαν, ἐφ' ὅσον δεινότητος ἔχουσι, καὶ τὴν τῶν νόμων μετατιθέντες διάνοιαν, κἂν δημηγορῶσι τὰ φαυλότατα, τὸν δῆμον πείθουσι, κἂν συνηγορῶσιν ἐν δικαίοις, ἀντὶ τῶν δικαίων ἄδικα φθέγγονται; κἂν οἷα τῷ νῦν ἐγκατασκέψοι τις πόλεμος, πρὸς ἀργύριον πρεσβεύοντες φθέγγονται, καὶ παντὶ πονηρῷ ῥήτορι τὰ τῆς τέχνης εἰς κέρδος. ὧν ὁ παρὼν μηδὲν λογισάμενος, ἐφ' οἷς ῥητόρων δεινότης θαυμάζεται, πρὸς τὸν παρόντα δέδειχε πόλεμον· εἶτα τίς αὐτῷ παραβάλλει στρατηγὸν ἀριστεύσαντα; ἀλλ' ὁ μὲν στρατηγὸς βιά-

ζεται μᾶλλον ἢ πέπεικε· τὸ δὲ βιασθὲν αὖθις ἀνταγωνίζεται καιροῦ προστυγχάνοντος· ὅσῳ δὲ τὸ πεῖσαι βεβαίως τοῦ βιάσασθαι σφαλερῶς ἄμεινον, τοσούτῳ στρατηγοῦ τινος ἀριστεύσαντος ῥήτωρ πρεσβεύσας ἀμείνων καθίσταται· καίτοι τοῖς νικῶσι τῶν στρατηγῶν τύχαι τὰς νίκας ἐργάζονται· τοῖς δὲ πεπεικόσι τῶν πρεσβευτῶν αἱ γνῶμαι μᾶλλον ἀντὶ τῆς τύχης φιλοτιμοῦνται τὰς τύχας. καί μοι δοκεῖ μὴ νῦν μόνον ὁ παρὼν πρεσβεύσασθαι κάλλιστος, πολλάκις δὲ καὶ τὸν πρὸ τοῦ χρόνον πεποιηκέναι τὰ παραπλήσια, νόμους τιθεὶς, δημηγορῶν ἐν κοινῷ, πονηροὺς ἐξελέγχων, φιλοτιμούμενος τοῖς ἀριστεῦσι τὸν στέφανον, καὶ μετὰ δῆμον καὶ γένη καὶ πόλιν ἐν πολεμίοις εὐδοκιμεῖ πρεσβευόμενος· τὸν οὖν ἐπ' ἀμφοῖν θαυμαζόμενον καὶ πολεμίοις καὶ πολίταις, τοῦτον δίκαιον ἀμφοτέρας κομίζεσθαι χάριτας· δοκεῖτε δέ μοι πλέον ἐπαρθῆναι πρὸς δωρεὰς, εἰ τὰ τῶν παρεστηκότων πολιτῶν λογίσεσθε γένη· παῖδες ἑστᾶσιν ἀνταιτοῦντες τὰς χάριτας· ἀντὶ δουλείας ἐλευθερίαν ἱκετεύουσαν ἔχοντες· γυναῖκες ὁμοῦ συνεπαίρουσι χηρείαν δι' αὐτῶν οὐ δακρύουσαι, πολιὰ συμπαρέστηκε γῆρας οὐκ ἔχουσα δι' αὐτὸν δακρυόμενον· καίτοι εἰ νόμος τοὺς προδιδόντας τῶν ῥητόρων κολάζεσθαι, τοὺς σεσωκότας τιμᾶν περιλείπεται· δίκαιον δὲ τοσαύτης αὐτὸν τυχεῖν ἀμοιβῆς, ὁπόσην εἰργάσατο· λυσιτελήσει δὲ ῥήτωρ πρεσβευτὴς τιμηθεὶς, πολλοὺς γὰρ εὖ ποιεῖν παρασκευάσει[1] τὴν πόλιν, ῥᾷον δὲ τῷ παρόντι τὴν ἀμοιβὴν εἰσενέγκασθαι· οὐ γὰρ ὥσπερ αὐτῷ πόνων ἐδέησεν, ὥστε πεῖσαι πολέμιον, οὕτω καὶ ἡμῖν τοῖς κρίνουσι πόνων δεήσει, τιμᾶν τὸν πρεσβεύοντα, μόνον γὰρ ἐρεῖτε, καὶ πρεσβευτὴς τιμηθήσεται.

1 Cod. παρασκευάσαι.

Digitized by Google

Cap. VIII.

1. Ἐγκώμιον μηλέας καὶ φοίνικος.

Ἐπαινέσαι φυτὰ προαιρούμενος, ἃ προῆλθε θεῶν, οὐκ οἶδα μᾶλλον ὅ τι θαυμάσομαι, μηλέαν ἢ φοίνικα· προῆλθον μὲν γὰρ ἄμφω θεῶν, θεῶν δὲ τῶν ἴσων· ὅ τε γὰρ φοίνιξ προῆλθεν Ἀπόλλωνος, τό τε αὖ μῆλον εἰς αὐτὸν ἀνενήνοχεν, ὥστε μίαν ἀμφοῖν λαβοῦσι τοῦ βίου τὴν γένεσιν ἴσος ἔπαινος ἐξ ἡμῶν ἐποφείλεται, καὶ γεγενημένα τοῦ καλλίστου [1] θεοῦ καλλίστοις χώροις ἐπίστανται φύεσθαι· τὰ μὲν γὰρ ἄλλα τῶν δένδρων ἢ φύειν οἶδε τοῖς ὄρεσιν ἢ προσοικεῖν τὴν θάλασσαν· μόνα δὲ τῶν ὄντων μηλέα καὶ φοίνιξ παρὰ τοῖς ἡμερωτέροις τῶν χωρίων εἴωθε φυέσθαι· καὶ τὸ ἥμερον τὴν τῶν χωρίων σημαίνει πραότητα· καὶ τὸ δὴ κάλλιστον φύσιν οὐκ οἶδε μὴ πονούσης τῆς τέχνης, ὥσπερ οὐκ ἀνεχόμενα φύεσθαι μὴ λαβόντα φύσιν καὶ τέχνην, καὶ τιμῶντα φύσιν καὶ πόνον διαιρεῖται ταῖς ὥραις εἰς βλάστην. ἡ μὲν γὰρ οἶδε προϊέναι τοῦ θέρους καὶ παρὰ τοῦ καλλίστου τῶν θεῶν προελήλυθεν ἔρωτος, καὶ δυεῖν ὡρῶν τῶν ἐπαινουμένων φανεῖσα τὰς μετ' ἐκείνας ἠγνόησε· χειμῶνα μὲν γὰρ ἀγνοεῖ καὶ μετόπωρον, ἃ τῶν ἀνθρώπων ἀνεῖλε τὰς πράξεις, καὶ τῆς μηλέας συνανεῖλε τὸ κάλλος· φοίνιξ δὲ τελευτῶν λήγειν οὐκ οἶδε τῆς βλάστης, πρὸς δὲ αὖ μίαν ἤνθησεν ὥραν, ἀλλ' ἔστι καὶ ταῖς ὥραις μονιμώτερος, καὶ μεταβαλλούσης τῆς ὥρας ἡ τύχη τὴν τοῦ φοίνικος οὐ μετέθηκε βλάστην· μηλέα τοίνυν καὶ φοίνιξ τιμῶσαν ἔσχε τὴν φύσιν ἑκατέραν· ὅ τε γὰρ φοίνιξ ὕψει πρόσεισι καὶ γῆς ἀνέχει τὰ μάλιστα, καὶ παρ' αὐτὸν, ὡς εἰπεῖν, ἐέναι σπεύδει τὸν οὐρανὸν, ὥσπερ οὐκ ἀνεχόμενος μένειν ἐν γῇ, καὶ τῆς γῆς γεγονὼς τόν

1 Cod. καλίστου et καλίστοις.

γε τοῦ βίου χρόνον παραπλήσιον ἔχει τῷ μεγέθει τοῖ σώματος. οὔκουν ἔστιν οὐδεὶς, ὅς θᾶττον οἶδεν ἀναιρούμενον φοίνικα, ἀλλ' οἶδε μόνον τῶν φυομένων μακροβιώτερον, κομιδῇ δὲ αὐτὸς προῆλθεν εἰς κάλλος, καὶ διαιρεῖ τῇδε κἀκεῖσε τὸ βλάστημα· καὶ ὃ τῶν δένδρων ἐπαινετώτερον, ὅτι τοῖς μὲν ἄλλοις προϊόντα πανταχῇ τὰ βλαστήματα σώματος εἶδος οὐ δίδωσιν ἴσον. μόνος δὲ φοινιξ κατ' εὐθὺ προϊὼν ἐπὶ τῆς κεφαλῆς διασώζει τὴν βλάστην, δυσὶ τοῖς ἐναντιωτάτοις καλοῖς κοσμηθεὶς, ἐπὶ μῆκος ἰὼν, ὡς ἀνέμῳ κλινόμενος, καὶ πρὸς τοῦτον ἀνθεστηκὼς ὡς μὴ πολύ τι τῆς γῆς ἐπαρθείς· ἡ δ' αὖ μηλέα βραχύ τι προελήλυθε καὶ μένει τοῖς ἐρῶσιν ἐγγὺς, καὶ γεγονυῖα ἔρωτος βλάστημα τοῖς ἐρῶσι χαρίζεται· καὶ τοὺς θεατὰς οὐκ ἀφαιρεῖται τὴν ὄψιν· καὶ κατέχει τὸ δένδρον ἡ φύσις ἐφ' ἑαυτῆς, ὥσπερ δείσασα, μή τις ἐμπεσὼν ἄνεμος διαφθείρῃ· [2] καὶ τὸ βλάστημα παντα-χόθεν ἀνίησιν, ὥσπερ γὰρ τοὺς ἐραστὰς ψυχαγωγοῦσι [3] διὰ παντός· ἀλλὰ μὴν οἱ καρποὶ παρ' ἑκατέροις οἷοι; φοίνικι μὲν γὰρ τὸ χρῶμα παντοδαποὶ, καὶ πρῶτόν εἰσι τοῦ τεκόντος ἐπώνυμοι, προϊόντες γὰρ ἐρυθραίνονται, καὶ παρ' αὐτῶν φοινισσόμενοι τὰ μὲν τῷ παντὶ βλαστήματι μένουσι, τὰ δὲ πρὸς ἤλεκτρον φέρονται, καὶ πάντα χρώματα τῷ κάλλει διέσωσαν· φοινίσσονται μὲν γὰρ ὡς εἰς ἄλλο τι μεταπίπτοντες· λευκαίνονται δὲ, ὡς ἑτέρας μὴ προσγενόμενοι· καὶ συμμεταβάλλει ταῖς ὥραις ἡ πρόσοψις· ὠχρὰ μὲν γὰρ ἔαρος εἴληφεν, εἶτα θέρους φοινίσσεται καὶ πρὸς ἀπόλαυσιν οὐκ ἀπέοικε μέλιτος, μηλέας δὲ τὸν καρπὸν διετήρησεν, ὅσον ἔρως ἐπόθησεν· ἆρα καὶ μόνα περὶ τούτων τῶν δένδρων ταῦτα ἔχω διεξελθεῖν, πολλὰ μὲν τοιαῦτα λέγων ἀποστερῶ τὰ λοιπὰ μὴ προσθείς· φοινιξ μὲν γὰρ παντὸς ἀγῶνος γίνεται

2 Cod. διαφθείρει. 3 Cod. ψυχαγωγοῦσαι.

Digitized by Google

στέφανος, καὶ τὸν θαλὸν ἔχει νίκης ὑπόμνημα, μηλέα δ' αὖθις στεφανοῖ ἀγῶνα τὸν Πύθιον, καὶ ἔτι πρὸς τούτοις ἑκάτερον τοῖς νοσοῦσιν ἐπικουρεῖ· τά τε γὰρ φοίνικος εἰς ἀπαλλαγὴν προῆλθε νοσήματος, ἅ τε μῆλον ἐργάζεται, λύσις καθίσταται πάθους· εἶτα τίς μηλέᾳ παραθήσει τὸν φοίνικα; ἀλλ' ὁ μὲν ἐπὶ κόμης ἐβλάστησε μόνης, ἡ δὲ διὰ παντὸς ἐξανθεῖ τοῦ βλαστήματος· ταῦτα μὲν μηλέα φέρει τὸ πλέον, ὁ φοινιξ δὲ πῶς εἰς τὴν τῆς μηλέας ἄνεισι τάξιν· ὁ μὲν εἰς ἅπασαν ἐκόμησεν[4] ὥραν, ἡ δὲ εἰς ἕνα καιρὸν μόνον ἐβλάστησεν· ἦν πολλὰ ἕτερα περὶ αὐτῶν διεξελθεῖν, ἀλλ' ἀφαιρεῖται τὸ πλῆθος ἑκάτερον. ἃ γὰρ περὶ ἑκάτερον λέγειν καθέστηκεν ἄπορον, ἀμφοτέρων ἐστὶν ἀπορώτερον.

2. Ἔγκωμιον ἔαρος.

Ὥρας ἐπαινέσαι ζητῶν οὐδὲν ἔαρος ἔμπροσθεν θήσομαι· πάσας γὰρ παρῆλθε τὰς ὥρας καὶ τῷ χρόνῳ φανὲν καὶ τῷ λόγῳ τιμώμενον. προῆλθε τοίνυν ἐκ χρόνου ἔαρ, καὶ χρόνος ὁ πάντα τεκὼν ἐπίσης ἔαρι κατεφάνη πατήρ· πάντα γὰρ προελήλυθεν ἔαρος, καὶ δι' ὧν ἅπαντα δι' αὐτοῦ φαίνεται τὸν χρόνον εἶναι πάντων πατέρα παρέσχεν· ἔμοιγε δοκεῖ τὰς μὲν ἄλλας ὥρας ἀγνοεῖν τοὺς θεούς, ἔαρ δὲ παρ' αὐτοῖς πολιτεύεσθαι μόνον. ὥστε εἴ τις ὥρα θεοῖς ἔαρ νομίζεται, καὶ τῶν ἐν θεοῖς δι' ἔαρος μετειλήφαμεν ἅπαντες· εἶτα χρόνῳ φανὲν ἡμερωτέρας τὰς πάντων ἐργάζεται φύσεις· ἀγριαίνει μὲν γὰρ πάντα πρὸ ἔαρος, ἐν ἔαρι δὲ πάντα καθάπαξ καθίσταται, ἔαρ τοίνυν ἐρώμενα πάντα φανὲν ἀπεργάζεται· κομᾷ μὲν γὰρ ἡ γῆ πᾶσι τοῖς ἄνθεσι, καὶ ποικίλη πᾶσι καταφαίνεται χρώμασιν· ἔπειτα θάλασσα σύνθημα τῆς ἐργασίας ἔχει τῆς παρ' αὐτὴν, καὶ τὸ πλεῖν ἐντεῦθεν ἀκίνδυνον· οὐρανὸς δὲ ὅλος τοῖς ἄστροις ἅπασι φαίνεται, ὥσπερ οὐκ ἀνεχομένης τῆς ὥρας οὐδὲν ἀ-

4 Cod. ἐκόσμησεν.

Digitized by Google

μάρτυρον εἶναι τῶν ἐκείνου καλῶν, οὐ γῆν, οὐ θάλατταν, οὐκ αὐτὸν οὐρανόν, ἔπειτα πόλεμος καὶ τὰ τῶν ἔργων ἐπιφανέστατα παρὰ μόνην οἵδε τὴν ἔαρος ὥραν ἐνδείκνυσθαι· καὶ μὴν αἱ γοναὶ καὶ τῶν ζώων αἱ διαθοχαὶ τὴν ἀρχὴν ἔαρος προϊοῦσαν ἐκτήσαντο, καὶ πᾶν δι' ἔαρος γεγενημένον προέρχεται, καὶ γὰρ φαίνει τὸ πραχθὲν, καὶ παράχει τὸ μὴ φαινόμενον· τέχναι δὲ πᾶσαι καὶ σοφία καὶ λόγοι πρὸς ἔαρ εἰσὶν ἑτοιμότεροι. διὸ θαυμάζω τῶν ὥραν ἑτέραν τολμώντων ἀντιπαρατεῖναι ἔαρι· θέρος ἀνιᾶται ταῖς ἡλίου βολαῖς, νοσεῖν παρέσχε μετόπωρον, χειμῶνος ἄπρακτοι μένουσιν ἄνθρωποι· μόνον δὲ τὸ ἔαρ περὶ πάντα χειμῶνος μὲν ἐναργέστερον, μετοπώρου δὲ προῆλθεν ὑγιεινότερον[1], καὶ θέρους αὖθις ῥωμενέστερον. Βραχέα ἄττα πρὸς ἔπαινον ἔαρος ἤνεγκα· ὀνήσει γὰρ μᾶλλον ἥπερ θαυμάζεται.

3. Ἐγκώμιον βοός.

Πῶς δὲ τοῖς σοφωτάτοις τῶν ποιητῶν ὁ περὶ βοὸς παραλέλειπται λόγος· οἶκον εἶπεν Ἡσίοδος[2], καὶ γυναῖκα προσέθηκε, καὶ τούτων ἔσχατον ἐπιφέρει τὸν βοῦν, οὐκ ἀτιμάσας ἐκ τάξεως, ἀλλ' ἐπαύξων τὴν φύσιν, ὡς οὐδὲν ἐκείνων ὄφελος ὢν μὴ προσόντος βοός· προῆλθε τοίνυν ὁ βοῦς Δήμητρος, καὶ πρωτότατης θεοῦ γεγονυῖα μιμεῖται τῆς φηνάσης τὸν τρόπον· οὔτε γὰρ Δήμητρος ἐν θεοῖς ἡμερώτερον, οὔτ' αὐτοῦ βοὸς ἐν θνητοῖς, καὶ γενόμενος Δήμητρος κοινὸς τοῖς ἄλλοις κατέστη θεοῖς· Ἥρα μὲν

---

1 Cod. ὑγεινότερον. Paullo post notanda est forma ῥωμενέστερον, i. e. magis corroborans, ut in ψόγῳ θέρους de hieme dicitur: ἀλλ' ὁ μὲν ἐῤῥωμένα παρασκευάζει τὰ σώματα.

2 Ἔργ. 403. ed. Gaisf. Οἶκον μὲν πρώτιστα, γυναῖκά τε, βοῦν τ' ἀροτῆρα.

γαρ αὐτὸν ἀπεικάζει τοῖς ὄμμασιν, ὁ Ζεὺς δὲ τοῖς ἔρωσι, καὶ φανῆναι ζητῶν τοῖς παιδικοῖς εὐπρεπέστερος εἰς βοῦν μεταλλάττεται· θῦμα δὲ Ποσειδῶν οὐκ ἐτέρωθεν εἵληφεν, ἢ μόνον ἀπὸ βοῶν, καὶ τῶν ἄστρων ὅσα κύκλον ἐργάζεται προφέρει τὸν ταῦρον· καὶ γεγονὼς ἐκ θεοῦ ὑμερωτάτης[3] ἐνδιαιτᾶται χάροις· ἄλσεσι γοῦν ἐνδιαιτᾶται καὶ νάμασι, καὶ σώζει τῷ σώματι τῶν ἀνθέων τα χρώματα· λευκαίνεται γοῦν καὶ προσέτι πορφύρεται, καὶ γίνεται λειμώνων εἰκὼν παρ' οἷς διητήσατο· βοῦν τοίνυν εἰς πᾶν ἡ φύσις ἐτίμησε· πρῶτον μὲν γὰρ ὁπλίζει[4] τοῖς κέρασι, καὶ τὸ μὴ παθεῖν ἐγγυᾶται τοῖς παρ' αὐτοῦ· ἔπειτα μεγέθει διαφέρειν παρέσχε τοῦ σώματος, καὶ τὸν ἐναντίον ἐγκατέβαλε τρόπον· εὐάγωγον μὲν γὰρ παρασκευάζει τοῖς τρέφουσιν, ἀνάλωτον δὲ τοῖς ἐπιβουλεύειν ἐθέλουσι, καὶ τὸ πρᾷον τῆς φύσεως ἐπανορθοῖ τοῦ κέρως ἡ δύναμις· ἔπειτα χρήσιμος εἰς ἅπασαν καθέστηκεν ὥραν· ἀροῖ μὲν γὰρ ἀρχομένου χειμῶνος· τελευτῶντος δὲ θέρους τοὺς καρποὺς συγκομίζεται, καὶ τιμᾷ τὸν βοῦν ἡ γῆ τοῖς αὐτοῖς ἐπιδιπλασιάζουσα τὰ παρ' ἐκείνου καταβαλλόμενα· πρὸς τούτοις ἐφ' ἑκάτερον εὐδοκιμεῖ τὸν καιρὸν εἰρήνης καὶ μάχης· ἐφ' ἡσυχίας μὲν γὰρ ἐργάζεται γῆν, περὶ δὲ τὰς μάχας ὁπλίζει τὸ στράτευμα, καὶ τοξότας μὲν ἐργάζεται κέρασιν, ὁπλίτας δὲ τῷ προκαλύμματι· πᾶν εἴ τι μέρος ἐργάζεται φύσις, εἰς πολέμων χρείαν ἐξεῖρεν· ἔπειτα θεοὶ τοῖς βοῶν θύμασι χαίρουσιν.

Ἄξιον δὲ περὶ τῆς τελευτῆς τοῦ βοὸς διελθεῖν· βοῦς γὰρ ἀναιρούμενος μελίσσαις γίνεται γένεσις, ὥσπερ οὐκ ἀνεχομένης φύσεως οὐδὲ τελευτῶντος βοὸς συντελευτῆσαι τὸ κέρδος· εἶτα τίς αὐτῷ προσθήσει τὸν ἵππον; ἀλλ' ἵππος μὲν ἐν ταῖς μάχαις εὐδοκιμεῖ, βοῦς δὲ πρὸς εἰρήνην καὶ πόλεμον. Ἦν ἑτέρα περὶ βοὸς διελθεῖν, εἰ μὴ βραχὺς ἅπας κατεφαίνετο λόγος.

3 Inserendum videtur ἡμερωτάτοις. 4 Cod. ὡπλίζει.

4. Ἐγκώμιον ἐλαίας.

Ἐπαινεῖσθαι τὴν γῆν ἐλαία ποιεῖ γεγονυῖα τῆς γῆς· ὥσπερ γὰρ ἵνα πᾶσι δείξῃ τὰ παρ' αὐτῆς τὸ τῆς ἐλαίας ἐκόμισε βλάστημα, καὶ σημαίνει τὸν ἔπαινον γενομένη τῆς Ἀθηνᾶς· σοφῆς οὖν θεοῦ γεγονυῖα σοφώτερον ἐλαία παρασκευάσει τὸν χρώμενον, καὶ γεγονυῖα τῆς καλλίστου θεοῦ φῦειν ἐλαία παρὰ πᾶσαν ἐπίσταται γῆν· καὶ μόνη τῶν ὄντων παρὰ τὰ πεδία κομᾷ, κἂν τοῖς ὄρεσι φύεται, καὶ προσοικεῖν ἔλαχε θάλατταν, ὥσπερ ἀδικεῖν ἡγουμένης τῆς φύσεως, εἰ μὴ πᾶσιν αὐτὴν ἐπιδείξειε, καὶ παρ' ὅλην φύσασα γῆν φύειν παρὰ πᾶσαν ὥραν ἐπίσταται· καιροῖς βλαστήματα κρίνεται, καὶ περὶ τὸ θέρος φανέντα δι' ἔαρος τὰς λοιπὰς ἐφεξῆς ἠγνόησεν ὥρας, μόνη δὲ τῶν ὄντων ἐλαία ἔαρος ὤφθη, καὶ παρὰ τὸ θέρος ἀνθεῖ καὶ μετοπώρου καθίσταται, καὶ χειμῶνος λήγειν οὐκ ἔγνωκεν, ὥσπερ ἑκάστης ὥρας σεμνυνομένης τοῖς[1] τῆς ἐλαίας καλοῖς. Ἐλαία τοίνυν ἄνεισι μὲν ἀπὸ γῆς, πρόεισι δὲ ἐπὶ μέγεθος μέτριον, καὶ μέσον ἔσχε τοῦ βλαστήματος μέγεθος, οὔτε μένουσα πρὸς γῆν καὶ οὐ γινομένη τοῖς ὑβρίζουσιν ἕτοιμος, οὔτε εἰς ὕψος ἀνιοῦσα παμμέγεθες· καὶ παραιροῦσα τοὺς ὁρῶντας τῆς θέας, ὅσῳ δίδωσι τὸ κάλλος ἰδεῖν, τὴν ὕβριν ἀπέκλεισε, καὶ γίνεται πᾶς τοῦ καλοῦ θεατὴς οὐ λαβὼν τὸν ὑβρίζοντα, καὶ γεγονυῖα τοιάδε πρὸς πάντα καιρὸν προσῆλθεν ὠφέλιμος· πρῶτον μὲν γὰρ ἐν εἰρήνης καιρῷ τοὺς ἀγῶνας κοσμεῖ, καὶ δι' ἐλαίας ἆθλα καὶ τιμᾶται καὶ τίθεται, καρπῷ μὲν γὰρ τὴν ἰσχὺν ἀπεργάζεται, κοσμεῖ δὲ θαλῶ τοὺς νικήσαντας, καὶ τὴν μὲν οὐκ οὖσαν ἐργάζεται ῥώμην, τὴν δὲ κατορθοῦσαν ἐτίμησεν, ὥστε τὴν ἰσχὺν ἐλαία καὶ ποιεῖ καὶ τιμᾷ· καὶ πάντες μὲν ἀγῶνες τῷ τῆς ἐλαίας

1 In Cod. τῆς quod mutatum est in τοῖς: scribendum τοῖς τῆς.

Digitized by Google

ἐνασκοῦσι καρπῷ· τιμᾶται δὲ ὁ Διὸς τῷ βλαστήματι, καὶ τὴν μὲν ἀνδρείαν οὕτως ἐλαία παρέχεται, σοφίαν δὲ πῶς; ὅσα μεθ' ἡμέραν οὐ πεπονήκασιν, πνεύμασι νυκτὸς ἐπεισφέρουσιν· καὶ φῶς ἕτερον τοῖς ἀσκοῦσιν ἐλαία σοφίζεται, καὶ τῶν ἡλίου βολῶν οὐ προσδεῖ, παρ' οἷς ὁ καρπὸς τῆς ἐλαίας περίεστι. καὶ δι' ἐλαίας ἄνθρωποι λήγουσι καὶ νοσοῦντες ἢ δυστυχοῦντες, καὶ τὰς κακοπραγίας ἐλαία τοῖς ἀνθρώποις μεθίστησιν· εἶτα τίς αὐτῇ παραστήσει τὴν ἄμπελον; ἀλλ' ἄμπελος μὲν φρενῶν ἐρημοῖ, ἐλαία δὲ φρένας ἐπέρρωσεν· ὅσῳ δὴ τὸ νοσεῖν τοῖ μεταθεῖναι νόσον ἐπέλαττον, τοσοῦτον ἄμπελος ἐλαίας καταδεέστερον· λίαν ἀνόητος ὁ τὴν ἐλαίαν οὐκ ἐπαινῶν.

5. Ἐγκώμιον χειμῶνος.

Οὐκ οἶδα ὅ τι παθόντες ἄνθρωποι τὸν χειμῶνα κακίζουσι· λανθάνοντες δὲ τὴν αὐτῶν γνώμην ἐλέγχουσιν, οἷς κρίνειν οὐκ ἔχουσιν· οἷς γὰρ τὰ καλὰ κρίνειν οὐκ ἴσασιν, ἑαυτοὺς ἐξελέγχουσιν, οὐ κακίζουσιν ἕτερον· χειμὼν τοίνυν γεγένηται χρόνου, καὶ χρόνου φανεὶς πιστοῦται τὸν φύσαντα· χρόνος τε γὰρ πάντα παράγειν ἐπίσταται, καὶ χειμὼν πάντα παράγεσθαι δίδωσιν· οἷς τοίνυν ὅμοια πέπραχε, τὸ συγγενὲς βεβαιοῖ, καὶ δείκνυται χρόνου τὰ χρόνου ποιεῖν ἐπιστάμενος· εἶτα χρόνος φανεὶς ἡμερώτατα τίθησιν ἅπαντα καὶ τὸ ἀγριαῖον συστέλλει τῶν τρόπων, καὶ κατάστας ὁ χειμὼν πραότητος γίνεται πρόφασις, χειμὼν τοίνυν τὴν προσηγορίαν περιουσίας ἐκτήσατο γνώρισμα, καὶ μόνος κληθεὶς σημαίνει τὸν πλοῦτον· ἔπειτα πάντα πρὸς εὐεργεσίαν ἀνθρώπων ἐπιφέρει φανεὶς, καὶ πρῶτα μὲν οὐρανὸς τὴν οἰκείαν χάριν φιλοτιμεῖται τῇ γῇ, καὶ βεβαιοῖ τῆς προσηγορίας τὴν πρόρρησιν, χέων ἐπὶ γῆς ἃ συνοίσει διδόμενα, ἔπειτα τὴν γῆν ποταμῶν ἐργάζεται πλήρη, καὶ ῥέουσιν ἅπαντες τὴν προσηγορίαν ἐκ χειμῶνος φερόμενοι, παρ' οὗ τὴν κλῆσιν

Digitized by Google

καὶ τὴν γένεσιν ἔχουσιν· ἔπειτα πάντα βλαστήματα παλαιὰν βλάστην ῥίπτει πρὸς γῆν, καὶ γῆρας δι᾽ αὐτὸν ἀποδύεται· καὶ πάντα νέα καθίσταται, συνακμάζοντα τοῖς χειμῶνος καλοῖς, γῆ δὲ λαβοῦσα τὸν ὄμβρον κύει καρπὸν, καὶ τὰς ἐλπίδας φυλάττει τοῖς μέλλουσιν, εἶτα ἅπλους ἡ θάλασσα, τὰ παρ᾽ αὐτῇ δυσχερῆ χειμῶνος οὐκ ἐπιφέρουσα· ἔπειτα θάνατοι βραχεῖς μὲν χειμῶνος, καὶ τοσοῦτοι, ὅσους οἶδεν ἡ φύσις· ἔῤῥωται δὲ πάντα τῶν γενομένων τὰ σώματα, καὶ γονὰι χειμῶνός εἰσιν ἑτοιμόταται· εἶτα τίς αὐτῷ τὸ θέρος παραβάλλοι; ἀλλὰ θέρος μὲν ἅπαντα τέμνει καὶ δαπανᾷ, χειμὼν δὲ πάντα φύειν ἐπίσταται· ὅσῳ δὴ τοῦ τέμνειν τὸ τίκτειν κατέστηκεν ἄμεινον, τοσοῦτο χειμὼν παρῆλθε τὸ θέρος· ἄμοιρος οὖν εἴη τῶν χειμῶνος καλῶν ὁ μὴ χειμῶνα τετιμηκώς.

6. Ἐγκώμιον εὐαρχίας.

Ὅσα τοὺς ἄνδρας ἐπαινεῖσθαι ποιεῖ, ταῦτα πρὸς ἀνδρῶν ἐπαινεῖν δικαιότερον· εἰ γὰρ ἃ καταβάλλεται γένεσιν, ταῦτα τὴν αἰτίαν τῆς ἀρετῆς ἀπεργάζεται, πῶς οὐκ εὔλογον, πρὸ τῶν ἀνθρώπων θαυμάζειν τὰ δι᾽ ὧν ἄνθρωποι θαυμαζόμενοι φαίνονται, μάλιστα δὲ ὃ τοῖς ἄρχουσιν τὴν ἡγεμονίαν εὖ διατίθησι· προῆκε τοίνυν τὸ προσηκόντως κρατεῖν οὐρανοῦ, καὶ παρὰ θεοῖς γέγονε τὴν ἀρχὴν κρατεῖν τὸν Δία, καὶ μετὰ κόσμου παρέχεται, καὶ τούτῳ Ζεὺς τῶν κρειττόνων ἡγούμενος θεσμὸς ἀρχῆς ἐπαινούμενος· τὸ γὰρ ἐκ Διὸς γεγονὸς ἐν θεοῖς τὴν τοῦ πράγματος δείκνυσι φύσιν, καὶ κρατεῖ μὲν ὁ Ζεὺς τῶν λοιπῶν, κρατεῖ δὲ ἕκαστον ἑτέρου, ὁ Ποσειδῶν τῆς θαλάττης, [1] Δημήτηρ τῆς γῆς, ὁπόσον κρατεῖ Διὸς

1 τῆς θαλάττης inserui sensu postulante: abest a codice.

Digitized by Google

Διὸς δεδωκότος ἐπιστατεῖ, καὶ τὸ προελθὸν ἐκ τοῦ μείζονος τοῖς μετ' ἐκεῖνον ἔδωκεν ὄνομα· καὶ γεγονὸς τὸ χρῆμα παρὰ θεοῖς προῆλθεν εἰς γῆν τοῖς ἐκείνων παισί· καί μοι ποιητῶν ἄγασθαι πάρεστιν, ἐφ' οἷς διάκονον καὶ Μίνω καὶ τὸν Ῥαδάμανθυν Διὸς εἶναι παῖδας ἐλογοποίησαν· οὐχ ὅτι Διὸς, ἦσαν γὰρ θεοὶ γεγονότες Διὸς, ἀλλ' ὅτι τὴν ἀρχὴν, ὥσπερ ὁ Ζεὺς, εὖ διῳκήκασι, καὶ τὴν κοινωνίαν τοῦ πράγματος συγγενείας εἰλήφασι δόκησιν· τὴν γὰρ ἀρχὴν εὖ διαθέμενοι Διὸς ἐνομίσθησαν, καίτοι αὐτοῖς συνοῦσα τὸ πρῶτον. πάντα τῶν ἀνθρώπων συνέχει τὸν βίον· εἰρήνης γὰρ οὔσης καὶ μάχης ἑκατέραν ἀρχὴν θαυμαζομένην καθίστησι· τήν τε γὰρ εἰρήνην καλῶς κρατεῖν ἐγνωκότες, οὐκ οὖσαν μὲν ἐπορίσαντο, φανεῖσαν δὲ τετηρήκασιν· ἔπειτα πόλεμον τύχαι μὲν, ὡς θέλουσιν, ἄγουσι· κατορθοῦσι δὲ μόνον οἱ καλῶς ἡγησάμενοι· ἀρχῆς ἐπαινουμένης αἱ νῖκαι, καὶ θαυμαζομένης ἡγεμονίας τὰ τρόπαια κατορθοῦσιν, ὡς ἂν ἄγωσιν ἄνθρωποι· δῆμος πειθόμενος ἐν ἐπαίνῳ ποιεῖ τὸν ἡγούμενον, καὶ τὸ πεῖσαν πλέον τοῦ πειθομένου θαυμάζεται· οὐκ ἂν ἐπὶ Σαλαμῖνος ὑπῆρχε τὸ τρόπαιον, μὴ Θεμιστοκλέους ἄρχοντος ἄριστα. Μαραθὼν οἶδεν οἷα μήπω τολμήματα, Μιλτιάδην ἔχων ἡγούμενον· τὰς διπλᾶς ὁ Κίμων εἰργάσατο νίκας πεζομαχεῖν πειθομένου στρατεύματος· Περικλῆς εἷλε τὴν Εὔβοιαν,[2] Πύθων ὅσα κατώρθωσε,[3] τοῦ Παιανιέως[4] ὅσα δεινότερον ἔφρασεν, ἐπαινουμένης ὑπῆρχεν ἀρχῆς· τὴν Ἴλιον εὐαγωγοτέραν εἷλεν Ἀγαμέμνων, καὶ πολλῆς ἀρχῆς ὑπάρχων ἄρα δι' ὧν ἦρχεν ἐνίκησεν· οὕτως ἀρχῆς ἔπαινος καὶ παρὰ τοὺς κινδύνους ἐργάζεται νίκας. Ξέρξης ἀπέκρυψε γῆν τε καὶ θάλατταν, καὶ τὰς ἐσχατιὰς συνῆγε τῆς γῆς εἰς τὸν πόλεμον, οἷς ἦρχεν ἐν θαύματι, καὶ τί δεῖ διελθεῖν τὰ ἀνθρώπινα, καὶ περὶ τὰς ὥρας ἐπαινουμένης

2 Cod. εὔοιαν. 3 Cod. κατόρθωσε. 4 Cod. παιανιαίως.

Digitized by Google

ἀρχῆς ὁ θεσμὸς πολιτεύεται· ἀλλήλαις ἥκουσι καὶ δι' ὧν ἥκουσιν ἄρχουσιν· ὑπ' ἀλλήλων ἄρχονται κάλλιστα, καὶ τὴν ἁρμονίαν οἱ καιροὶ τῷ θεσμῷ τῆς ἀρχῆς τετηρήκασιν· εἶτα τίς αὐτῇ τὴν εὐνομίαν παραβάλλοι; ἀλλὰ νόμος οὐ μὴν ἐπαινούμενος μὴ πειθούσης ἀρχῆς πολιτεύεσθαι νόμους· ὥστε εἴτι νόμος θαυμάζεται, παρὰ τοῦ κρίνειν εἰδότος κηρύττεται· ὅσῳ δὴ τὸ ἄγειν τοῦ ἄγεσθαι κάλλιον, τοσούτῳ ἀρχὴ θαυμαζομένη νόμων αἱρουμένων ἐστὶν αἱρετώτερον. Εἰ πάντα θελήσαιμεν ἐπαινεῖν τὰ τοῦ κτήματος, ἐπιλείψομεν λέγοντες ἢ τὸ πρᾶγμα τιμῶντες.

7. Ἐγκώμιον Θεμιστοκλέους.

Ἔφθασε μὲν Θεμιστοκλέα θαυμάσας ὁ συγγραφεὺς, οἷος ἦν τὴν φύσιν διεξελθών· οὐδὲν δὲ κωλύει καὶ ἡμᾶς βραχέα περὶ αὐτοῦ διελθεῖν· εἴη γὰρ καὶ τοῦτο τῆς Θεμιστοκλέους ἀρετῆς, ἐν παντὶ μεγάλα μὲν ἐκ βραχέων κομίζεσθαι, καταλιπεῖν δὲ καὶ τοῖς ἔπειτα λέγουσιν· εἰ μὲν οὖν Θεμιστοκλῆς μόνα κατορθοῦν τὰ πολέμου δεινὸς, λόγῳ δὲ μὴ καθειστήκει δεινότερος, οὐδὲν ἂν προὔργου ἦν τὰ Θεμιστοκλέους διεξελθεῖν· νῦν δὲ τὰ ἐν καιρῷ κομιεῖται τὸν ἔπαινον, ἐπίσης ὅπλα μελετήσας καὶ λόγους· προῆλθε μὲν οὖν Ἀθηνῶν, ὧν ἐρασταὶ καὶ θεοὶ καθεστήκασι, καὶ τὴν γένεσιν ὁμολογοῦσαν ἔσχεν οἷς ἐπέστησεν· οἵ τε γὰρ θεοὶ γεγονότες συνέπραττον, καὶ πολεμοῦντες συνεργοὶ καθίσταντο, καὶ γεγονὼς Ἀθηνῶν χρῆται προγόνοις οὐκ ἀπολειπομένοις τῆς γῆς· ἀλλ' ὁ τε Θεμιστοκλῆς τῆς Ἀθηνῶν ἀρετῆς οὐ καθίστατο δεύτερος· οἵ τε Νεοκλέα κομίσαντες, οἷς ἐκόμισαν, τίνες ἦσαν ἐδείκνυον· καὶ γεγενημένος, ὧν ἔφην, τρέφεται μὲν ἐν πολιτείᾳ καὶ νόμοις, οἳ[1] πᾶσιν ἴσα παρέχουσιν· οὐ μὴν Θεμιστοκλῆς ἴσην τοῖς πολλοῖς ἀρετὴν ἀπεδείξατο· πολι-

5 Cod. περὶ τ. κρ. ἐ. κηρύττετε. 1 Cod. ἥ. cfr. p. 323.

Digitized by Google

τείας δὲ τιμῶν τὴν ἰσότητα ταύτην τοῖς ἔργοις ἀριστεύσας παρέδραμεν· ἐκ δὲ τοιούτων Θεμιστοκλῆς καταστὰς, ἐκκλησιάζοντα μὲν ἐνουθέτει τὸν δῆμον, πολεμοῦντα δὲ κρατεῖν παρεσκεύαζε, καὶ πρῶτον μὲν Αἰγινητῶν ἀδικεῖν ἐγνωκότων τὸν δῆμον καὶ πλημμελούντων εἰς τοὺς θεοὺς καὶ τὰ παρ' ἑκατέροις ἀγάλματα μετατιθεμένων παρ' ἑαυτοῖς, πόλεμον πρὸς αὐτοὺς ἐξέφερε ναυτικὸν, καὶ θεοῖς συμμαχῶν καὶ τῇ πατρίδι τὸ προσῆκον ἀποδιδούς. εἶτα Ἀθηναίων οὔπω γινωσκόντων τὰ ναυτικὰ, πρῶτον εἰσηγεῖτο τὴν τέχνην, καὶ μελετᾷν πρὸς θάλασσαν ἔπεισε, καὶ νεμομένων Ἀθηναίων εἰκῇ τὰ τῆς πόλεως πράγματα ἢ χρήματα, δαπάνην ὄλογον εἰς τὴν τῶν νεῶν μετέθηκε χρείαν, καὶ τρία κάλλιστα διὰ μίαν εἰσηγήσατο τέχνην· ἐξ ὧν Ἀθηναῖοι κρατοῦσι τῶν νήσων καὶ τῶν Αἰγινητῶν· τοὺς λοιποὺς κατεστρέφετο, καὶ τὴν ἀρχὴν τῆς θαλάττης συγκατεσκεύαζον, καὶ ναυτικὸν ἐποιεῖτο πρὸς Ἕλληνικὸν καὶ βαρβαρικὸν πόλεμον, ἑκάτερον γένος τέχνῃ μιᾷ τῶν νεῶν παριστάμενον. Εἰ μὲν οὖν ἐπὶ τούτοις μόνοις ἐλυσιτέλει Θεμιστοκλῆς, τὸν μέχρι τούτων ἔδει ποιήσασθαι λόγον, ἐπεὶ δὲ προϊὼν μείζω τῶν παρόντων κατέπραξεν, οὐδὲν οἷον ἐν τοῖς ἐφεξῆς ἐργασάμενος, οὐδὲν οἷον ἐν τοῖς πρὶν θαυμασθήσεται· ὧν γὰρ παρῆλθε τὰς πράξεις, παρατρέχει τὴν δόξαν· ὥσπερ γὰρ αὐτὸς πρὸς αὐτὸν τὴν ἔριν ἐπανελόμενος, εἰργάζετο μὲν ὧν κατεἰργάστο μείζονα· τοῖς δὲ δευτέροις ἦν ἀπιστότερος, οἷς ἐλέλειπτο τῶν δευτέρων τὰ φθάσαντα· ὡς δὲ τὸ ναυτικὸν Ἀθηναίοις κατεσκευάσατο, καὶ τὴν κατὰ θάλατταν ἄσκεῖν Ἀθηναίους ἔπεισε τέχνην, πόλεμος Μηδικὸς ἐν γῇ κατασκήπτει, τοῖς Ἕλλησιν ὡς εἰς ἐπίδειξιν τῆς Θεμιστοκλέους ἀρετῆς συγκροτούμενος· ἐπειδὴ γὰρ εἶδε τοὺς προαφιγμένους κειμένους ὁ Μαραθὼν, καὶ Λαρεῖος ὤλλυτο τὴν Μαραθῶνος ἧττα οὐκ ἐνεγκών, ὁ μὲν παῖς τὴν ἀρχὴν διεδέχετο, καὶ κληρονό-

μος οὐ μόνον τῆς τύχης, ἀλλὰ καὶ τῆς τῶν Ἀθηναίων καθίστατο μάχης· καὶ πάντας ἀνθρώπους ὑπερβαλέσθαι ζητῶν, τὰς στρατιὰς ἐπὶ τὴν Ἑλλάδα συνήγαγε τῆς γῆς, καὶ ἐστράτευον δὲ ἅπαντες ἄνθρωποι, μίαν ἐξελεῖν[2] προαιρούμενοι πόλιν, καὶ τὰ γῆς ἅπαντα πρὸς μέρος Ἑλλάδος ἀντηγωνίζετο, καὶ συνῄει μὲν ἅπασα τὸν πόλεμον ἤπειρος, ἐστρατήγει δὲ τῶν ἐπιόντων ὁ βασιλεὺς, μικρὰ τὰ θεῶν ταῖς οἰκείαις ἀποφαίνων παρασκευαῖς· γῆν μὲν γὰρ ἄλα ἐπιὼν κατειργάζετο, παρ' ἣν ὁ Ζεὺς κατεσκεύασε, θάλατταν δὲ νεωτέραν ἐποίησε, παρ' ἣν οἶδεν ὁ Ποσειδῶν, καὶ διὰ στοιχείων ἐστράτευεν, ὧν αὐτὸς κατεφάνη δημιουργός· οὐδὲν δὲ τῶν ὄντων εἶχε μένειν ὡς γέγονεν, ἀλλ' οἵ τε καιροὶ παρ' αὐτῷ πρὸς ἀλλήλους ἀντικατήλλαττον· αἵ τε τῶν βαρβάρων βολαὶ τὰς ἡλίου συνέκοπτον· οὕτω τὴν ἄμιλλαν πρὸς αὐτοὺς τοὺς θεοὺς ἐποιήσατο Ξέρξης. Πρὸς δὲ τὸν οὕτω παρεσκευασμένον εἰς Ἕλληνας ἀντηγωνίζετο μόνος Ἑλλήνων Θεμιστοκλῆς, καὶ τὰ Ξέρξου παράλογα τοῖς οἰκείοις ἀπέκρυψε θαύμασι, καὶ θαυμαστότερος ἦν βουλευμένος Θεμιστοκλῆς, ἢ Ξέρξης πάντα μεταποιῶν· πόλιν ἦγεν ἐπὶ νεῶν, καὶ τὰς Ἀθήνας ἐπὶ τῆς θαλάττης ἀγωνιζομένας ἐδείκνυε. καὶ γῆν κατορθῶν ἀγελάμβανεν, ἣν ἀγωνιζόμενος ἔλιπε, καὶ πρῶτον μὲν Εὔβοιαν ναυτικῶν τροπαίων ἐνέπλησε, καὶ τὴν Ἄρτεμιν μάρτυρα τῆς οἰκείας ἐποιήσατο νίκης· εἶτα τοὺς Ἕλληνας ἐν Σαλαμῖνι κατέχων, ἀγωνιστὴν ἐποιεῖτο τὸν Ξέρξην ἐξ ἐπιτάγματος, καὶ ἃ μετὰ τὸν ἀγῶνα φυγὰς ἦν βασιλεὺς, Θεμιστοκλέους ὑπῆρχε βουλεύματα· πρὸς ταῦτα Μιλτιάδην παραβαλέτω τις, τὸν μόνους ὑπάρχους βασιλέως νικήσαντα, καὶ πρὸς αὐτὸν κρινέτω τὸν Κίμωνα, τὸν ἐκ Θεμιστοκλέους μαθόντα διώκειν τοὺς Πέρσας. Ἦν πάν-

2 Cod. ἐξελθεῖν. Vide ep. crit. p. 41.

τα ἡμῖν τὰ Θεμιστοκλέους διεξελθεῖν, εἰ λόγων ἰσχὺς κατὰ Θεμιστοκλέα παρῆν.

Cap. IX.

1. Ψόγος θέρους.

Οὐχ ὅτι θέρους ἐπαινεταὶ πολλοὶ καθεστήκασιν, ἐπαινέσων ἀφίξομαι, τοὐναντίον δὲ σύμβολον ἔξω κατηγορίας τὸ πλῆθος· μεθ' ὧν γὰρ οἱ πολλοὶ, μετὰ ταύτων ἡ μέμψις· προῆλθε μὲν γὰρ χρόνου τὸ θέρος, καὶ χρόνου γενόμενον ἐναντίαν φέρει τῷ φύσαντι δύναμιν· χρόνος μὲν γὰρ παράγειν φιλεῖ, θέρος δὲ ἐξάγειν τῶν ὄντων· οἷς οὖν τῷ φύσαντι μάχεται, τὴν βλάβην αἴκα- θεν ἔδειξε, καὶ γεγονὸς ἐνθένδε τρέφειν ἅπαντας παρα τὸ δέον ἐπίσταται· τά τε γὰρ σώματα τῆς οὔσης ἠλλατρίωσε ῥώμης, καὶ προθυμίαν ἅπασαν συνανεῖλε τῆς γνώμης· ὡς οὖν τοιάδε τρέφειν πεφυκὸς κακίζεσθαι μᾶλλον ἢ θαυμάζεσθαι πάρεστι, καὶ δυοῖν τοῖν καιροῖν, εἰρήνης καὶ μάχης, αἱ μὲν τῶν ἔργων παρὰ τὰς μάχας φανοῦνται λαμπρότητες, πολέμου δὲ πόνους ἐπενεγκεῖν τὸ θέρος οὐ συγχωρεῖ. Οἷς οὖν· δόξαν τὸ θέρος ἀπαστερεῖ, δι' ὧν πονεῖν οὐκ ἐᾷ, παραιτεῖται καὶ τὸ κηρύττεσθαι· ἔπειτα πλεῖν ἀνίησι θάλατταν, ὥσπερ τοσαῦτα ποιεῖν συγχωροῦν, ὅσα φθείρει τὸν χρώμενον· καὶ ναυτιλίαι μὲν παρὰ τὸ θέρος σπουδάζονται, καρποὶ δὲ φύονται μὲν ἔαρος, θέρους δὲ λήγουσι, καὶ τὸ δοκοῦν γεωργίας ἐπαινετὸν παρ' αὐτὸ ἐτελεύτησεν· ἔπειτα τὰ γῆν λυμαινόμενα τὸ θέρος ὀφθὲν παρασκευάζει κινεῖσθαι· καὶ θέρος προελθὸν πονηροῖς εὕρηται γένεσις· χαλεπὸν τὸ νοσεῖν τοῦτο γέγονε θέρους, ὅσῳ μετόπωρον γέγονε πρόσοικον, ὃ γὰρ ἄνθρωποι τέμνουσιν ἐξ αὐτῶν προσηγόρευσαν· καὶ μόνον ταῖς ὥραις γέγονεν ὄνομα· εἶτα τίς αὐτῷ τὸν χειμῶνα παραβάλλοι; ἀλλ' ὁ μὲν ἐῤῥωμένα

παρασκευάζει τὰ σώματα, τὸ δὲ τοῦ παρόντος ἀφείλετο· ὅσῳ δὴ τὸ μὴ δεδυνῆσθαι τοῦ πονεῖν ἔχει καταδεέστερόν, τοσούτῳ χειμὼν θέρους ἐστὶν ἀλυπότερος· μικρὰ ἐκ πολλῶν θέρους ἀκήκοα, οὐ γὰρ εἰς ἅπαντα λέγειν κατέλιπεν.

2. Ψόγος μετοπώρου.

Ἀγανακτῆσαί μοι[1] πάρεστιν, ὅτι ταῖς ὥραις συναριθμεῖται μετόπωρον· ὥσπερ γὰρ κακίσαι τὰς λοιπὰς τῶν ὡρῶν προαιρούμενον, οὕτω μετόπωρον ταῖς ὥραις συνεξετάζεται· προελθὸν μὲν γὰρ καὶ τοῦτο τοῦ χρόνου τὴν ἐναντίαν τῷ χρόνῳ φέρεται φύσιν, χρόνος μὲν γὰρ πάντα φύειν ἐπίσταται, μετόπωρον δὲ πάντα φθείρειν προέρχεται· ὅσῳ δὴ τὸ φθείρειν τοῦ φύειν ἐναντιώτατον, τοσούτῳ μετόπωρον τῷ τεκόντι πολεμιώτατον· καὶ γενόμενον χρόνος μετόπωρον ἐν φαύλοις ἀνθρώποις διήγαγεν ἄνθεσιν, εἶτα μετοπώρου πάντη κρατοῦντος καρποὶ μὲν τῆς γῆς ἀποτέμνονται, πάντα δὲ νοσοῦντα φθείρεται σώματα· κέκλεισται δὲ πρὸς εὐπορίαν ἡ θάλαττα, καὶ τῶν πολλῶν ἄστρων ὁ οὐρανὸς ἀπεστέρηται, καὶ μακρὸς μὲν παρ' αὐτῷ συντέμνεται βίος, τελευτὴ δὲ ταχεῖα προσγίνεται, καὶ λήγειν ἅπαντα ἐν μετοπώρῳ καταναγκάζεται, ὥσπερ τῆς τύχης μαρτυρεῖν οὐκ ἐώσης οὐδενὶ τῶν ἀγαθῶν τὸ μετόπωρον· εἶτα τίς ἔαρ μετοπώρῳ παραβάλλοι; ἀλλ' ἔαρος μὲν ἅπαντα σώζεται, μετοπώρου δὲ πάντα διέφθαρται· ὅσῳ δὴ τὸ σώζειν τοῦ φθείρειν ἐστὶν αἱρετώτερον, τοσούτῳ μετοπώρου ἔαρ κρεῖττον καθέστηκε. Πολλὰ ἦν ἔτι πλείω κακὰ διελθεῖν, εἰ μὴ τὸ πλῆθος παρῄρει τὸ πέρας.

---

1 Cod. μι.

3. Ψόγος ἀμπέλου.[1]

Εἰ καὶ πολλοὶ τῆς ἀμπέλου καθεστήκασιν ἐρασταὶ, καὶ τὸ φυτὸν τοῖς πλείστοις ἡδονὴ, ἀλλ' οὖν ἐγὼ κατηγορῶν ἀφῖγμαι τῆς βλάστης, οὐδένα τῶν πολλῶν ποιούμενος λόγον· ἄλογον γὰρ, εἰ κακοὶ μὲν οἱ πλεῖστοι νομίζονται, τὴν δ' ἄμπελον χρηστόν τι νομίζομεν, ὅτι πλείους· ἔτι καὶ τὸ τῆς πονηρίας ὑπόμνημα τοῦ δοκεῖν ἀγαθὸν ποιησόμεθα σύμβολον· ἄμπελος τοίνυν Διονύσου προῆλθεν, ὀψὲ γεγονότος θεοῦ, μᾶλλον δὲ ἦν ὅτε μηδὲ ὄντος θεοῦ, ᾧ τοσοῦτον κακίας περίεστιν, ὡς μόνων θεῶν καὶ θνητῶν θανάτῳ μητρὸς φθῖναι τὸν βίον· ὥσπερ οὐκ ἐθελούσης μητρὸς κατιδεῖν ὃν τῷ βίῳ παρήγαγε· καὶ Σεμέλης ἀτελῶς προελθὼν μηδῷ τοῦ Διὸς ἐναποῤῥάπτεται, οὐδετέρῳ τῶν πατέρων ἐντελὲς οὐδὲν κομισάμενος, οὐδὲ τὸ πέρας ὑπὸ μητρὸς, οὔτε Διὸς τὸ προοίμιον· καὶ γεγονὼς οὕτω Διόνυσος περιήει μὲν ἅπασαν γῆν, ἐθέλων διδόναι τοῖς ἀνθρώποις τὴν ἄμπελον, ἅπασαν δὲ γῆν παρεχομένην ἔφευγε· καὶ Θρᾷκας ἀμαθεῖς κατιδὼν πρώτους ἀνθρώπους ἀναπείθει λαβεῖν, βαρβαρικὴν ἀμουσίαν τοῦ λαβεῖν ἀφορμὴν ποιησάμενος, καὶ πείθει λαβεῖν καθάπαξ τοὺς ἅπαντας, ἀλλὰ πρῶτος Θρᾳκῶν κομισάμενος Ἴκαρος ὑπέσχε δίκην, ὧν ἐπείσθη λαβεῖν· ὡς γὰρ λαβὼν μετεδίδου τοῦ πόματος, ἔπινον Θρᾷκες, καὶ πιόντες ἐπὶ γῆς κατεκλίνοντο, καὶ τοὺς μὲν εἶχεν ἤδη κειμένους ἡ γῆ, τοὺς δὲ μέλλοντας ἠλπίζετο φέρεσθαι, καὶ φάρμακον Θρᾳκῶν τὸ δοθὲν ὑποπτεύσαντες[2] ἀναιροῦσι τὸν Ἴκαρον, ἀμοιβὴν χάριτος ἀντιδιδόντες τὸν θάνατον· οὕτως ἄμπελος ἐκ προοιμίων φέρει τοῖς χρωμένοις τὸν κίνδυνον, καὶ

1 Idem thema tractat Liban. p. 989. ed. Reisk. 2 Cod. ὑπωπτεύσαντες.

Digitized by Google

προελθοῦσα τοιούτων φύειν μὲν παρ' ὅλην οὐκ ἐπίσταται γῆν, ἔνθα δὲ φύεται γεωργῶν ἀναμένει τοὺς πόνους, ὥσπερ οὐκ ἦν προελθεῖν, εἰ μὴ πόνος ἠγήσαιτο. Ἄμπελον τοίνυν ἡ φύσις παρήγαγεν, οὐδὲν ἐπαινούμενον ἔχουσαν· πρῶτον μὲν γὰρ αὐτὴν οὐκ ἀνέχει τῆς γῆς, ἀλλ' ἐᾷ κεῖσθαι τοῖς ὑβρίζουσι πρόχειρον, κἂν μετεωρίσῃς βραχύ τι τῆς γῆς προσδεῖ καὶ δεσμῶν, καὶ παρεγοχλεῖ τοῖς ὄθεν καὶ ἐξήρτηται, καὶ γενομένη πρὸς βίαν μετέωρος τῇδε κἀκεῖσε πρὸς τὰ πνεύματα φέρεται μιμουμένη τοὺς πίνοντας καὶ τούτων οἱ [3] καθεστῶτα τοῖς πνεύμασι, καὶ γεγονυῖα τοιάδε πρὸς μίαν ἀνθεῖν ἔγνωκεν ὥραν· βραχὺ γάρ τι προϊοῦσα τοῦ ἔαρος πρὸς ὅλον θέρος οὐκ ἤνθησεν· ἀλλ' ἅμοῦ τοῖς καρποῖς καὶ τὴν βλάστην ἀφῄρηται· ἔπειτα καιροῦ καρπᾷ παντὶ διαμάχεται· ἔν τε γὰρ πολέμῳ τοὺς χρωμένους ἠδίκησε, καὶ παρὰ τὴν εἰρήνην τοὺς φιλοσοφοῦντας λυμαίνεται· ὅθεν οὐδεὶς ἀγὼν ἐξ αἰτῶν φέρεται στέφανον, ὧν γὰρ οὐκ οἶδε τοὺς πόνους, οὐκ ἐπάγει τὸ γένος. Μέγα τι δημιουργούμενος Κένταυρος· τοῦτον οἶνος διέφθειρε· παράλογόν τι Κύκλωψ ὀφθείς, οὗτος ἐξ οἴνου τὸ παράλογον ἀπολώλεκεν· ᾧ γὰρ θαυμάζεται, καὶ δι' οἶνου κολάζεται, καὶ Τροίαν μόνος ἐδαπάνησεν οἶνος· ἦν γὰρ ὁ πολὺς οὐκ ἀνάλωσε πόλεμος, ὁ πρὸς χρῆσιν ἐλθὼν οἶνος διέφθαρκε· Δημοσθένης ὅσην εὐκλειαν ἐκτήσατο ἀγνοήσας τὸν οἶνον, ἤδη δι' οἶνου ἀπαράλογος κατεφάνη γονή· παῖδες γὰρ δι' οἶνου προῆλθον ἀδελφοὶ τῷ κομίσαντι· εἶτα τίς αὐτῇ τὴν ἐλαίαν παραβάλλοι; ἀλλ' ἡ μὲν εἰς ἅπασαν ὥραν κομᾷ, βραχὺ δὲ μόνον ἐβλάστησεν ἄμπελος· ὅσῳ δὴ τὸ βλαστάνειν τοῦ φύειν εἰς ἅπαν ἐν βραχεῖ καθέστηκεν ἄμεινον, τοσούτῳ τῆς ἀμπέλου κρεῖττον ἐλαία καθέστηκεν. Οὐκ ἦν ἅπαντα ἀκούειν ἄμπελον, ἃ παροῦσα λυμαίνεται.

[3] Lacuna est in codice.

4. Ψόγος μέθης.

Καὶ παρ' αὐτοῖς οἶμαι τοῖς μεθύειν ἐθέλουσιν κατηγορεῖσθαι τὴν μέθην· οἷς γὰρ ἀγνοεῖν ὁμολογοῦσιν, ἃ πεπόνθασι, τὸ μεθύειν κακίζουσι· καὶ οὕτω τὸ πάθος τῶν ἀτυχῶν, ὅτι καὶ μόνη γῆ γινώσκει τὴν νόσον· θεοὶ γὰρ μέθης καθάπαξ ἀλλότριοι, καὶ τοσοῦτον αὐτοῖς τῆς τοῦ μεθύειν ἀγνοίας περίεστιν, ὡς καὶ αὐτοὺς τοὺς θεοὺς ἀγνοῆσαι τὸν οἶνον· οὔ γὰρ τὴν χρῆσιν οὐκ ἴσασι, τὸν κόρον οὐκ ἔχουσι, καὶ γεγονυῖα μέθη μόνον ἐν γῇ πάντα τοῖς χρωμένοις φαυλότατα τίθησιν· οὐχ ἕνα καιρὸν οἶδε τὸ πάθος, οὐ τόπαν, ἀλλὰ παντὶ μὲν καιρῷ τοὺς χρωμένους λυμαίνεται, πρὸς ἅπαντα δὲ συμβαίνουσα τόπον ἀδικεῖ.[1] μέθη τοίνυν ἐφ' ἑκάτερον κατηγορεῖται καιροῦ, πρὸς εἰρήνην, πρὸς μάχην· ἔν τε γὰρ εἰρήνῃ τολμᾷν ἀναπείθουσα πολέμου καθίσταται μήτηρ, ἔν τε πολέμοις ἀναιροῦσα τὴν δύναμιν ἐπιφέρει ἧτταν, καὶ κατορθοῦν οὐκ ἐπίσταται πόλεμον, ὃν τολμῶσα κεκίνηκεν· ἔπειτα θεοὺς πείθει τῶν ἀναθημάτων ἀποστερεῖν, καὶ πρὸς ἡδονὰς ἄγει παρανόμους τὸν χρώμενον, εἶτα ὁμοῦ ψυχὴν καὶ σῶμα λυμαίνεται· τό τε γὰρ σῶμα τῆδε κἀκεῖσε μεθίστησι, τήν τε ψυχὴν οὐκ ἐᾷ καθεστάναι, ἀλλὰ προχειρότερον σφάλλεται σώματος κρατούσης τῆς μέθης· οὐκ ἂν ἑάλω Τροία, μὴ πεσοῦσα πρὸς οἶνον, οὐδὲ Κύκλωψὲ ξεκόπη τὸν ὀφθαλμόν, μὴ τῆς μέθης ἁλούς, οἷον Οἰδίπουν ὁμοῦ καὶ παῖδα καὶ ξύνοικον εἴργασται. Εἶτα τίς αὐτῷ παραθήσει κλοπήν; ἀλλὰ κλοπὴ μὲν ἠδίκηκεν ἕτερον, οὐ μὴν ἔτι τὸν χρώμενον, μέθη δὲ καὶ τοῖς ἐντυχοῦσι καὶ ταῖς πεπτωκόσι πολεμιώτατον. Ὅσῳ δὴ τὸ κατ' ἄμφω λυπεῖν τοῦ πρὸς ἕνα χαλεπώτερον, τοσούτῳ κλοπῆς δεινοτέρα καθίσταται μέθη. Πέρας οὐκ ἔχει τῆς μέθης ὁ λόγος, εἰ καὶ πέρας νῦν.

---

1 Cod. ἠδίκη.

Digitized by Google

5. Ψόγος λέοντος.

Εἰ τούτων προσήκει κατηγορεῖν, ἃ πολλοῖς ἀπεχθάνεται, λέοντος δεῖ με κατηγορεῖν, ὃς ἐπιφέρει πρὶν ἀκοῦσαι τὸν φόβον· οἷς μὲν γὰρ φοβεῖ, παρασκευάζει μισεῖν, δι' ὧν δὲ φόβον ἔχει καὶ μῖσος, ἐγείρει κατήγορον. Προῆλθε τοίνυν οὐκ οἶδ' ὅτου θεῶν· Διὸς δὲ γεγονὼς, ὡς νομίζεται, κατηγορεῖται μᾶλλον οἷς οὐ φυλάττει τοῦ τεκόντος τὴν φύσιν· κρατεῖν μὲν γὰρ ἐθέλει παντὸς, ὡς Διὸς γεγονὼς, ἀπεχθάνεται δὲ πᾶσιν, ὡς ἑτέρου φανεὶς, καὶ διαβάλλεσθαι παρασκευάζει τὴν φύσιν τὴν γένεσιν, ἑτέρου μὲν ὢν, δοκῶν δὲ Διός· καὶ γενέσθαι δοκῶν, ὅθεν οὐ γέγονεν, ὄρεσιν ἐνδιαιτᾶται καὶ νάπαις, τὸ ἀγριαῖνον σημαίνων[1] τοῖς χώροις, ἐξ ὧν γὰρ οἰκεῖ καὶ ἃ πέφυκε δείκνυσι. καὶ τοσοῦτον αὐτῷ κακίας περίεστιν, ὡς ἆθλον Ἡρακλεῖ καθίστασθαι πρῶτος, ὥσπερ οὐκ ἄλλο τι Ἡρακλέους πρῶτον ποριζόντος, ἢ γῆν ἅπασαν ἐκκαθᾶραι λέοντος· ὧν γὰρ αὐτὸς ἑαυτῷ προοίμιον ποιεῖται τῶν ἄθλων, πᾶσι νομοθετεῖ διαφθεῖραι τοὺς λέοντας, καὶ τὸ μεῖζον εἰς μέμψιν ἀνελὼν Ἡρακλῆς λαθεῖν οὐ προείλετο· κομίζει δὲ πανταχῇ τὴν δορὰν καὶ περίκειται δείξαι προαιρούμενος ἅπασιν, οἷα δρᾶσαι προσήκει τοὺς λέοντας· καὶ τὸ γεγονὸς ἐξ ἑνὸς τοῖς ἔπειτα καθίσταται νόμος, ὅθεν Ἥρα μὲν ἀνίησι λέοντα, κτείνει δὲ προσπεσὼν Ἡρακλῆς, καὶ διαφθείρας τοῦτο κοινῇ πᾶσι νομοθετεῖ· λέων τοίνυν ὡς ἐπὶ κατηγορίᾳ τῆς κομιζούσης γέγονε φύσεως· προῆλθε μὲν γὰρ ἐπὶ βλάβῃ κοινῇ, καὶ τὸ σῶμα φέρει τοῦ μηδὲν ἔχειν ἐπαινούμενον γνώρισμα· τοῖς μὲν γὰρ ἄλλοις τῶν ζώων ἡ φύσις ἔν γέ τι δίδωσιν ἐπαινούμενον γνώρισμα, ἢ βιοῦσιν ἢ τελευτήσασιν, ἐλάφῳ τὸ κέρας εἰς τόξον ἀναιρουμένῳ, τὴν βύρσαν βοῒ περιῆψεν ὠφελοῦσαν ἐν μάχαις·

1 Cod. σημαῖνον.

προβάτοις τὰ πρόκαλύμματα· ἤδη τις καὶ σῦς ἀναιρουμένη ὤνησε· πεσὼν γὰρ εἰργάσατο τράπεζαν, καί τι μὲν ὑπάρχει πολέμιος, ἄνησε δὲ δαπανώμενος· ἕτερα[3] τραπέζης ἡ φύσις ἀπηλλοτρίωσεν, ἀλλὰ χρήματα φέρειν περιόντα ποιεῖ, καὶ πονοῦντα τὸν βίον ὀνίνησιν, ὧν ἀναιρουμένων τρέφειν οὐκ ἔγνωκε, καὶ ὅλως τῶν ἀλόγων ὁ βίος ἐφ' ἑκάτερον φέρει τὸ κέρδος περιὸν ἢ δαπανώμενος· μόνος δὲ τῶν ὄντων ὁ λέων οὐδὲν προῆλθε τοῖς ἀνθρώποις ὠφέλιμος· οὐ κέρας οἶδεν ἄγειν ὡς ἔλαφος, οὐκ ἀσπίδα ποιεῖ ὡς βοῦς, οὐκ ἀνεῖται θεοῖς, ὡς κάπρος ἀναιρεθείς, οὐκ ἔποχον ἄνθρωπον ὡς ἵππος ἐκόμισεν· οὐ φόρτον διήγαγεν ὡς ἡμίονος, ἀλλ' ἄχρηστόν τι καθάπαξ φανὲν ὤνησε μὲν οὐδεπώποτε, λυμαίνεται δὲ τοὺς προστυχόντας, καὶ ταὐτὸν ἔδοξε λέοντί τε ἐντυχεῖν καὶ κατηγορεῖσθαι τὴν τύχην· καὶ τί δεῖ τὰ πολλὰ διελθεῖν, ἀλλ' ὥσπερ εἰς κοινὸν ἀνθρώπων φόνον καθεστηκὼς εἰς ἀναίρεσιν θηρᾶται τῶν πονηρῶν, καὶ πυρὶ μὲν ὁρᾷ παραπλήσιον, κομᾷ δὲ πρὸς φόβαν, κἂν ἀναιρεῖν κατοκνήσειε, τὴν οὐρὰν διεγείρει πρὸς θάνατον· καὶ πολλὰ βλάπτειν εἰδὼς ἕν γέ τι κέρδος τῷ βίῳ παρέχεται, τὸ προσάπαξ τεκεῖν· εἶτα τίς αὐτῷ παραθήσει τὸν σῦν; ἀλλ' ὁ μὲν εὐωχίαν πληροῖ, διαφθείρει δὲ λέων τὸν βίον· ὅσῳ δὴ τὸ[3] ζῆν τοῦ μὴ τοῦτο ποιεῖν ἄμεινον, τοσούτῳ λέοντος ἀμείνων φανήσεται σῦς. Εἰ μὴ παρῃρεῖτο τὰ πλῆθος ὁ φόβος, προῆλθεν ἂν εἰς μῆκος ὁ λόγος. οὕτω λέων καὶ πρὸς μόνην μνήμην ἐλθὼν φοβήσας ἠδίκησεν.

6. Ψόγος ναυτιλίας.[1]

Δεῖγμα τῆς αὐτῶν πονηρίας ἐκφέρουσιν οἱ τὸ πλεῖν προσιέμενοι· οἷς γὰρ τιμῶσι τὰ πονηρότατα πονηροὶ καταφαίνονται· πολλῶν γὰρ πονηρῶν γεγονότων, οὐκ

2 Cod. ἑτέραν. 3 Cod. τοὔζῆν. 1 Cod. ναυτηλίας, constanter.

Digitized by Google

οἶδα εἴ τι ναυτιλίας φανεῖται δεινότερον· ὅθεν ἔλεγχον τὸν εὑρόντα θεὸν ἐποιήσατο· προῆλθε γὰρ φαυλοτάτης θεοῦ καὶ Ποσειδῶνος ὀφθεῖσα τὴν τοῦ δείξαντος ἐμιμήσατο φύσιν· ὅ τε γὰρ Ποσειδῶν ἐπαχθέστατος, ἥ τε ναυτιλία τοιαῦτον δοκεῖν αὐτὸν παρεσκεύασεν, ὅθεν ἴσος γεγονὼς τῷ Διὶ τῆς ἴσης αὐτοῦ παῤῥησίας οὐ κεκοινώνηκεν, ἀλλ' εἰς ἔριν αὐτῷ καταστὰς, τὴν ναυτιλίαν ἀντ' ἄλλης τινὸς κακοπραγίας ἐκτήσατο, καὶ νικώμενος κατοικεῖ τὴν θάλασσαν, ὡς ὄνειδος ὂν τῷ θεῷ, θάλατταν οὐρανοῦ καταλλάξασθαι, καὶ γενομένη φαύλου θεοῦ χῶρον ἔσχεν εἰς τέχνην ἀσταθμητότατον· τῶν μὲν γὰρ ὄντων ἕκαστον ἑαυτοῦ γίνεται κύριον, θάλαττα δὲ τοῖς βιαζομένοις ὑπόκειται πνεύμασι, καὶ τῇ τῶν ἀνέμων ἐμβολῇ μετατίθεται· καὶ ναυτιλία γενομένη περὶ τὴν θάλατταν φαύλους τοὺς χρωμένους ἀποτελεῖ, πρὸς ἄλλην ἄλλοτε πόλιν μετάγουσα· ναυτιλία τοίνυν μένειν μὲν ἐφ' ἑνὸς οὐκ ἐπίσταται, μεταμείβειν δὲ ἐξ ἑτέρου χώρου χῶρον εἰς ἕτερον, καὶ τὴν πονηρίαν τῇ μεταβολῇ τῶν χωρίων παιδεύεται· πᾶν εἴ τι φαῦλον ἐξ ἑκάστου μανθάνουσα, καὶ δύο περιπίπτει τοῖς ἐσχάτοις ὀνείδεσι, θράσει καὶ δέει· δι' ὧν μὲν γὰρ ἄρτι παθεῖν προσδοκᾷ, τὸ δέος ὑφίσταται, οἷς δὲ φέρει τὸν κίνδυνον, καὶ τὸ θράσος ἐνδείκνυται, ἔπειτα καλοῦσι θεοὺς ὑπερορῶντες θεῶν· καλεῖ μὲν παρὰ τὴν θάλατταν, ὑπερορᾷ δὲ παρὰ τὴν ἤπειρον τῇ μεταβολῇ τοὺς θεοὺς ἀτιμάζουσα· καὶ περιορῶσα μετὰ τὸν πλοῦν, ἅπερ ἐπικέκληκε πλέουσα, κατεπιορκεῖ μὲν τῶν θεῶν ἐρῶσα τοῦ κέρδους, αἰτεῖ δὲ θεοὺς σωθῆναι σπουδάζουσα, καὶ τοσοῦτον αὐτῇ τῆς αἰσχροκερδίας περίεστιν, ὡς ὄνομα αὐτῇ καταστῆναι τὸν πόρον· ἔπειτα βίου καὶ τελευτῆς ἐν μέσῳ χωρεῖ, καὶ παρὰ τὸν βίον θάνατον ἔχει τὸν ἐλπιζόμενον, κἂν τεθνάναι συμβῇ, τάφον ἀνεῖλεν, ἐξ ἧς μόνος οἶδε συγκρύπτειν τὸν θάνατον, καὶ τὸν μὲν βίον μένειν οὐ συγ-

Digitized by Google

χωρεῖ, στερίσκει δὲ τάφου τὸν θάνατον, καὶ τὸ δὴ χαλεπώτατον, διπλῆ τελευτὴ τοῖς ἐν θαλάττῃ γίνεται πίπτουσι· ψυχῆς γὰρ πέρας ὑπάρχει καὶ σώματος· εἶτα τίς αὐτῇ γεωργίαν παραβάλλοι; ἀλλὰ γεωργία μὲν βίον ἀκίνδυνον, καὶ θάνατον εἴληχεν ἔντιμον, ναυτιλία δὲ κατ' ἄμφω λυπεῖ, καὶ βιοῦντας καὶ πίπτοντας· ὅσῳ δὲ κρεῖττον ἐπ' ἀμφοῖν εὖ ποιεῖν, ἢ κατ' ἄμφω λυπεῖν, τοσούτῳ γεωργία ναυτιλίας ἀμείνων. Οὐχ ὅσα λυπεῖ τὸν βίον ἡ ναυτιλία διεξελήλυθα.

7. Ψόγος δρυός.

Κατηγορεῖσθαι παρέχει τὴν γῆν βιαζομένη δρῦς ἀπὸ γῆς προελθεῖν, ὥσπερ γὰρ τὴν γῆν μητέρα δεῖξαι τῶν κακῶν ἐθελήσασα συναριθμεῖται τοῖς ἀπὸ ταύτης ἡ δρῦς· προῆλθε τοίνυν Διὸς μὲν τῷ δοκεῖν. οὐ μὴν ὡς ὅσα τῆς γῆς ἐπαινεῖται βλαστήματα, καὶ θεοῖς ἀνατίθεται· προῆλθε τοίνυν φοίνιξ Ἀπόλλωνος, Διόνυσος παρήγαγεν ἄμπελον, ἐλαία κατέστη τῆς Ἀθηνᾶς, ὅσα τῶν βλαστημάτων θαυμάζεται καὶ τιμᾶται θεοῖς· καὶ φυτὸν μὲν ἄλλο παρ' ἄλλου προῆλθε, δρῦς δὲ καθάπερ ἐπ' αἰτίᾳ τῆς γῆς βλαστάνουσα μὲν ἐν τοῖς ὄρεσι, κομῶσα δὲ παρ' αὐτοῖς προελθεῖν οὐ δεδύνηται, ὥσπερ μάρτυρας εὐλαβουμένη λαβεῖν κατηγορουμένης γενέσεως· δρῦς τοίνυν καρπὸν μὲν οὐκ ἔσχε φέρειν ἐκ φύσεως, ἃ δὲ κομίζει τοῖς ἀτιμοτάτοις ἐπιφέρει τροφήν· ἔπειτα πρόεισιν οὐδένα τιμᾶν τῶν ἀγώνων[1] παρέχουσα· πίτυς ἐτίμησεν Ἴσθμιον, δάφνη Πυθίοις γέγονε στέφανος, σέλινον τὰ Νέμεα, καὶ δι' ἐλαίας τοῖς Ὀλυμπίοις ὁ στέφανος. δρῦς δὲ τῶν ἀγώνων παρῄρηται· οὐ τιμᾷ τοὺς πόνους, οὐ παρ' ἑτέραν πρεσβεύεται γεγονυῖα πρὸς ναυπηγίας κατασκευήν. ὥσπερ εἰς κίνδυνον τοῖς χρωμένοις

1 Cod. ἀγόνων.

Digitized by Google

προέρχεται, καὶ πρὸς τοιαύτην ἡ δρῦς ἐλυσιτέλησε τέχνην· ἢ μελετᾷν οἶδε πρὶν συμβῆναι τὸν θάνατον, ἔπειτα κάλλους [2] οὐδὲν ἐκομίσατο· τὰ μὲν γὰρ ἄλλα τῶν δένδρων ἢ φαινόμενα φέρει τὸ κάλλος, ἢ τοῖς χρωμένοις γέγονεν ὄνησις· ἡ δὲ μετὰ τοῦ κέρδους τὴν ὥραν ἀγνοεῖ τῆς ὄψεως· εἶτα τίς ταύτῃ τὴν ἐλάτην παραβάλλοι; ἀλλ' ἡ μὲν σχεδὸν οὐρανοῦ ψαύει βλαστάνουσα· τὴν δὲ οὐκ ἔστι πλὴν μικροῦ προελθεῖν· ὅσῳ τοίνυν τὸ πολὺ προελθεῖν τοῦ βραχέος ἄμεινον κέκριται, τοσοῦτον ἐλάτη δρυὸς ἀμείνων καθέστηκεν. [3]Ἦν ἔτι περὶ δρυός, διελθεῖν, εἰ μὴ πέρας οὐκ ἦν τῶν ταύτης δεινῶν κατιδεῖν.

8. Ψόγος ἐλάφου.

Ὁ κατηγορῆσαι δειλίας ζητῶν λογιζέσθω τὴν ἔλαφον, ταὐτὸν γὰρ δειλίαν εἰπεῖν καὶ σημῆναι τὴν ἔλαφον· ὥσπερ γὰρ ἡ φύσις τύπον ζητοῦσα τοῦ δέους παρενεγκεῖν παρήγαγεν ἔλαφον, καὶ τὸ φανὲν προῆλθεν ἀνανδρίας εἰκών, καὶ τῆς ἀτολμίας γενόμενον σύμβολον δοκεῖ μὲν Ἀρτέμιδος, ἀνεῖται δὲ μόνον εἰς τὸ θηρᾶν τῇ θεῷ, τὴν οἰκειότητα τῷ κτείνεσθαι φέρουσα· καὶ γενομένη τοιᾶσδε θεοῦ διαιτᾶται μὲν ἐν τοῖς ὄρεσιν, οὐ τὰ σεμνότατα τῶν χωρίων τιμήσασα, δι' ἀνανδρίαν δὲ τὰ τῆς μάχης ἄμικτα στέργουσα· καὶ διαιτωμένη τοῖς ἀμίκτοις τῶν τόπων τιμᾶται μὲν πλείστοις ἐκ φύσεως· οἷς δὲ τετίμηται κρίνεται· πρῶτον μὲν γὰρ κέρας παρέσχεν ἡ φύσις τοὺς ἐναντίους ἀμύνεσθαι· ἡ δὲ ἀποδιδράσκει τὰς μάχας, ὡς ἀπορουῦσα, δι' ὅτου σωθήσεται· καὶ τοὺς μὲν ἄνδρας ὁπλίζει τοῖς κέρασιν, αὐτὴ δὲ τούτοις ἁλίσκεται· οἷς πάρεστι σώζεσθαι φθείρεται. Ἔπειτα μέγεθος εἴληφε σώματος, οὐχ ἵνα μεγάλα φοβῇ [1] τοὺς διώκοντας, ἀλλ' ἵνα τρέφῃ τοὺς θηράσοντας τὰ μέγιστα. καὶ πό-

2 Cod. κάλους. 1 Cod. φοβεῖ.

δας ἡ φύσις παρέσχεν ὀξεῖς, φυγῆς ἀφορμὴν διδοῦσα τὸ τάχος· οἱ πόδες ἀρκοῦσιν ἀντὶ μάχης, εἰς ἀναχώρησιν· οὐκ ἂν ἔσχεν Ἀχιλλεὺς ὕβριν Ἀγαμέμνονος πρέπουσαν, εἰ παρῆλθε τὴν ἔλαφον, ἀλλ' οὐδὲ ταύτην Ἡρακλῆς ἠξίου θηρᾶν, εἰ μὴ χρυσᾶς ἐπήνθει τοῖς κέρασιν· ὅθεν οὐρανὸς ἄρκτον μὲν ἔσχε καὶ λέοντα, καθιδρύσασθαι δὲ οὐκ ἠξίωσεν ἔλαφον. Εἶτα τίς αὐτῇ παραθήσει τὸν κάπρον; ἀλλ' ὁ μὲν οὐκ ἔχων ὅτῳ σωθήσεται μάχεται, ἡ δὲ λαβοῦσα δι' οὗ παρατάξεται φθείρεται· ὅσῳ δὴ τὸ θαρρεῖν τοῦ φυγεῖν αἱρετώτερον, τοσοῦτον ἀμείνων ἐλάφου προελήλυθε κάπρος. Ἐλάφοις ὅμοιος ὁ τιμῶν εἴη τὴν ἔλαφον.

9. Ψόγος δειλίας.

Ἔν τι τῶν αἰσχίστων τὴν δειλίαν δοκῶν προῆλθον ταύτης κατήγορος, δεδιὼς μὴ δόξω νοσεῖν ὃ κατοκνῶ καταμέμφεσθαι. Προῆλθε τοίνυν οὐδενὸς τῶν θεῶν, οὔπω γὰρ τις θεῶν κατέφανη περιδεής, ἀλλὰ τὸ πάθος ἔξω τῆς θεῶν καθίσταται φύσεως· εἰ γὰρ πάντα ποιοῦσι θεοί, καὶ δύνανται πράττειν ὁπόσα προῄρηνται, οἷς θαρροῦσι ποιεῖν, ἔξω δέους παντελῶς καθεστήκασιν· ἄλλος μὲν γὰρ ἄλλην αἰτίαν ἔσχε θεῶν· Ἄρης ὑπῆρξε θρασύτερος, Ἀφροδίτη ἀποβλέπει πρὸς ἡδονάς, ὁ Ζεὺς τοὺς τεκόντας ἀπήλασεν· κατηγορεῖται μὲν ἐφ' ἑτέροις τῶν κρειττόνων ὡς ἕκαστος· οὕπω δὲ δειλίας οὐδεὶς κατεγνώσθη θεῶν. ὡς ὅμοιον ὂν δειλίας κατηγορεῖν καὶ θεοὺς ἀλλοτριῶσαι τῶν κρειττόνων τῆς φύσεως. καὶ γεγονυῖα θεῶν ἔξω δειλία τῆς ἐκ τῶν θεῶν οὐ πέφυκε γίνεσθαι· δέος Ἡρακλῆς ἀγνοεῖ, Ἀχιλλεὺς οὐκ ἐπίσταται φόβον, τὸ δεδιέναι Σαρπηδόνος ἀλλότριον, ὁπόσοι θεῶν, τοσοῦτοι δέους ἐκτὸς καθεστήκασι· δειλία τοίνυν ἐφ' ἑκάτερον κακίζεται τρόπον καὶ βίου καὶ τελευτῆς·

Digitized by Google

ἀναιρεῖ μὲν γὰρ τὸν ἐπινοούμενον βίον, πραγματεύεται γὰρ κατηγορούμενον θάνατον, ὅσα θανάτου θαυμάζεται, ταῦτα δειλίαν ἠγνόησε· τὸ σὺν δόξῃ πεσεῖν οὐκ οἶδεν ὁ φόβος· εἶτα τὸ γεωργεῖν καὶ περαιοῦσθαι τὴν θάλατταν τὸ τῆς δειλίας οὐκ ἐπίσταται πάθος· ὅταν γὰρ δειλὸς, οὐκ ἐπιλαύνει νεὼς, καὶ τὸ γεωργεῖν ὡς δεινὸν ἀποστρέφεται· δειλίᾳ γὰρ καὶ τὰ μὴ δεινὰ δοκεῖ φοβερώτατα· λαμπρότατοί εἰσι τοῖς τιμῶσιν οἱ πόλεμοι, δέος πολέμου παντελῶς ἠλλοτρίωται, καὶ δεδιέναι παθεῖν εἰ περιῆν, τὸ πολεμεῖν οὐδενὶ κατελείπετο· δέος μὲν γὰρ μάχης ἀναίρεσις, πολέμου δὲ φόβος ἀλλότριος· καὶ δεδιέναι τοὺς μαχομένους οὐ κατέλιπε πόλεμος, κἂν ὁ πόλεμος δεδιέναι ποιῇ παθεῖν, οὐκ ἐᾷ τὸν μαχόμενον· πενία κακὸν ἐκ τοῦ δέους προέρχεται, μέγα τι πλοῦτος ὁ τοῦ δέους ἀλλότριος· καὶ τοσαύτην δειλίας πονηροτάτοις ἐργάζεται γένεσιν, ὅσην ἀγαθῶν ἐπιφέρει φυγή· ἤδη καὶ βῆμα διὰ δειλίας τοῦ λέγοντος ἔρημον, ῥήτωρ δεδιὼς οὐκ ἔσχεν εἰπεῖν ὅσα βεβούλευται· κἂν φιλοτιμεῖται τὴν εὐπορίαν ἡ φύσις, ἀφεῖλε τὴν παῤῥησίαν ὁ φόβος. Δουλείᾳ κακὸν ἐκ δειλίας εἰσέρχεται· τὴν ἐλευθερίαν θαυμάζομεν, ὅτι θάρσος παρέχεται, ὁπόσα τῷ δέει πολεμεῖ καὶ τετίμηται· εἶτα τίς αὐτὴν μοιχείᾳ παραβάλλοι; ἀλλὰ τὸ φαῦλον τολμᾶται πρῶτον, εἶτα κακίζεται, καὶ παραμυθεῖται ῥώμη τὴν ἐπιχείρησιν· ὅσῳ δὴ τὸ θαῤῥεῖν τοῦ προσάπαξ κρατεῖν ἄμεινον, τοσούτῳ δειλία μοιχείας δεινότερον. Λήγειν οὐκ ἐθέλω τῆς περὶ δειλίας διαβολῆς, μὴ δόξω τὸ πάθος ὑφίστασθαι.

10. Ψόγος πολέμου.

Εἰ περὶ πλείονος τοῖς ἀνθρώποις ὁ βίος καὶ περιεῖναι μᾶλλον ἢ πεσεῖν ἢ σπουδὴ, κατηγορητέον πολέμου τοῦ μένειν ἡμῖν οὐκ ἐῶντος τὸν βίον. Προῆλθε μὲν γὰρ

ὁ

ο πόλεμος Ἄρεος, φαυλοτάτου θεοῦ, κατήγορον ἔχων πρὸ τῶν ἄλλων τὸν φύσαντα, καὶ γενόμενος πόλεμος Ἄρεος τρέφεται μὲν τοῖς κατὰ Ἄρην[1] δυστυχήματα πολέμου τροφή τε καὶ γένεσις. Διαιτώμενος δὲ τὰ φαυλότατα, ὧν προσάψεται διαφθείρει παντάπασιν, ὥσπερ οὐκ ἐνὸν πολέμου φανέντος ἀκαιρίαν διαφυγεῖν· ἅπαν τοίνυν, ὃ γεγενημένον κακίζεται, πολέμῳ προέρχεται, καὶ πρῶτον μὲν, ὅθεν ἀνθρώποις ὁ βίος, ἀναιρεῖ· καταστᾶσα γὰρ περιεῖναι δίδωσι γῇ, ἔπειτα τέμνων ὅθεν ὁ βίος, ἐπ' αὐτὸν χωρεῖ τὸν βίον ὁ πόλεμος, καὶ πρὸ τῶν σωμάτων ἀναιρεῖ τοὺς καρπούς· ἔπειτα τοῖς καρποῖς συνδιαφθείρει τὰ σώματα, κοινὴν ἅπασιν ἐπιφέρων ἀναίρεσιν καρποῖς, καὶ μετὰ τούτους τοῖς σώμασιν· εἶτα σύμμαχον τὸ λυμαῖνον ἅπαν ἐκτήσατο, καὶ σιδήρῳ μὲν τέμνει, πυρὶ δὲ δαπανᾷ τὰ προσπίπτοντα· ἃ παρῆκεν ὁ σίδηρος, τὸ πῦρ ἐδαπάνησεν· εἶτα βωμοὶ καὶ νεὼ τῶν θεῶν ἀνεστήκασι μὲν ἐν ταῖς πόλεσι, πίπτουσι δὲ παρ' οἷς ἂν ἐπιγένηται πόλεμος· ὥσπερ Ἄρεος οὐδὲν νεανικὸν ἐπιφέροντος, εἰ μὴ θεοὺς σὺν ἀνθρώποις λυμήνηται, καὶ τὰ θεῶν ἀναιρῶν πόλεμος τοῖς τῶν προγόνων τάφοις ἐνύβρισε, καὶ κοινὴν ἅπασιν ἐπιφέρει τὴν βλάβην τοῖς πάσχειν οὐκ εἰδόσι θεοῖς. ἔπειτα συμφορὰς κατὰ γένος ἐργάζεται, τάφον μὲν ἐπάγων ἀνδράσι, γυναιξὶ δὲ χηρείαν,[2] ὀρφανίαν δὲ τοῖς λειπομένοις τῶν παίδων· οὕτω δ' ἂν εἴ τι δεινὸν πόλεμος ἐπιφέρει τοῖς στέργουσι, καὶ τὸ τελευτᾷν δεινὸν γεγονὸς ἐπὶ τοῦ πολέμου δεινότερον φαίνεται· εἶτα τίς αὐτῷ παραβάλλοι τὴν εἰρήνην; ἀλλ' εἰρήνη μὲν φυλάττει τὸν βίον· ἀναλίσκει δὲ διαφθείρων ὁ πόλεμος· ὅσῳ δὴ κρεῖττον περιεῖναι τοῦ πεσεῖν, τοσούτῳ εἰρήνη πολέμου ἀμείνων. Οὐκ ἦν ἅπαντα τὰ τοῦ πολέμου κακὰ διελθεῖν, ὅθεν ἐπιφέρω τὸ πέρας.

---

1 Ἄρην abest a codice. adjeci sensu simile quid postulante. 2 Cod. χειρίαν.

II. Ψόγος χειμῶνος.

Ἐνεργεῖς ἡμᾶς παρασκευάζει χειμὼν καὶ ταῦτα κώλυμα γεγενημένος τῶν ἔργων· κατηγορούμενος γὰρ ἐργάζεται πόνους, οὓς ἰμᾷν οὐ κατέλιπεν. Προῆλθε τοίνυν χειμὼν τοῦ χρόνου, καὶ τοῦ χρόνου φανεὶς ἐναντία τῷ πατρὶ πραγματεύεται, χρόνος μὲν γὰρ ἅπαντα ἀφύειν ἐπίσταται, χειμὼν δὲ πάντα λήγειν ἠνάγκασεν· οἷς οὖν ἐναντία τῷ τεκόντι χειμὼν ἀπεργάζεται, τὸν χρόνον ἔχει κατήγορον, καὶ δι' οὗ φύεται κρίνεται· καὶ χρόνου γεγονὼς ὁ χειμὼν παρὰ τὰ φαυλότατα διαιτᾶται τῆς χῆς· Θρᾷκας οὖν αἱρεῖται καὶ Σκύθας, καὶ τρόπον ἐπ' αὐτοῖς ἀποφαίνει φαυλότατον· οἷς γὰρ ὁ χειμὼν ἀεὶ παρ' αὐτοῖς, βαρβάρων ἁπάντων εἰσὶν ἀγριώτατοι, καὶ θηρίων οὐδὲν ἐξαλλάττουσι τῷ χειμῶνι συζῶντες, ὥσπερ ἐκλειπούσης τῆς κοινῆς φύσεως τοῦ χειμῶνος τιμήσαντος· χειμὼν τοίνυν ἅπρακτον ποιεῖ τῶν στοιχείων ἕκαστον, πρῶτον μὲν γὰρ ἅπλους τοῖς ἀνθρώποις ἡ θάλαττα, καὶ δι' ὧν ὁ πολὺς καθίσταται πόρος, ἐκ χειμῶνος ἀνῄρηται γεωργοῦσι καὶ πλέουσιν· ἀνόνητον γὰρ καταλείπει[1] τὴν γῆν, τὴν ἐργασίαν αὐτῆς[2] ἀναιρῶν· οὐρανὸν ἐπὶ τούτοις ὁ χειμὼν τὰ θαυμαζόμενα παραιρεῖται τῶν ἄστρων, ὥσπερ οὐδενὸς ἀνεχομένου μὴ τοῖς χειμῶνος μαρτυρῆσαι κακοῖς, οὐ θαλάττης, οὐ γῆς, οὐ πρὸς αὐταῖς οὐρανοῦ· καὶ μὴν αὐτὸ τοῦ χειμῶνος τὸ κάλλιστον ἐκ χειμῶνος διέφθαρται· οὗ μὲν γὰρ πρόσοψις χιόσι συγκρύπτεται, θαλάττης δὲ κάλλος ἀχλὺν ὑποδέδυκε, θεαταὶ δὲ τῶν οὐρανοῦ θεαμάτων οὐ καθιστάμεθα· καὶ οὐ μόνα ταῦτα κατηγορίαν παρέχει χειμῶνος, ἀλλ' ἔτι πρὸς τούτοις ἐκπόδων αἱ πολέμου λαμπρότητες· ἀγῶνες δὲ πρὶν τοῦ χειμῶνα[3] λήγειν οὐκ ἐπίστανται φαίνεσθαι. λήγουσι μὲν γὰρ ἀρχομένου χειμῶνος, ἄρχονται δ' αὖθις

1 Cod. καταλίπει. 2 Cod. αὐτοῖς. 3 Cod. χειμῶνος.

Digitized by Google

ἐκείνου λήγοντος, ὥσπερ ἐναντίαν αὐτοὶ πρὸς τὸν χειμῶνα φερόμενοι φύσιν· ἔπειτα τέχνας ἀφαιρεῖται κρυμὸς, καὶ πρὸς μόνην ἄγει τὴν τρυφὴν ὁ χειμών, καὶ τὸ πάντων ἐναντιώτατον δαπάνην μὲν πλείστων ποιεῖται χειμῶν, ὡς πρᾶξαι διδοὺς, δι' ὧν εὐπορήσουσιν, ἀπραξίας δὲ ποιητὴς καταφαίνεται, ὡς ἀγνοήσας τὸ δαπανᾶν· ἀλλὰ μὴν καὶ θανάτους πάντως ἐργάζεται, ἢ γὰρ τελευτῶσι βιοῦντες, ἢ προαιροῦνται τοὺς πόνους οὐ τελευτήσαντες· καὶ τὸν βίον οὐκ ἀφαιρούμενοι τῶν κειμένων οὐδὲν διαλλάττουσιν, οἷς πονεῖν οὐ δεδύνηνται, καὶ θανάτου βίος ἐκ χειμῶνος οὐδὲν διενήνοχεν· οὕτως πάντα θανάτῳ τὰ τοῦ χειμῶνος προσέοικεν· εἶτα τίς αὐτῷ παραθήσει τὸ θέρος; ἀλλὰ θέρος μὲν πάσας εἰς πόνους ἄγει τὰς τέχνας, χειμὼν δὲ πάσης τέχνης ἀλλότριος· ὅσῳ δὴ τὸ πονεῖν κρεῖττον τοῦ μηδὲν ἐξεργάζεσθαι, τοσούτῳ τῆς ἀπραξίας χειμῶνος καὶ τοῦ θέρους διενηνόχασι πράξεις. Λήγειν δέδοικα λέγων τῶν χειμῶνος κακῶν, μὴ δόξω παθεῖν ἃ χειμὼν ἀπεργάζεται.

Cap. X.

1. Σύγκρισις Ὀδυσσέως καὶ Νέστορος.

Ἀμφοτέρους μὲν ἐπαινομένους ἡ Τροία κατεῖδεν, Ὀδυσσέα καὶ Νέστορα· τίθεμαι δὲ ὅμως τῷ Νέστορι, κἂν Ὀδυσσεὺς κρατῇ [1] πρὸς ἀμφότερα, πολεμῶν ἅμα καὶ βουλευόμενος. Γεγόνατον τοίνυν ἄμφω θεῶν· ὅ τε γὰρ Ὀδυσσεὺς ὑπῆρχε Διὸς, ὅ τε Νέστωρ Ποσειδῶνος ἐτύγχανεν· ἀδελφοὶ δὲ γεγονότες ἀδελφὰς ἔσχον ἐν τῇ Τροίᾳ τὰς ἀρετὰς, καὶ γεγονότες θεῶν παραπλησίως ἐτράφησαν, ὅ τε γὰρ Ὀδυσσεὺς ὑπὸ Λαέρτῃ σεμνότατα τρέφεται, τροφῆς ἑτέρας παρὰ τὴν γονὴν οὐ δεόμενος· ἀλλ'

1 Cod. κρατεῖ.

Digitized by Google

ὁ μὲν προῆλθε καὶ τραφεὶς ἐθαυμάζετο, καὶ τὴν αὐτὴν ἔσχε βίου καὶ τροφῆς ἐπίσης ἀρχήν· ὅ τε δὴ Νέστωρ ὑπὸ Νηλεῖ τῷ τεκόντι τραφεὶς τὴν τοῦ τεκόντος τροφὴν ὑπερέβαλεν· οὐ γὰρ ὅτι Νηλέως κατεφάνη χρηστὸς, ἀλλ' ὅτι Νέστωρ ὁ Νηλεὺς ἐκηρύττετο, καὶ τραφέντες ἐπίσης ἀμφότεροι παρὰ τοὺς ἄνδρας ἐπέδειξαν, ἃ παῖδες ὄντες ἤσκησαν. Τῷ τε γὰρ Ὀδυσσεῖ μελέτη παιδὸς τὰ σοφὰ διαιτήματα· τῷ Νέστορι παρὰ τὰς ἐκκλησίας εὐδοκιμεῖν ἐκ παιδὸς κατεβάλλετο, καὶ παῖς ἑκάτερος οἷος ἀνὴρ ὢν ἐθαυμάζετο, προκηρύττων μὲν τῇ παιδείᾳ τὸ μέλλον, βεβαιῶν δε τὴν παιδείαν τοῖς ἔργοις· ἄμφω δὲ προελθόντες εἰς ἄνδρας τὴν ἀρετὴν κρίνειν ἐπὶ πλέον δεδώκασιν· ὅσῳ γὰρ καθάπαξ ἐπὶ πλέον εἰργάσαντο, καὶ τὴν ἡλικίαν ἔργων ἔσχον ἐξέτασιν· εἶτα Ἡρακλῆς Μεσσήνην ἑλὼν Νηλεῖ παραδίδωσιν, ὁ δὲ εἰς ἀρχὴν καταλείπει τῷ Νέστορι· καὶ τί δεῖ τὰ πολλὰ διελθεῖν; ἀλλ' ἐπὶ Τροίαν καθίσταται πόλεμος, ὥσπερ εἰς ἔλεγχον τῆς ἀρετῆς ἑκατέρου γενόμενος· καὶ πρότερον μὲν Ὀδυσσεὺς ζεύξας τοὺς μὴ προσήκοντας μανίας ἐσχηματίζετο πάθος ποιούμενος κώλυμα· Νέστωρ δ' ἐμποδὼν εὑρὼν εἰς παράταξιν τὸν χρόνον τῆς ἀρετῆς ἐμποδὼν οὐ πεποίηται, προθυμότερος μὲν τῆς ἡλικίας ὀφθεὶς, ἐρρωμενέστερος δὲ τοῦ χρόνου γενόμενος, καὶ καινὸν τῇ Τροίᾳ καθίστατο, Νέστωρ μετὰ πολιᾶς εἰς ἀγῶνα χωρῶν, καὶ μᾶλλον ἐξέπληττε Τρῶας Νέοτωρ ἀγωνιζόμενος, ἢ μετὰ τῆς ἀλκῆς Ἀχιλλεὺς πολεμῶν· ὅθεν Ἀγαμέμνων εἰς εὐχὴν καταστὰς ἐν Τρωσὶ δέκα μᾶλλον γενέσθαι Νέστορας προβαλεῖν δεῖται θεῶν, ἢ κατ' Ἀχιλλέα γενέσθαι τοσούτους, καὶ μετὰ μὲν τῆς Νέστορος βουλῆς Ἀγαμέμνων εἶλε τὴν Τροίαν· μετὰ δὲ τῆς ἀκμῆς τῆς Ὀδυσσέως οὐ παρεστήσατο. Καὶ τί δεῖ τὰ πρὸ τῆς Τροίας εἰπεῖν; ἐπειδὴ παρῆσαν ἐπὶ τῆς πολεμίας ἅπαντες Ἕλληνες, ἐνόσει μὲν ἅπαν τὸ Ἑλληνικὸν, ἔλυε δὲ τὴν ἀπορίαν ὁ

Digitized by Google

Κάλχας εἰς μέσον ἐλθών, καὶ χαλεπήνας ἐπ' αὐτοῖς ὁ κρατῶν, ἀφῃρεῖτο μὲν τὸν Ἀχιλλέα τὴν δωρεάν, στάσις δὲ ἦν τὸ λοιπόν· καὶ στασιαζόντων τῶν ἄκρων ἐν Ἕλλησιν, Ὀδυσσεὺς μὲν καθῆστο σιγῇ, Νέστωρ δὲ τὴν στάσιν ἀνέκοπτε, φωνὴν ἀφιεὶς τοῦ μέλιτος ἥδιον· εἶτα Νέστωρ μὲν ἐν τῇ Τροίᾳ παρὼν συναγωνιζόμενον ἔσχεν Ἀντίλοχον, τῷ δὲ Τηλέμαχος μὲν ἐπὶ Τροίας οὐκ ἦν, ἀλλ' ἐπὶ τῆς Ἰθάκης ὑπὸ τῶν μνηστήρων ἐπεβουλεύετο· κἄτα θορύβου πρὸς ἐκκλησίαν γεγονότος Ἑλληνικὴν, τοσοῦτον Ὀδυσσεὺς ἐκκλησιάζοντας ὤνησεν, ὅσον Θερσίτην ἀνακόψαι ληρήσαντα· καὶ τὰ τῆς Ὀδυσσέως ἐκκλησίας καλὰ Θερσίτης σιγῶν, ἢ παρὰ τὴν μάχην ὁ Σῶκος πεσὼν, καὶ πεσεῖν οὐκ ἔσχεν ὁ Σῶκος πρὶν Ὀδυσσέα παθεῖν· οὕτω τῆς πληγῆς ἀντεδίδοτο θάνατος, καὶ τῆς πληγῆς οὐ τῆς ἀρετῆς ὑπῆρχεν ἡ τελευτή. Νέστωρ δὲ πρὸς ἀγῶνα χωρῶν ἠπορεῖτο μὲν ἱππικῇ χρώμενος. Ἀλεξάνδρου δὲ προσβάλλοντος τὸν ἵππον ὁ μὲν πληγὰς ἀνεχαίτισε, τὸν δὲ ἐγκέφαλον ὑπέδυ τὸ τόξευμα, διαπορηθέντος δὲ τοῦ ζεύγους ἀπελύετο μὲν τὸ συνέχον ὁ Νέστωρ, προσιόντας δὲ διαφεύγει τοὺς Τρῶας. οὕτως οὔτε τῶν ἀγωνιζομένων ἀπελιμπάνετο, καὶ βουλῇ τὸ λυποῦν ἀπεδίδρασκε, καὶ Παλαμήδους Ὀδυσσεὺς κατέστη κατήγορος, βασκανίαν τὴν συκοφαντίαν ποιούμενος· Νέστωρ δὲ τὰ Διομήδους ἀντεπλήρου βουλεύματα, καὶ ὁ μὲν τοῖς στρατηγοῦσιν ἐπετίθει τὸ πέρας, ὁ δὲ στρατηγεῖν τοὺς σοφοὺς ἐγκατέλιπεν· ἐπειδὴ δὲ εἰς ἀγῶνα κατέστη ἅπαν τὸ τῶν Ἑλλήνων ἐν τοῖς ἀγῶσιν εὐδοκιμοῦν ἐπὶ κειμένῳ Πατρόκλῳ, κλοπῇ μὲν Ὀδυσσεὺς ἐνίκα τὸν Αἴαντα, Νέστωρ δὲ γήρως μετείληφεν οὐδὲν ἀγῶνος μετειληφώς· οὕτω τιμᾶται παρὰ τοῦ ἀγῶνος ἡ πολιὰ διὰ Νέστορος, καὶ τελευτῶν αἱρεῖ μὲν τὴν Τροίαν ὁ Νέστωρ, καὶ ταύτην ἑλὼν τριταῖος εἰς Πύλον ἀφίκετο, τῶν συμπλεόντων οὐδένα κατὰ πλοῦν ἐκβαλών· Ὀδυσσεὺς

Digitized by Google

δὲ Τροίαν ἑλόντων ἄλλων ἐφ' ἑτέροις κινδύνοις τοὺς ἑταίρους ἐλύπει, κἀκ τοῦ θαλασσίου[2] θεοῦ πλέων ἐπεβουλεύετο, ὀψὲ δὲ τὴν Ἰθάκην τεθέαται, ἀντὶ πολίτου φανεὶς πένης καὶ τὴν οἰκίαν ἀπαλλάττει τῶν δυσχερῶν ἐν ἑτέρῳ προσχήματι. Πολλὰ ἦν ἕτερα περὶ ἑκατέρων εἰπεῖν, εἰ μὴ τὸ πλέον ἡ ποίησις εἴληφεν.

2. Σύγκρισις Αἰσχίνου καὶ Δημοσθένους.[1]

Δημοσθένης εἰκὼν ἀρετῆς, ὥσπερ Αἰσχίνης κακίας παράδειγμα· καὶ τὴν κακίαν κατηγορουμένην[2] μᾶλλον εὑρήσομεν, ὅσῳ πρὸς Δημοσθένην ταύτην ἀντεξετάσομεν· κακία μὲν γὰρ ἀξία κατηγορεῖσθαι· ἀρετὴ δὲ δικαία θαυμάζεσθαι· πρὸς ἀλλήλας δὲ ἄμφω καθάπαξ παραβαλλόμεναι βεβαιότερον ὁμοῦ ἔπαινον ποιοῦσι καὶ ψόγον· οὔτ' οὖν Αἰσχίνης περὶ τοὺς πονηροὺς φανήσεται κάκιον, οὔτε Δημοσθένης ἐν τοῖς ῥήτορσιν ἄμεινον· γεγόνασι τοίνυν ἄμφω γῆς τῆς αὐτῆς, ὥσπερ ἐξελέγξαι τῆς τύχης τὴν Αἰσχίνου προῃρημένης κακίαν· εἰ μὲν γὰρ ἑτέρας Δημοσθένης ἐγεγένητο γῆς, καὶ τὴν ἀρετὴν, ἧς προῆλθεν, ἔχειν ἐδόκει, νῦν δὲ τῆς αὐτῆς γενόμενον πόλεως πᾶσαν ἀνεῖλε τὴν Αἰσχίνου παραίτησιν· ὅσῳ τοίνυν τὸ μιᾶς ἄμφω καθίστασθαι γῆς μίαν δὲ παρ' αὐτὴν ἀρετὴν μὴ φανεῖσαν ἐᾷ, τοσούτῳ Δημοσθένης τῶν Αἰσχίνου κακῶν προῆλθεν ἀλλότριος· καὶ γεγονότες ἄμφω γῆς τῆς αὐτῆς προγόνοις οὐχ ὁμοίοις ἐχρήσαντο· τῷ μὲν γὰρ στρατηγὸς ἐγεγένητο πρόγονος, τῷ δὲ πάππος ὅστις ἦν οὐκ ἂν ἔχοις εἰπεῖν, πῶς γὰρ τῷ μηδὲ ἐλευθέρῳ; ἔπειτα πατὴρ Δημοσθένει μὲν πρὸς ἐπιείκειαν γνώριμος· Αἰσχίνῃ δὲ τὴν πονηρίαν περιφανέστατος, χοίνικα περικείμενος, καὶ ξύλῳ παχεῖ προανακόπτων φυγὴν καὶ ἅμα

---

2 Cod. θαλασίου. 1 Idem thema tractavit Liban. p. 1000. ed. Reisk. 2 Cod. κατηγορούμενον.

Digitized by Google

τούτῳ τὴν πορείαν ποιούμενος, οὐδὲ τὴν προσηγορίαν ἐλευθέραν λαβὼν ἀτυχήματος, ἀπὸ τοῦ τρέμω Ἀτρόμητος [3] προρρηθείς, καὶ μήτηρ πατρὸς οὐ καταδεεστέρα πρὸς τὴν φαυλότητα, πρὸς ἄλλας ἄλλοτε μετιοῦσα τὰς ἡδονάς, καὶ κατήγορον ἐξ αὐτῶν ἐπεισφέρουσα· τελεῖν μὲν ὑποκρινομένη θεοῖς, τὰς δὲ τῶν τελουμένων οὐσίας καθαιροῦσα· ὅσῳ δὴ τὸ διεστάναι τοῖς γένεσι δηλοῖ τῶν παίδων τὸ προοίμιον, τοσούτῳ Αἰσχίνης Δημοσθένους καταδεέστερος, καὶ γεγονότες, ὡς ἔφην, οὐκ ἐφ' ὁμοίοις τοῖς φύσασιν οὐ παραπλησίως ἐτραφησαν· ὁ μὲν γὰρ εὐθὺς περιαιρεῖται πατρὸς ἐκ παιδὸς, καὶ τὴν ὀρφανίαν ὠφέλιμον ἔσχεν ἀτύχημα· τῶν γὰρ ἐπιτροπεύειν λαχόντων μεταστησάντων εἰς ἐπιβουλὴν τὴν ἐπιμέλειαν αὐτὸς ἑαυτῷ κατεφάνη πατὴρ, τῆς μὲν ἡλικίας ζητούσης τὸν ἡγησάμενον, αὐτὸς δὲ τοῦ χρόνου καταστὰς δυνατώτερος· ὁ δὲ γονεῦσι μὲν συνεξετάζετο τρέφουσά, καὶ τὴν τῶν τεκόντων εἰσήγησιν πονηρίας ἐλάμβανε δίδαγμα, δουλείαν μὲν γὰρ ἐκ πατρὸς, ἡδονὰς δὲ παρὰ τῆς τεκούσης ἐλάμβανε, καὶ τὴν δίαιταν ἀντηλλαγμένην εἰργάζετο· παῖς μὲν γὰρ ὢν συνδιῃτᾶτο τῷ φύσαντι, τῇ μητέρι δὲ ἀνὴρ ἤδη γενόμενος; καὶ σκευωρούσῃ τελετὰς [4]

---

3 Cod. ἄνος, quod solenne compendium est pro ἄνθρωπος. Scripsi Ἀτρόμητος. 4 Cod. τελευτάς. Ita Sopat. ζητήμ. p. 333. ὅναρ τις θεασάμενος τὴν τελετὴν, ἤρετό τινα τῶν μεμυημένων, εἰ ταῦτα εἴη, ἅπερ ἑώρακεν. Ald. et Vind. τελευτήν. Pausan. I. 37, 4. ὅστις δὲ ἤδη τελευτὴν Ἐλευσῖνι εἶδεν, ἢ τὰ καλούμενα Ὀρφικὰ ἐπελέξατο, οἶδεν ὃ λέγω. Riccard. τελευτήν. eraso v. ib. 38. 3. ὡς Ἐλευσινίους ἐς τὰ ἄλλα Ἀθηναίων κατηκόους ὄντας, ἰδίᾳ τελεῖν τὴν τελετήν. Par. Bekkeri. τελευτὴν. II. 14. 1. ἱεροφάντης δὲ οὐκ ἐς τὸν βίον πάντα ἀποδέδεικται, κατὰ δὲ ἑκάστην τελετὴν etc. Angel. τελευτήν. VII. 21. 2. ἐγίνοντο ἔκφρονες, καὶ ἡ τελευτὴ σφᾶς παραπλῆγας ἐπελάμβανε. Par. et Angel. τελετή. Aeschin. in Ctes. 130. οὐχ ἱκανὸν ἦν τὸ τοῖς μυστηρίοις φανὲν σημεῖον φυλάξασθαι, ἢ

Digitized by Google

τῇ μητέρι συνεπεβούλευε, καὶ περὶ τὰ θεῖα παρενόμει· οὕτως οὐδὲν ἀγαθὸν ἐκ πατέρων ἤδη λαβών, ἀλλ' ὃ γεγονὼς ἀνὴρ ἐλυμαίνετο, παῖς ὢν ἐκ πατέρων ἐμάνθανεν· ὅσῳ δὴ κρεῖττον οἴκοθεν ἔχειν, ἃ κακῶς ἐπετήδευε, τοῦ μαθεῖν ἐκ πατέρων τὰ χείριστα, τοσούτῳ κρείττων Αἰσχίνου Δημοσθένης ἦν καὶ τρεφόμενος· ὡς δὲ ἄνδρες ἐγένοντο, τοῖς μετὰ ταῦτα πραχθεῖσι τὸν πρότερον οὐ κατήσχυναν βίον· ὁ μὲν γὰρ ἦν εὐθὺς γραμματεὺς καὶ τὰ κοινὰ τῆς πόλεως ἐλυμαίνετο πράγματα, καὶ τριταγωνιστὴς ἐντεῦθεν ἐμάνθανεν, σκηνὴν καὶ δόλον πονηρίας ἔχων προοίμια, καὶ γραμματεύων μὲν ἠδίκει [4] τὴν καθόλου, τὴν δὲ σκηνὴν ὑποκρινόμενος κάκιον· ὀψὲ δὲ βήματος ἐπιβὰς, μᾶλλον δὲ χθὲς καὶ πρώην ῥήτωρ γενόμενος ὥσπερ εἰς ἀναίρεσιν πόλεως τὴν τοῦ δημηγορεῖν ἐπεδείκνυτο δύναμιν· καὶ πρεσβευτὴς μὲν αἱρεθεὶς Φωκέας ἀπέδοτο, συνήγορος δὲ Δήλου γεγενημένος ἐξέπιπτε, καὶ γραφὴν παρανόμων ἀπενεγκὼν Ῥόδον ἀντ' Ἀθηνῶν οἰκεῖν ἠναγκάζετο. καὶ φυγάδα τύχη κατέστησε πόλεως, ἧς προδότην ἑώρα γινόμενον· οὐ μὴν Δημοσθένης τοιοῦτος· ἀλλὰ μίαν ἐκ παιδὸς ἀσκησάμενος τέχνην τὴν αὐτὴν ἀσκῶν μέχρι παντὸς διαγέγονεν. καὶ κατηγόρει μὲν ἐπιτρόπων εὐθὺς ἐκ παιδὸς, ἀνὴρ δὲ γεγονὼς τοὺς τῆς πόλεως πολεμίους ἐγράφετο καὶ δημαγωγὸς καταστὰς ἆθλον τῆς τέχνης παρετίθει τοῖς Ἕλλησι τὴν αὐτὴν εὔνοιαν αὑτῷ καὶ πόλει καὶ παντὶ τῷ γένει τῶν Ἑλλήνων διατηρῶν, καὶ πόλεμον μὲν ἀντ' εἰρήνης ἐδέχετο, λυμαινομένην τὴν εἰρήνην ὁρῶν, ἡσυχίαν δὲ προετίμα πολέμων, ὅτε τὴν πόλιν ἠδίκουν οἱ πολέμιοι, τοῦτο ὅπερ ἔδοξε κἀν τῇ πατρίδι φανεὶς, καὶ

τῶν μυστῶν τελευτὴ, Bekkeri dghl. τελετή. In similitudine utriusque vocis ludit Plut. Fr. de An. VI. 2. 726. καὶ τὸ ῥῆμα τῷ ῥήματι καὶ τὸ ἔργον τῷ ἔργῳ τοῦ τελευτᾶν καὶ τελεῖσθαι προσέοικε.

4 Cod. ἠδίκη.

δουλεύειν μὲν οὐκ εἴα πολίτας, ἐκ περιουσίας τοὺς ἁλόντας ὑπεξαιρῶν· δουλεύειν δὲ τοὺς λοιποὺς οὐ κατέλιπεν Ἕλληνας, ἐκ δημηγορίας ἐλευθερίαν διατηρῶν, ἐξ ὧν στέφανοι μὲν αὐτῷ Βυζαντίων ἐγένοντο, τιμαὶ δὲ ἐκ πολλῶν ὑπερόριοι· καὶ στεφανοῦσθαι τῇ πατρίδι διδοὺς ἐστεφανοῦτο παρὰ ταύτης αὐτός. οὕτως ἀπολαύειν, ὧν μετεῖχεν, ἐποίησεν, καὶ κοινὴν παρετίθει τὴν ὄνησιν, ὧν τοὺς πόνους μόνους ὑφίστατο; καὶ βιοῖ μὲν ἐν τῷ τῶν Ἑλλήνων καλῷ, τελευτᾷ δὲ κάλλιον ἢ βεβίωκεν. Ὅσῳ δὴ κάλλιον ἐν εἰρήνῃ καὶ μάχῃ τὸ λυσιτελεῖν καὶ λυπεῖν πρὸς ἀμφότερα, τοσούτῳ Δημοσθένης ἀμείνων ἢ κατὰ τὸν Αἰσχίνου γεγένηται βίον. Βραχέα τῶν ὄντων ἑκάτερος εἴληφεν, οὔτε Δημοσθένης ἐπαινεθείς, οὔτε πρὸς ἀξίαν Αἰσχύνης ὀνηκοώς.

3. Σύγκρισις Ἡρακλέους καὶ Σαρπηπηδόνος.

Ἀρετὴν ἀρετῇ παραθεῖναι ζητῶν, ἀντεξέτασα τὰ Σαρπηδόνος τοῖς Ἡρακλέους, οὐ παθῶν τοῖς πολλοῖς παραπλήσια,[1] οὐδὲ Σαρπηδόνα τοῦ Ἡρακλέους δίδυος εἶναι καταδεέστερον· ἀλλ' ἄμφω μὲν τιμᾷν ἐγνωκὼς, θαῦμα δὲ διδοὺς ἀμφοτέροις οὐκ ἴσον. Προῆλθον τοίνυν ἄμφω γῆς οὐ μιᾶς· Ἡρακλῆς μὲν γὰρ κατεφάνη Θηβῶν, Σαρπηδὼν δὲ ὅθεν Λύκος ἦν ὁ Πανδίωνος· εἰ δὲ Πανδίων Ἀθήνηθεν, Θῆβαι δὲ τῶν Ἀθηνῶν[2] ἀπολείπονται, τοσοῦτον Σαρπηδὼν Ἡρακλέους διήνεγκεν, ὅσον Ἀθηνῶν πρὸς τὰς Θήβας τὸ μέσον. καὶ γεγονότες γῆς οὐ μιᾶς Διὸς μὲν ἄμφω προῆλθον· οὐ μὴν ἐπίσης ἀμφότεροι· προῆλθε μὲν γὰρ τοῦ Διὸς Ἡρακλῆς Ἀμφιτρύωνα ἀδικήσαντος· ὅσῳ δὲ κρεῖττον εἰς βίαν ἐλθεῖν παρανομοῦντος οὐδὲν τοῦ πατρὸς, τοσούτῳ κρείττων Ἡρακλέους Σαρπηδὼν καταφαίνεται, καὶ ἔτι πρὸς τούτοις Ἡρα-

1 Cod. παραπλεῖν. 2 Cod. Θηβῶν. de hac confusione vide ad Aphthon. p. 95.

Digitized by Google

κλέους μὲν ὁ Ζεὺς τεκὼν ἠττᾶτο τῆς Ἥρας, καὶ προάγειν τὴν τοκὴν ὁρῶν κατεψεύσατο, καὶ προοίμιον τῆς Ἡρακλέους γονῆς πατὴρ ὑπῆρχε συκοφαντῶν, [3] Σαρπηδὼν δὲ κατηγορεῖσθαι τὸν τρόπον οὐκ ἀφῆκε τὸν φύσαντα· καὶ γεγονότες ἄμφω Διὸς οὐ παραπλησίας ἐτράφησαν, τὸν μὲν γὰρ ἀδελφοὶ τρέφοντες ἤγαγον οἱ ζῆν ἐγνωκότες εἰς νόμους, ὁ δὲ παρὰ τὰ σπάργανα λυμαινομένην εἶχε τὴν Ἥραν, οὐδὲ τοῦ βίου προοίμιον ἔχειν συγχωρούμενος ἀκίνδυνον· Ἡρακλέους σπάργανα δρακόντων ἐπιβουλὴ καὶ πολεμοῦντες θεοὶ πρὸς ἄρτι φανέντα τὸν βίον. ὅσῳ δὴ κρεῖττον τὸ τραφῆναι πρὸς νόμους τοῦ πρὸς ἐπιβουλὴν τοῦ βίου κατάρχεσθαι, τοσούτῳ κρείττων [4] Σαρπηδὼν Ἡρακλέους φανήσεται· καὶ γεγονότες ὁμοίως καὶ τραφέντες, ὡς ἔφην, ἄμφω μὲν τῷ γένει προσήκοντα πράττειν εἵλοντο, οὐ μὲν ἴσα πεπράχασιν, ἀλλ' ὁ μὲν ὑπὲρ τῆς Διὸς θυγατρὸς ἠγωνίζετο, καὶ Τροίαν κατεῖδε προκινδυνεύουσαν τῆς Ἀσίας ἁπάσης, καὶ τοὺς κινδύνους αὐθαιρέτους ἐτίθετο γνώμῃ τὴν ἰσχὺν οὐκ ἀρχῆς ἀνάγκῃ τιθέμενος· ὁ δὲ ἐσχατιὰς περιήει τῆς γῆς, καὶ μῆλα νυμφῶν Ἑσπερίδων ἐκόμιζε, καὶ διέφθειρεν ὄρνις Ἀρκαδικὰς, [5] καὶ ἀγώνων ἀρχὴν ἀναιρούμενος ἐθέλοντα [6] λέοντα, καὶ τοὺς κάτω θεοὺς ἀφυλάκτους κατέλιπεν, ἀναγαγὼν τὸν Κέρβερον, καὶ θαυμάζειν οὐκ εἶα χρυσάκερων ἔλαφον, καὶ τοιούτους ἀνείλετο πόνους, ἐξ ὧν αὐτὸς μὲν ὑφίστατο κίνδυνον, ἡ δὲ χάρις ἄλλοις οὐκ ἐχώρει εἰς κέρδος· καὶ ὁ μὲν λαβὼν διέφθειρεν Εὔρυτον, ὁ δὲ ἐμφανῶς δουλείαν ἀναιρῶν ἐξῃρεῖτο τοὺς Τρῶας, καὶ ὁ μὲν ἄλλῃ μετ' ἄλλην συνῴκει γυναικὶ, καὶ Δηϊάνειραν ὁ τῆς Ἰόλης ἐγκατελάμβανε γάμος, ὁ δὲ μόνην ἠγάπα λαβεῖν, ἣν κατὰ νόμους παρέσχεν ὁ γάμος· καὶ τῷ μὲν θάνατος εὐκλεὴς

3 Cod. συγκοφαντῶν. 4 Cod. κρεῖττον. 5 Cod. ἄρκαικὰς.
6 Forsan: ἀναιρούμενον εἶδε τὸν λ.

πρὸς Τροίαν πεσεῖν, τῷ δὲ πέρας οὐκ ἐπαινετὸν πῦρ καὶ χιτὼν καὶ παρανομία γάμων παρανόμων ἀντιφέρουσα θάνατον. Ὅσῳ δὴ κρειττων συμμαχούμενος ἢ δουλείας κατεγνωκὼς, τοσούτῳ δὴ μᾶλλον Σαρπηδὼν Ἡρακλέους φανήσεται κρειττων, ἐφ' οἷς οὐδὲ Διὸς εἶναι παρὰ πᾶσιν ἐνομίζετο.

4. Σύγκρισις δειλίας καὶ ἀργίας.

Πονηρὰ πονηροῖς παρακείμενα τῇ παραθέσει δηλοῖ τὸ φαυλότατον· ἀργίαν τοίνυν κατηγορῆσαι ζητῶν πρὸς δειλίαν ἰδὼν παρὰ ταύτης ἀνθέλκομαι, καὶ κατηναγκασμένος ἀμφοτέρων κατηγορεῖν μᾶλλον τῶν ἀργῶν τοὺς δειλοὺς αἰτιάσομαι· καὶ τοῖς ἀνάνδροις τὸ πλέον προσθεὶς αἰτίας οὐκ ἀφήσω τὸ δεύτερον. Γεγόνατον οὖν ἄμφω κακίας, καὶ παρ' ἑκατέραις πονηρία γίνεται μήτηρ, ὃ τοσοῦτον ἠλλοτρίωται θεῶν, ὡς ἐν οὐρανῷ μηδὲ ἕτερον φαίνεσθαι· θεοὶ μὲν γὰρ ἅπαντα δύνανται, καὶ πᾶσιν ἐγχειροῦσι ῥᾳδίως, οἷς πάντα ποιοῦσι πρόχειρα· εἰ δὲ θεοῖς ἀνδρεία γίνεται σύμβολον, τὸ μὴ τοιοῦτον φανὲν τῆς θεῶν ἠλλωτρίωται φύσεως· καὶ δειλίαν θεῶν οὐκ οἶδε γένος· εἰς πάντα τολμᾷ θεοῖς οἶδεν ἡ φύσις, καὶ γεγονυίας δειλίας ἔξω θεῶν, συνηλλοτριώθη τῶν θεῶν ἀπραξία, τὸ γὰρ μηδέν τι ποιεῖν μόνοι τῶν ὄντων οἱ κρείττους οὐκ ἴσασι, καὶ τοσοῦτον αὐτοῖς τοῦ πάθους οὐκ ἔνεστιν, ὡς τοὐναντίον ὄνομα θεοῖσι καταστῆναι τὸν πόνον· οἷς γὰρ περιθέουσιν ἅπαντα θεοὶ προσερρήθησαν, καὶ οἷς ἐκ τοῦ θέειν προσηγωρεύθησαν, πάθος ἀργίας παντελῶς ἠγνοήκασι, καὶ γεγονότες ἀμφοῖν οἱ κρείττους ἀλλότριοι, μᾶλλον ἀργίας τὴν δειλίαν ἠτίμασαν· τὸ γὰρ μὴ τολμᾷν τοῦ μὴ ποιεῖν αἰσχύνη μείζων τοῖς κρείττοσι. τοσοῦτον οὖν ἡσυχίας θεοῖς ἀτολμία δεινότερον, ὅσον τῆς ἀνανδρίας ἀργία ἧττον ἔσται δεινόν· καὶ θεῶν οὐδένα τοῦ γενέσθαι φέρουσι

Digitized by Google

πρόφασιν, οἷς ἂν ὦσιν ἐν γῇ πάντα λυμαίνονται· καὶ τοὺς χρωμένους εἰς ἀναίρεσιν τῶν συνοικούντων ἔσχον αἱ πόλεις, οὐκοῦν ἔστιν οὐδεὶς, ὃς δειλίᾳ συζῶν πατρίδος κατεφάνη σωτήρ. ἀλλ' οὐδὲ ἀργεῖν προελόμενος ἐλπισθέντων δεινῶν προαναρπάζει πατρίδα, καὶ κατηγορουμένων ἀμφοτέρων ταῖς πόλεσι, μᾶλλον ἠδίκησαν οἱ δέει συζήσαντες· ἀργία τοίνυν ἑκατέρῳ καιρῷ τοὺς χρωμένους παρασκευάζει κακοπραγεῖν, ἐφ' ἡσυχίας μὲν γὰρ οὐκ ἐργάζεται τέχνας, ἐν πολέμῳ δὲ κατοκνεῖ τὴν πρᾶξιν· δειλία δ' αὖ ἀποδιδράσκειν μὲν καταναγκάζεται τέχνας ἐν πολέμῳ, τῶν δὲ λοιπῶν οὐδὲ καταπειρᾶται τεχνῶν, οἷς γὰρ οὐ θαρρεῖ τὴν ἑκατέρου καιροῦ πεῖραν ἀρνεῖται· καὶ τὸ μὲν ἀργὸν τυχὸν ἂν καὶ πονεῖν μετατίθεται, τὸ δὲ ἄνανδρον ἐγχειρεῖν καθάπαξ ἀδυνατεῖ, καί μοι σκόπει τὰς πόλεις, αἳ τὴν ἑκατέρου πάθους νενοσήκασι πεῖραν. Μεγαρεῖς τὴν ἀρχὴν οὐκ ἐθάρρησαν, καὶ τὸ τῆς Ἑλλάδος κρατεῖν ἐκ τῆς κατὰ φύσιν ἀφαιροῦνται δειλίας· Λακεδαιμόνιοι δὲ τὴν ἀργίαν νοσήσαντες ἐν μέρει μὲν γεγόνασιν ἄπρακτοι, μεταβάλλοντες δὲ τὴν ἀργίαν εἰς πόνους ὅλης Ἑλλάδος ἡγεμόνες κατέστησαν· ὅσῳ δὴ Μεγαρεῖς Λακεδαιμονίων ἀπελιμπάνοντο, τοσούτῳ δειλία τῆς ἀργίας δεινότερον. καὶ τὴν ἀργίαν οὐκ ἔστιν ὅστις καθάπαξ διέφυγεν, ἀλλ' ἐν μέρει κρατεῖ· καὶ παρὰ τοῖς πονοῦσι πάθος, δειλίαν δὲ μόνοι οἱ δυστυχήσαντες ἴσασιν· ὅσῳ τοίνυν τὸ μετὰ πονηρῶν προσεῖναι τοῖς ἀγαθοῖς τοῦ μόνοις τοῖς πονηροῖς προσεῖναι καθέστηκεν ἔλαττον, τοσούτῳ ἀργία τῆς δειλίας καταδεέστερον· ἔργον ἀναίρεσις ἀργίας γέγονεν ὄνομα, δέους δὲ κατηγόρημα δειλίας παρέσχετο κλῆσιν· ὅσῳ δὴ τὸ δεδιέναι τοῦ μή τι ποιεῖν ὑπάρχει δεινότερον, τοσούτῳ δειλία τῆς ἀργίας ἐστὶ χαλεπωτέρα· ἀργίαν ἀθλῶν ποτε ὑπέστη καὶ Ἡράκλῆς· ἔδεισε δὲ οὐδέποτε, καὶ τὸ μὲν πονεῖν ἐπέταξεν ὁ Ζεὺς τῷ παιδὶ, τὸ δὲ μὴ θαρρεῖν ὁ Διὸς οὐκ ἐπί-

Digitized by Google

σταται γένεσις. ἀλλ' ἐν ἀργίᾳ Ἡρακλῆς ἐπιτάγμασι τὸν τῆς ἀτυχίας διέσωζε τρόπον· οὕτω δειλία μὲν ἀλλοτρία θεῶν, ἀργία δὲ τυχὸν ἂν καὶ παισὶ κατεφάνη θεῶν· ὅσῳ δὴ τὸ παντάπασι χωρὶς εἶναι θεῶν χαλεπώτερον φαίνεται, τοσούτῳ ἀργίας δειλία δεινότερον. Ἱρούμην ἀργίας μηδέποτε λῆξαι κατηγορῶν, νῦν δὲ δειλίαν δέδοικα, μὴ παραθεῖναι μείζω ζητῶν δόξῳ διατρίβειν τοῖς πονηροῖς.

5. Σύγκρισις ναυτιλίας[1] καὶ γεωργίας.

Τὴν ναυτιλίαν πονηρὰν εὑρὼν τῇ παραθέσει τῆς γεωργίας πονηροτέραν ἐργάσομαι· προῆλθον μὲν γὰρ ἄμφω θεῶν, θεῶν δὲ οὐκ ἴσων, ἀλλ' ἡ μὲν Ποσειδῶνος ἀτιμοτάτου θεοῦ, καὶ τὴν θάλατταν ἀντ' ἄλλης τινὸς ἀτιμίας παρεχομένου πρὸς οἴκησιν· ἡ δὲ Δημήτηρ ἡμερωτάτη παρὰ τοὺς ἄλλους θεούς, καὶ πόρους ἀνθρώποις ἐξευροῦσα τοῦ βίου· καὶ τῇ μὲν ἡ γῆ τῆς ἐργασίας καθίσταται χῶρος, μένουσά τε ἀεὶ καὶ τὸ βέβαιον τοῖς ἐργαζομένοις εἰσφέρουσα· τῷ δὲ θάλαττα πρὸς τὴν τέχνην ἀνεῖται κτῆμα τῶν ὄντων ἀσταθμητότατον· καὶ πρὸς τὸ πνέον βιαζομένη καὶ μεταπίπτουσα· ὅσῳ δὴ θαλάττης διέστηκε γῆ, καὶ βίον εὑρεῖν ἢ βίον ἀνελεῖν κατέστηκεν ἄμεινον, τοσούτῳ γεωργία ναυτιλίας κρείττων καθέστηκε· καὶ γεωργία μὲν τοὺς χρωμένους δικαίους, ναυτιλία δὲ πονηροὺς δι' ἐπιμιξίας ἐργάζεται· θεοῖς μὲν γὰρ τὰ γῆς οἱ γεωργοῦντες ἀπάρχονται, κατεπιορκεῖν δὲ θεῶν ἐκ τῆς θαλάττης μανθάνουσιν ἄνθρωποι, καὶ καλοῦσι μὲν θεοὺς κινδυνεύοντες, ὑπερορῶσι δὲ τῶν κρειττόνων σωζόμενοι· γεωργοῦντες δὲ τιμῶσι θεοὺς ἐξ ὧν πεποιήκασι, καὶ τετιμηκότες ἐπισπῶνται τὴν εὔνοιαν. ὅσῳ δὴ τὸ σέβειν θεοὺς τοῦ περιορᾶν

---

1 Cod. constanter ναντηλίας. Idem thema tractavit Liban. p. 992. ed. Reisk.

Digitized by Google

θαυμαστότερον, τοσούτῳ τὸ γεωργεῖν τοῦ πλεῖν ἐστιν αἱρετώτερον, καὶ θάνατος μὲν γεωργοῖς ἔντιμος, τελευτῶντας γὰρ διαδέχεται τάφος, τοῖς δὲ πλέουσιν ἐπ' ἀμφότερα κίνδυνος καταλείπεται, καὶ ζῆν σφαλερῶς καὶ τελευτᾶν ἀτιμότερον· ἀποστερεῖ γὰρ καὶ τῶν νομιζομένων, καὶ τοῖς μὲν γεωργοῦσιν ἁπλοῦς ἐπιγίνεται θάνατος, τοῖς πλέουσι δὲ διπλῆ τελευτὴ περιγίνεται· ψυχὴ γὰρ συναναιρεῖται τῷ σώματι· καὶ τοῖς μὲν πλέουσι βίος οὐ σωφρονῶν, γυναιξὶ γὰρ ἄλλαις ἐξ ἄλλων πλησιάζειν μανθάνουσι, σωφρονοῦσι δὲ γεωργοὶ ταῖς αὐτῶν γυναιξὶ συζῶντες ἐπίπαν. Ὅσῳ δὴ χαλεπώτερον τὸ τεθνάναι τοῦ ζῆν καὶ ταφῆς ἀπορεῖν ἢ τῶν νομιζομένων μεταλαβεῖν, καὶ θεοὺς προσορᾶν, ἢ τῶν κρειττόνων ὑπερορᾶν, τοσούτῳ γεωργία ναυτιλίας ἀμείνων· τὸ μέσον εὑρεῖν ἑκατέρων οὐ γέγονε· καὶ γὰρ τὰ διάφορα φύσις καθάπαξ ἐπίσταται.

6. Σύγκρισις θέρους καὶ χειμῶνος.

Κατηγορεῖται μᾶλλον τῶν ἄλλων τὸ θέρος, ὃ τοῦ χειμῶνος κατεσκεύασε[1] φύσις· τὰ γὰρ πονηρὰ πρὸς τὰ κρείττω κρινόμενα πονηρότερα φαίνεται· προῆλθον τοίνυν ἄμφω τοῦ χρόνου, καὶ γεγονότα τοῦ χρόνου τὴν αὐτὴν οὐ διέσωσε φύσιν· πάντα μὲν γὰρ ὁ χρόνος παράγειν μεμάθηκε, πάντα δὲ ὁμοίως παράγει χειμὼν, οἷς τοὺς ὄμβρους ἐργάζεται· θέρος δὲ τὰ τῆς γῆς παρέχον τεμεῖν ἐναντίαν ἔχει τῷ τεκόντι τὴν φύσιν, καὶ κατηγορεῖται χρόνος· τῷ τεμεῖν τὸ[2] θέρος γνωρίζεται, καὶ

1 Cod. κατεσκέβατε. scripsi κατεσκεύασε. sc. hiemis natura efficitur, ut aestas magis quam alia vituperetur: nam mala cum melioribus collata pejora videntur. Litterae υ et β cum eodem sono efferrentur. saepe a scribis permutatae sunt; vide epist. crit. p. 21. sq. 2 Cod. τῷ.

Digitized by Google

γεγονότα χρόνου τὴν γῆν οὐχ ὁμοίως ἀμφότερα τίθησι. Θέρους μὲν γὰρ αὐχμοὶ ἀνιᾶσι καὶ πάντα λυποῦσιν αἱ ἡλίου βολαὶ παρὰ μέτρον [3] γινόμεναι, χειμῶνος δὲ πάντα μὲν ἔρρωται, καὶ γῆ τοῖς ἐκείνου γεωργεῖται καλοῖς· ἔπειτα θάλαττα πλεῖν μὲν ἀνεῖται τοῦ θέρους, χειμῶνος δὲ ἀποκέκλεισται, δηλούσης κἀνταῦθα τῆς πείρας, ὅσον χειμὼν διενήνοχε θέρους· τὸ μὲν γὰρ ἀνίησι θάλατταν, παρ' ἣν ὑπάρχει τοὺς περαιουμένους παθεῖν, ὃ δὲ ἀνακόπτει τὸ πλεῖν, ἐξ οὗ τοῖς ἀνθρώποις γίνεται κίνδυνος· ἔπειτα ῥώμη τοῖς σώμασιν ἐκ χειμῶνος καθίσταται, καὶ τὰ τοῦ θέρους ὑπολυόμενα σώματα ἐκ χειμῶνος ἐπέρρωται, καί μοι δοκεῖ τὸ θέρος ὥσπερ εἰς τομὴν τοῖς ἀνθρώποις ἐλθεῖν, ὧν φιλοτιμεῖται χειμὼν, ὥστε ἃ μὴ τὸ θέρος παρέχει καλὰ, χειμῶνος προέρχεται, ἃ δὲ χειμὼν ἐπιδίδωσι, θέρος οὐκ ἐπορίσατο· σοφία χειμῶνος ἀνθεῖ, καὶ περὶ τὴν ὥραν ἀκμάζουσι λόγοι, καὶ τὰ σοφίας καλὰ μεμελέτηται, θέρους δὲ πονοῦντες μὲν ἐπιλείπουσι λόγοι, λήγουσι δὲ Μοῦσαι φιλοτιμούμεναι· ἃ γὰρ ἐν χειμῶνι Μοῦσαι δεδώκασι, τὸ θέρος ἔχειν οὐ συγχωρεῖ, καὶ λήθην οὗτος ὁ καιρὸς ἀπεργάζεται, ὧν χειμῶνος ἄνθρωποι φέρουσιν, ἔπειτα θάνατοι θέρους μὲν καθεστήκασι πλείονες· χειμῶνος δὲ τὸ πολλὸν ἐπιλείπουσι, καὶ ποταμοὶ χειμῶνος ἐρρύησαν· ἐκλείπουσι τῆς γῆς ἐπὶ τοῦ θέρους τὰ νάματα· χειμὼν ἄστροις ἀνάπαυλαν ἔδωκε, θέρος δὲ τούτοις ἐπορίσατο πόνον· νοσεῖν οὐκ ἐνῆν, εἰ μόνος ἀνθρώποις ὑπῆρξε χειμών· πολεμεῖν οὐκ ἐνῆν, εἰ μόνον ἀνθρώποις ἐπολιτεύετο θέρος. Μικρὸν ἐκ πολλῶν διεξῆλθον περὶ ἀμφοῖν, οὐ γὰρ ἦν ἐν βραχεῖ ἅπαντα διεξελθεῖν.

---

3 Cod. μέτρου.

7. Σύγκρισις ἐλαίας καὶ φοίνικος.

Ὅσα τοῖς θεοῖς φέρειν οἶδεν ἡ γῆ, ταῦτα καὶ τοῖς πολλοῖς ἐπαινούμενα φαίνεται· προῆλθον τοίνυν ἐπαινέτης ἀμφοῖν, ἐλαίας καὶ φοίνικος, ὅτι καὶ θεῶν προῆλθον ἀμφότερα· τῆς μὲν γὰρ Ἀθηνᾶς ἐλαία προῆλθεν, ὁ δὲ φοίνιξ Ἀπόλλωνος· ἄμφω δὴ σοφῷ τῷ θεῷ, καὶ τοῦ μεγίστου γεγονότες Διὸς, καὶ δηλοῦνται τοῖς παρ' αὐτῶν, ὅτι δὴ σοφῷ καθεστήκατον· ἡ μὲν γὰρ φύειν πρὸς ὅλην ἐπίσταται γῆν, καὶ χῶρον οὐδένα τὸ τῆς ἐλαίας ἠτίμωσε βλάστημα, καὶ παραπλησίως φοίνιξ ἐλαίᾳ παντὸς χώρου προέρχεται, καὶ προσανθεῖν οἶδεν ἅπασαν ὥραν, ὥσπερ ἀδικεῖν ἠγουμένης τῆς τύχης, εἰ μὲν πάντα θείη πανταχοῦ τὰ βλαστήματα, καὶ γεγονότα πρὸς ἅπασαν γῆν οὐχ ὁμοίως τετίμηται· ἐλαία μὲν γὰρ βραχὺ προέρχεται γῆς, οὔτε τοὺς ἐραστὰς ἀφαιροῦσα τὴν ὄψιν, οὔτε τοῖς ὑβρισταῖς τυγχάνουσα πρόχειρος, ἀλλ' ὅσον ἐθελῆσαι λαβεῖν ἐξανέχει τῆς γῆς· φοίνιξ δι' Ἀπόλλωνος γεγονὼς ὥσπερ ἀμιλλᾶσθαι δοκεῖ πρὸς τὸν ἥλιον, καὶ πρὸς τὸν ἐκείνου δρόμον ἀνέστη, καὶ διῆρται πρὸς τὰς ἐκείνου ἀκτίνων βολάς· ἐλαία τοίνυν κομᾷ μὲν εἰς ἁπάσας ὥρας, ὥσπερ ὁ φοίνιξ, οὐ μὴν εἰς ἅπασαν παράγει καρπὸν, ὥσπερ ὁ φοίνιξ· καὶ πρὸς τούτοις ἐλαία καρπὸν εἰς πόνους ἀνίησιν· ἐλαίᾳ γὰρ ἄνθρωποι πρὸς πόνον φαίνονται χρώμενοι, φοίνιξ δὲ τὸν καρπὸν φιλοτιμεῖται τοῖς ἄθλοις, καὶ πέρας πόνων ὁ φοίνιξ προστίθησι, καὶ τοσοῦτον αὐτῷ νίκης περίεστιν, ὡς νίκης ὄνομα γίνεσθαι· καὶ μὲν ἐλαία πρὸς μίαν ὄψιν τὸν καρπὸν ἀναδίδωσι, φοίνιξ δὲ πᾶσαν χρωμάτων ἐπιδείκνυσιν ὥραν· ὅ τε γὰρ καρπὸς ἠλέκτρῳ προσόμοιος, καὶ τὰ πλεῖστα φοινίσσεται, καὶ κάλλος αὐτῷ δι' ἑκατέρου πρόσεστι χρώματος

ματος· καὶ πολλὰ μὲν ἐλαίας βλαστήματα διὰ παντὸς φυόμενα σώματος, φοίνιξ δὲ μόνον πρὸς τὰς κορυφὰς, ὥσπερ τῆς φύσεως ἅπαντα κόσμον εἰσφερούσης τῷ φοίνικι, καὶ κόσμον ἄλλοθεν οὐκ ἀνεχομένης ἔχειν, ἢ ὅθεν ἥκομεν· πολλὰ ἦν περὶ ἑκατέρων εἰπεῖν, ἀλλ᾽ ἡ πεῖρα τὸ λεῖπον ἀναπληροῖ.

8. Σύγκρισις Χιμαίρας καὶ Κενταύρου.

Ἄμφω μὲν ἡ φύσις ἀνάλογα οἶδεν, Χίμαιράν τε καὶ Κένταυρον. Κένταυρον δὲ ὅμως ἥκω θησόμενος· προῆλθον μὲν γὰρ ἄμφω θεῶν, θεῶν δὲ οὐκ ἴσων· ἡ μὲν γὰρ ἄδηλον ὅτου προῆλθεν, ὁ δ᾽ ὅτου γνώριμον φαυλοτέρου θεοῦ· Κένταυρος δὲ γεγένηται Κρόνου πρεσβυτάτου θεῶν, ὅθεν οἱ λοιποὶ τῶν θεῶν προγεγόνασιν· ὅσῳ δὴ κρεῖττον πρεσβεύειν τοὺς φύσαντας τοῦ τῶν λοιπῶν ἀπολείπεσθαι, τοσοῦτον Κένταυρος Χιμαίρας διενήνοχε. καὶ γεγονότες ἄμφω θεῶν οὐ παραπλησίως ἐτράφησαν, Χίμαιρα μὲν γὰρ ἐπὶ Κιλικίας ἐτράφη βαρβάρου γῆς, καταδεεστέρας δὲ ὅμως πρὸς μάχην καὶ πόλεμον, Κένταυρος δὲ Θετταλῶν [1] προελήλυθεν, ἐξ ὧν Ἀχιλλεὺς καὶ καὶ τὰ τῶν Ἑλλήνων πρῶτα καθίσταται, καὶ παρὰ τοιοῖσδε [2] διαιτώμενοι (γὰρ) ἐκ τῶν φύσεων τὴν παρενεγκοῦσαν σημαίνουσι γην· Χίμαιρα γὰρ ἐξ ἀλόγων ἅπαντα σύγκειται· Κένταυρος δὲ προέρχεται μὲν ἐξ ἀνθρώπου τὸ πρῶτον, εἶτα μετὰ τὸν ἄνθρωπον σώζειν οἶδε χρώμενον ἄνθρωπον. Ὅσῳ δὴ κρεῖττον ἐξ ἀμεινόνων καταστῆναι γενῶν, ἢ πάντα συντεθῆναι φαυλότερον, τοσούτῳ Κένταυρος ἀμείνων κατεφάνη Χιμαίρας. Χίμαιρα τοίνυν σύγκειται μὲν ἐξ ὧν ἡ φύσις κρίνεται φέρουσα, τί γὰρ ἢ [3] χαλεπώτερον λέοντος, ἢ δράκοντος κατεφάνη θηριωδέστερον, ἢ Χιμαίρας μετὰ πυρὸς ἀτοπώτερον. ἃ

1 Cod. Θεταλῶν. 2 Cod. τοιῶσδε. sq. γὰρ uncis inclusi. 3 Cod. ἦ.

Digitized by Google

καθ' αὑτὰ παρέρχεται, πρὸς μίαν ἄτοπον συνελήλυθε φύσιν· ἃ γὰρ ἡ φύσις κατὰ μέρος παρήγαγεν ἀποροῦσα παρενεγκεῖν, ἀπορωτέραν τὴν συνθήκην εὗρεν ἀντὶ γενέσεως, καὶ συνάγουσα ποιεῖ χαλεπώτερα, ὧν παρενεγκεῖν οὐκ ἔσχε δεινότερον, καὶ τὸ μέγιστον εἰς αἰτίαν, αὐτὴ, ὅσα μὲν οὐκ ἐφόβει, παρέλιπεν, ἃ δὲ φοβερὰ κατιδεῖν, παρεστήσατο· φοβερὸς ὁ λέων ἐν τοῖς πρώτοις ἰδεῖν, τοῦτο δέχεται Χίμαιρα· χαλεπὸν ὁ δράκων ἐκ κεφαλῆς, τοῦτο τῇ Χιμαίρᾳ καθίσταται πέρας· Χίμαιραν οὐκ ἦν κακίζειν καθ' ἑαυτὴν, καὶ κατηγορεῖσθαι τὸ πῦρ παρεσκεύασεν, ὅθεν προελθοῦσα θεῶν ἀναιρεῖται παρὰ θεῶν, καὶ παράλογος φανεῖσα τὴν φύσιν παραλογωτέρῳ φθείρεται γάμῳ· τί τέρατος γὰρ αὐτὴν διέφθειρεν ἵππος, ὥσπερ οὐκ ἐνὸν ἁπλῶς διαφθείρειν τὸ μὴ τὴν ἀρχὴν ἁπλῶς προσγενόμενον. Κένταυρος δὲ τοῖς ἀρίστοις σύγκειται γένεσιν, οὔτε γὰρ ἀνθρώπου κατ' αὐτὸν ἐντιμότερον, οὔτ' ἐν ἀλόγοις ἵππου σεμνότερον· τὸ ζῶον ἡ φύσις μετὰ τοῦ σωζομένου συνήγαγε, καὶ τὸ κατὰ μάχην ὀχούμενον μετὰ τοῦ φέροντος ἔστησεν, ὅθεν ἄνθρωποι τὴν τῶν ἵππων φύσιν μανθάνουσιν ἀφορῶντες εἰς Κένταυρον, ἃ γὰρ ἐπ' ἐκείνων ἡ φύσις μετὰ σωζομένου συνήγαγε, καὶ τὸ κατὰ μάχην ὀχούμενον ἐπὶ τῶν μιμουμένων ἡ τέχνη, καὶ γίνεται Κένταυρος τῶν ἵππων εἰκὼν, ὅθεν ἡρώων ἁπάντων Κένταυρος ὤφθη διδάσκαλος· οὐκ ἂν Ἀχιλλεὺς εἰς τοσοῦτον προελήλυθε τέχνης, μὴ Κενταύρου μαθὼν, οὐκ ἂν νοσοῦντες ἐσώθησαν Ἕλληνες, μὴ τὸν Ἀχιλλέα Κενταύρου διδάσκοντος Χιμαίρας ωφθη παραλογώτερος ὁ τῇ Χιμαίρᾳ τὰ πρῶτα διδούς.

9. Σύγκρισις ἐλαίας καὶ ἀμπέλου.

Ἀμφότερα τῇ γῇ ἐναντία παρέχει καὶ θαύματα, προελθοῦσα τῆς γῆς ἐναντία μὲν ἄμπελος, ἐλαία δὲ μετὰ

θαύματος· προῆλθον μὲν γὰρ ἄμφω θεῶν, θεῶν δὲ οὐκ ἴσων· ἐλαία μὲν γὰρ τῆς Ἀθηνᾶς, ἣν Ζεὺς ἀνῆκε τῆς κεφαλῆς, Διονύσου δὲ ἄμπελος, ὃν εἶναι θεὸν οἱ πρῶτοι θεῶν οὐκ ἐγνώκασιν· ὅσον οὖν Ἀθηνᾶς ἀπελείφθη Διόνυσος, τοσοῦτον ἐλαίας ὑστέρησεν ἄμπελος, καὶ γεγονότα προέρχεται· γῆς μὲν γὰρ ἄμπελον ἀγγοεῖ προελθεῖν γεωργοῦ πρὸς γῆν μὴ πονήσαντος, ἐλαία δὲ τέχνης οὐ δεῖται πρὸς γένεσιν, ἀλλ' αὐτόματον ἀνίησιν ἡ γῆ, καὶ δημιουργεῖ πρὸ τῆς τέχνης ἡ φύσις, καὶ γενομένην οὐκ οἶδεν ὁ πόνος· ὅσῳ δὴ κρεῖττον προελθεῖν φύσει μᾶλλον ἢ πόνῳ καὶ τέχνῃ, τοσοῦτον ἐλαία παρελήλυθεν ἄμπελον· ἐλαία τοίνυν κομᾷ μὲν εἰς ἅπασαν ὥραν, καὶ ἅπαντα καιρὸν τῆς βλάστης εὔρατο μάρτυρα, εἶτα ἄνεισι γῆς, οὔτε τοὺς ἐραστὰς ἀποστεροῦσα τῆς θέας, οὔτε τοῖς ὑβρίζουσιν ἕτοιμος, ἀλλὰ τὸ μῆκος ὅσον τὴν ὕβριν φυγεῖν καὶ ψυχαγωγῆσαι τὸν πόθον, ἔπειτα ἀγῶνας κοσμεῖ πρὸς ἀμφότερα, καρποῖς μὲν ἀσκοῦσα τοῖς ἀγωνιζομένοις τὴν δύναμιν, στεφανοῦσα δὲ θαλλῷ τοὺς νικήσαντας· καὶ τιμᾷ τὴν νίκην οἷς παρέχει τὴν ῥώμην ἐλαία, καὶ νόσων εὔρατο λύσιν· καρποὺς μὲν γὰρ ἰᾶται τοὺς κάμνοντας, καὶ τὰς συμφορὰς ἐπικουφίζει βλαστήματι, θαλλὸν γὰρ διδοῦσα τοῖς ἱκετεύουσι μετατίθησι δι' ἐλαίας τὰς τύχας, ὅθεν οἶκτος δι' αὐτὴν ὄνομα δέχεται· ἄμπελος δὲ προελθεῖν μὲν οὐκ οἶδε τῆς γῆς, ἀλλὰ τοῖς ὑβρίζουσιν ἕτοιμος ἕστηκεν, εἶτα τὸ κάλλος συνεισβάλλει τῷ θέρει, καὶ τοσοῦτον ἀπέσχεν ἀγῶνος, ὡς τοὺς ἀγωνιστὰς ἀδικεῖν, εἴ τις τῷ καρπῷ χρώμενος φαίνοιτο, καὶ τὰς μὲν γνώμας μεταβάλλειν ἔγνωκεν ἄμπελος, ἐλαία δὲ σωφρονεῖν τοὺς μανέντας μετέστησεν· ὅσῳ δὴ κρεῖττον ἀρετὴν ἢ κακίαν πονεῖν, καὶ σωφρονεῖν παρασκευάζειν ἢ μαίνεσθαι, τοσοῦτον ἀμπέλου κρεῖττον ἐλαία προῆλθεν· οὔτε τὴν ἄμπελον καθάπαξ διαβάλλειν, οὔτε τὴν ἐλαίαν ὑπῆρξε θαυμάζειν.

Digitized by Google

10. Σύγκρισις λιβάνου καὶ δάφνης.

Ἅ θεῶν προελήλυθε θαυμάσαι μετὰ θεῶν καταλείπεται· τοῖς γὰρ φανεῖσι μέγιστος ἔπαινος, ἂν τοῖς φήνασι παραπλήσια γένηται· δάφνη τοίνυν καὶ λίβανος ἄμφω θεῶν γεγονότα μετὰ θεῶν θαυμασθήσεται· προῆλθον γὰρ ἄμφω θεῶν, θεῶν δὲ τῶν ἴσων· γῆς γὰρ καὶ ποταμοῦ δάφνη φανεῖσα τῶν αὐτῶν ἔσχε γενόμενον λίβανον, καὶ γεγονότα ποταμοῦ τε καὶ γῆς θεοὺς ἔσχον ἀμφότερα ἐραστάς· τὴν μὲν γὰρ δάφνην Ἀπόλλων ἐπόθησεν, ἅπας δὲ λίβανον· καὶ ἡ μὲν τὸν ἐρώμενον ἔφυγεν, ὁ δὲ θεοῖς ἀνακείμενος τοὺς δυσμενεῖς ἀπεδίδρασκεν· [1] ὅσῳ δὴ παραπλήσιον τὸ γεγονέναι τῶν ἴσων καὶ φέρειν ἄμφω τοὺς προδιώκοντας, τοσούτῳ δάφνη λίβανος γέγονεν ὅμοιος, γενόμενοι γὰρ ἄνθρωποι πρότερον ἡ μὲν ὑμεναίους ἀπεδοκίμαζεν, ὁ δὲ τοῖς δυσμενέσι τῶν ἀνθρώπων ἀπήχθετο, καὶ παραπλήσιον ἦν ἀκρασίαν καὶ δυσμένειαν διαδρᾶναι, ὁμοίως γὰρ ἐχθρὰ τοῖς θεοῖς ἀτιμία θεῶν καὶ νόμους ἡδονὴ μὴ γινώκουσα· δάφνη τρέφεται μὲν ἐν τοῖς ἄλσεσι, καὶ φύειν ἅπας ἔγνωκε τόπος, ὅ τε λίβανος ὄρος μὲν ἔσχεν ὁμώνυμον· φύειν δὲ παρ' ὄρος οὐκ ἔγνωκεν, καὶ φύειν ἐγνωκότα τοῖς ἄλσεσι παραπλησίως τὸν βίον ὀνίνησι· πρῶτον μὲν γὰρ δάφνη τῆς γῆς ἐπὶ μέγιστον αἴρεται, καὶ μιμεῖται τὴν ὥραν, τὸ βλάστημα τοὺς θεατὰς ἕλκει πρὸς ἔρωτα, ὡς ἐκείνη πάλαι τὸν Πύθιον, ὅ τε λίβανος οὐ πολὺ μὲν ἀνέχει τῆς γῆς, οὐδὲ ἐπὶ μέγα βλάστημα πρόεισιν, ὥσπερ δεδιὼς τοὺς πάλαι διώκοντας· ἀμφότερα μὲν καρπὸν οὐκ ἔσχεν ἐδώδιμον, οὐδὲ τρέφειν ἀνθρώπους γεγονότα θεῶν, ἀμφότερα δὲ τοῖς θεοῖς ἐπιφέρεται, τὰ τεμένη πληροῦσα τοῖς στέμμασι, τοῦ δὲ ὁ καρπὸς θεοῖς ἐναγίζεται, καὶ

1 Cod. ἀπεδίδρασκε. Eodem modo p. 370. l. 11. παρεσκεύασε, ὅθεν. p. 371. l. 25. ὑβρίζουσι ἕτοιμος.

Digitized by Google

μένει τοῖς θεοῖς προσφιλῆ καὶ βιοῦντα καὶ κατὰ βίον βλαστάνοντα, καὶ τὴν εὐσέβειαν ὥσπερ τινὰ καρπὸν φέρειν ἕκαστον ἔγνωκεν. Ὅσῳ δὴ τὸ στέφειν νεὼς καὶ καθαγίζεσθαι θύμασι παραπλήσια, τοσοῦτον δάφνη λιβάνῳ προῆλθεν ὁμοία· τί δεῖ μικρύνειν, ἃ θεοὶ τετιμήκασι;

11. Σύγκρισις Περικλέους καὶ Θεμιστοκλέους.

Ἤνεγκαν μὲν Ἀθῆναι δημαγωγοὺς ἐπαινουμένους πρὸς εἰρήνην καὶ μάχην, οὐ μὲν οἷος Περικλῆς καὶ πρόγονος τούτου Θεμιστοκλῆς· καὶ τὴν μὲν ἀρετὴν οἷοι γεγόνασιν ἐκ τῆς συγγραφῆς ἀπεδείχθησαν· δεῖ δὲ κἀμὲ βραχέα περὶ αὐτῶν διελθεῖν· δεῖγμα γὰρ ἦν τῆς αὐτῆς ἀρετῆς τὸ μεγάλα μὲν μεγάλως[1] ἐνέγκασθαι, δοῦναι δὲ βραχέα καὶ τοῖς μετ' αὐτοὺς ἐπειπεῖν· προῆλθον τοίνυν ἄμφω τῶν Ἀθηνῶν, καὶ τὴν ἴσην αὐτοῖς εἰς φιλοτιμίαν ἡ τύχη πόλιν παρέσχετο· καὶ γεγονότες ἄμφω γῆς τῆς αὐτῆς, πατράσιν ἴσοις εἰς τὴν δόξαν ἐχρήσαντο· Ξανθίππῳ μὲν γὰρ Περικλῆς, Νεοκλεῖ δὲ προῆλθε Θεμιστοκλῆς[2]· μέχρι μὲν τούτου τὰ παραπλήσια φέροντες, τὸ δὲ ἐνθένδε διήλλαξαν. Περικλεῖ μὲν γὰρ Ἀναξαγόρας κατέστη τροφεὺς, καὶ λέγειν ἐκ τῆς Ἀσπασίας ἐμάνθανε τέχνην, ὥσπερ εἰ μὴ διδασκάλοιν τύχῃ δυοῖν, οὐδὲ ἓξὸν λέγειν Ἀθηναίοις εἰς μέσον· ὁ δὲ τροφέως οὐκ εἰδότος διδάσκειν, ἀλλ' ὁ Περικλεῖ φιλοσοφῶν ἀνὴρ καὶ ἡ ἐκείνου σοφωτέρα γυνὴ, τοῦτο Θεμιστοκλεῖ γεγένηται φύσις· ὅσῳ τοίνυν τὸ παρ' ἑτέρου δεῖσθαι λαβεῖν τοῦ μὴ δεῖσθαι λαβεῖν εἰς εὔκλειαν ἔλαττον, τοσούτῳ Θεμιστοκλῆς Περικλέους σεμνότερος, καὶ προελθόντες εἰς ἄνδρας ἑκάτεροι τὸν προελθόντα μετεχειρίζοντο[3] πόλεμον· Περικλῆς μὲν πρὸς

1 Cod. μεγάλων. 2 Cod. Νεοκλῆς δὲ πρ. Θεμιστοκλεῖ. cfr. Plut. Them. c. 1. 3 μετεχειρίζετο πόλεμον in cod. manu re-

Λακεδαιμονίους, Θεμιστοκλῆς δὲ πρὸς Πέρσας· ὅσῳ δὴ Πέρσαι Λακεδαιμονίων εἰσὶ φοβερώτεροι, τοσούτῳ Θεμιστοκλῆς Περικλέους ἐῤῥωμενέστερος, καὶ ὁ μὲν ἔξω τοῦ τείχους οὐκ εἴα χωρεῖν, ὁ δὲ τοῖς βαρβάροις πρὸ τῆς Ἀττικῆς ὑπήντα μαχόμενος· καὶ ὁ μὲν πρὶν ἥξειν τὸν πόλεμον ἔφραζε,[4] καὶ τὸ μέλλον ἐξηγεῖτο τοῖς Ἀθηναίοις ὡς μάντις, ὁ δὲ ὡς παροῦσι πολεμίοις ἠπίστει, καὶ τὸ φανὲν ἀνεβάλλετο· καὶ ὁ μὲν ἐκκλησιάζων πολλάκις οὐκ ἔπειθεν, ὁ δὲ εἰσάπαξ εἰπὼν ἦγε τοὺς ἄνδρας ἔνθα προ-
ἤρητο. καὶ ὁ μὲν οἴκοι λέγων οὐκ ἔπειθεν, ὁ δὲ Σαλαμῖνα τοῖς Ἀθηναίοις ἐκκλησίας ποιῶν ὁποίποτε ἐδημηγόρει προσήγετο· τὴν ἀπείθειαν οὐ χωρίῳ μετρῶν, οὐδὲ συνεργοῦσαν ἔχων τὴν γῆν εἰς τὸ τίθεσθαι, δημηγόρος δὲ παντοδαπὸς Ἀθηναίων καταστὰς ἐκκλησίας ἐποίει το-
σαύτας, ὅσας ἀπῆει κρατῶν. καὶ Περικλεῖ μὲν συνεργοὶ τοῦ πολέμου καθεστήκασι, Θεμιστοκλεῖ δὲ μόνος εἷς ἐπὶ πάντων ἀγώνων ἐξήρκει· καὶ τῷ μὲν μάντεις συνεργοὶ κατεστήκεσαν, ὁ δὲ καί τισιν ἐναντιούμενος ἔφραζε· καὶ Περικλῆς μὲν ἡγήσατο μάχης Ἀθήνας ἑλούσης Θεμιστο-
κλέους πολέμῳ ἐκσώσαντος· καὶ ὁ μὲν τελευτῶν παρ' ἣν εἰργάζετο νόσον ἐῤῥθείρετο, ὁ δὲ παρ' ἣν ἐκράτει μάχην ἐσώζετο, καὶ ὁ μὲν τελευτᾷ θάνατον ὑπομείνας ἑκούσιον, ὁ δὲ δακρύων ἀνῃρεῖτο οἷς ὅπλοις οὐκ ἔπιπτε, καὶ ὁ μὲν τελευτὴν εὐνοίας ἐκτήσατο μάρτυρα, ὁ δὲ θά-
νατον ἔσχεν ἐκ τῶν οἰκείων κατηγορούμενον. Ὅσῳ δὴ κρεῖττον τεθνάναι καὶ ζῆν ἐμφανῶς τοῦ μετ' αἰτία, καὶ βιῶναι καὶ πίπτειν, τοσούτῳ ἀμείνων Περικλέους Θεμιστοκλῆς. Ἦν ἕτερα περὶ ἑκάστου διεξελθεῖν, εἰ μὴ τὴν ἑκατέρου καὶ γνώμην καὶ τύχην τῶν Ἀθηναίων ἐσήμαινεν.

---

centiori insertum est: sqq. *Περ. μὲν πρὸς Λακεδαιμ.* sensu postulante adjeci, quamvis absint a codice. 4 Cod. ἔφραξε, h. l. et lin. 18.

Digitized by Google

12. Σύγκρισις Αἰνείου καὶ Ἕκτορος.

Οὐδὲ τὴν Τροίαν ἐπαίνων χωρὶς ἡ [1] τῶν ἐνοικούντων κατέστησε γνώμη, κεκόμισται γὰρ ἐπαινουμένους πολλοὺς, οὐ μὴν Αἰνείαν παραβαλλόμενον Ἕκτορι. Ἤνεγκε γὰρ καθ' αὑτὸν ἐπαινούμενον, ἐπαίνου [2] δὲ μᾶλλον γενόμενον ἄξιον, ὅτε Ἕκτορι κρίνοιτο. Γῆ τοίνυν ἀμφοῖν καθίσταται μία, οὐ μὴν ἀρετὴ προελήλυθεν, ἴση γὰρ κατέστη αὐτοῖς ἡ πατρὶς ἀντ' ἄλλου τινὸς εὐψυχίας γνωρίσματος, ἧς οἰκισταὶ μὲν οἱ πρῶτοι τῶν θεῶν καθεστήκασι, πολῖται δὲ οἱ περὶ θεῶν διαιτώμενοι· καὶ θεοὶ πάντες τῇ Τροίᾳ γεγόνασι, καὶ γενομένην τειχίζοντες καὶ τοῖς κρατοῦσι συζῆν προαιρούμενοι, καὶ τοὺς παρ' αὐτὴν εὐωχουμένους στέργοντες· καὶ μόνη Τροία παρήγαγεν [3] ὑπηρέτην ἄνθρωπον τοῦ νέκταρος, καὶ θεῶν ἐλάνθανε τράπεζα τοὺς ἐκ Τροίας οὐκ ἔχουσα· καὶ γεγονότες ἐκ πόλεως ἴσης προγόνων οὐχ ὁμοίων προῆλθον· ἄμφω μὲν γὰρ προῆλθον Διός· οὐ μὴν Ἕκτωρ ἔτυχε τεκούσης θεᾶς, ἀλλ' οὐδὲ πατράσιν ὁμοίοις ἐχρήσαντο· Πριάμου μὲν γὰρ προελήλυθεν Ἕκτωρ, τεκεῖν μόνον σπεύδοντος πλείονας· Αἰνείας δὲ προῆλθεν Ἀγχίσου, πολλῶν ἀντάξιον ἕνα προσάγοντος, καὶ Πρίαμος μὲν οὐκ ἔσχε κειμένης μεῖναι τῆς Τροίας, Ἀγχίσης δὲ καὶ πεπτωκυίας λείπεται γῆς καὶ περιήει ζῶν εὐσεβέστερον, καὶ τὸν Ἀφροδίτης ὑμέναιον ἐπὶ τῆς οἰκείας σωτηρίας ἐδείκνυε. Καὶ γεγονότες τοιῶνδε τρέφονται μὲν παραπλήσια, οὐ μὴν ἔτι πεπράχασιν, ἀλλ' ἐργάζεται μὲν Αἰνείας ἀμείνονα, τρέφεται δ' Ἕκτωρ Αἰνείᾳ προσόμοια, καὶ τῷ τραφῆναι τῷ Αἰνείᾳ πρὸς ἴσον φιλοτιμία γέγονεν Ἕκτορος· τοῖς μὲν οὖν πρώτοις εὐθὺς διηλλάχασιν, ἃ δὲ πεπράχασι, πλέον ἐπεισφέρει τὸ μέσον· ἐστρα-

1 Cod. οἱ. 2 Cod. iterum ἐπαινούμενον. scripsi ἐπαίνου. 3 Cod. παρήγαγον.

τήγει μὲν γὰρ Ἕκτωρ θρασύτερον καὶ προκινδυνεύειν ἀσφαλῶς ἠρεῖτο τῆς Τροίας, ἀλλ' ἐκάλει μὲν εἰς ἀγῶνας, καὶ καθίσταται μόνος πρὸς μόνον, καλῶν δὲ ἅπαντας Ἕλληνας οὐχ οἷος ἐκάλει μαχόμενος πέφηνεν, ἀλλὰ πάντα ἐποίει τοὺς Τρῶας, εἶτα Αἴαντος ἐκπέφευγε χεῖρας· ὁ δὲ ἐφόβει μὲν προελθεῖν, καὶ τὸ τάχος εἶχε φθάνων πρὸς ἀναίρεσιν· ἐδάκει πρὶν συμμίξαι λαβεῖν, καὶ ταῖς ἐλπίσιν ἦρει τοὺς φεύγοντας, εἶτα τραπείσης τῆς γῆς ἔνδον μὲν ἄγειν παρῆνει τοῦ τείχους, καὶ νυκτὸς οὐκ εἴα μαχομένους αὐλίζεσθαι, καὶ μόνας ἐξῆρκει βουλόμενος ἐκσῶσαι τὴν Τροίαν ἐπ' ἀμφότερα πρὸς τὸ δεινὸν ὀφθεὶς, μαχόμενος μὲν ὡς ἑτέρου βουλεύοντας, βουλευόμενος δὲ ὡς ἑτέρου τοῦ πράττοντος· ἐπεὶ δὲ Ἀχιλλεὺς εἰς ἀγῶνα προῆλθεν, ἔστηκε μὲν Ἕκτωρ θρασύτερον μᾶλλον ἢ ἀσφαλέστερον· καὶ περὶ τὴν οὖσαν ἀγωνισάμενος δύναμιν πίπτει μὲν, αἴτιος δὲ τῇ γῇ κατέστη τῶν ἴσων, καὶ δι' Ἕκτορα πεσούσης τῆς Τροίας Αἰνείας μὲν ἀποδιδράσκει τὴν ἅλωσιν, καὶ γίνεται γῆς οἰκιστὴς, ἧς ὅλων ἀνθρώπων ὑπήκουσε γένος. Ὅσῳ δὴ κρεῖττον προνοίᾳ μᾶλλον ἢ θρασύτητι μάχεσθαι καὶ περιεῖναι πλέον ἢ πίπτειν, καὶ τηρῆσαι τὸ γένος ἢ διαφθεῖραι τὸ συγγενὲς, τοσούτῳ Αἰνείας Ἕκτορος προελήλυθε κρείττων· ἦν ἅπαντα τὰ περὶ ἑκατέρου διεξελθεῖν, εἰ μὴ τὸ μέτρον ὡς ἑκάτερος ἔσχεν ἐπέδειξεν.

13. Σύγκρισις Διομήδους καὶ Αἴαντος.

Παραβαλεῖν ἥρω πρὸς ἥρω πειρώμενος Διομήδει παραθήσω τὸν Αἴαντα, πάντα δεύτερα τῆς ἀμφοῖν ἀρετῆς ἡγησάμενος· εἰ μὲν οὖν μὴ πρότερος Ὅμηρος, ὅπως ἑκάτερος ἔσχε διεξελήλυθε, τυχὸν ἄν τις ἠπόρει παραβαλεῖν, νῦν δὲ τοῖς ἐκείνου παραθεὶς χρήσομαι. Προῆλθον τοίνυν ἄμφω γῆς τῆς αὐτῆς, οὐ μὴν ἔτι καὶ πόλεως. Ἑλλάδος μὲν γὰρ Αἰτωλοί τε καὶ Σαλαμῖνες· οὐ

Digitized by Google

μὴν ἔτι ταὐτὸν Αἰτωλία καὶ Σαλαμίς. Αἰτωλία μὲν γὰρ γῆ τε πολλὴ καὶ πλείστους ἀγαθοὺς ἐν τοῖς Ἕλλησι φέρουσα, χωρίον δὲ βραχὺ Σαλαμὶς καὶ νῆσος μικρὰ, Τελαμῶνα μόνον φιλοτιμίαν ἐν τοῖς πρότερον ἄγουσα· ὅσῳ δὴ μείζων Αἰτωλία νήσου μικρᾶς, τοσούτῳ Αἴαντος Διομήδης σεμνότερος, καὶ γεγονότες ἄμφω πατρίδος οὐκ ἴσης, παραπλησίοις προγόνοις ἐχρήσαντο· Διὸς γὰρ ἄμφω Διομήδης καὶ Αἴας, καὶ λαχόντες προγόνων τοιῶνδε πατέρας ἔσχον οὐκ ἴσους· Διομήδους μὲν γὰρ πατὴρ ὁ Τυδεὺς, Θήβας ὅλας ἐπὶ τῆς πρεσβείας ἐκπλήξας, Αἴαντι δὲ πατὴρ Τελαμὼν, εἰς Τροίας ἅλωσιν Ἡρακλέους δεόμενος. Ὅσῳ δὴ τὸ πάντα κρατεῖν καθ' αὑτὸν τοῦ δεῖσθαι πρὸς νίκην ἑτέρου σεμνότερον, τοσούτῳ Αἴαντος Διομήδης ἐπρέσβευε, καὶ κεχρημένοι πατράσι τοιούτοις παραπλησίως ἐτράφησαν· οὐ μὴν ἴσοι καὶ περὶ τὴν μάχην παρεφάνησαν· προελθόντες γὰρ εἰς ἄνδρας ἀμφότεροι ῥώμης ἔσχον ἐξέτασιν, καὶ πρῶτον μὲν Διομήδης κοινῆς περὶ τάξεως ὤφθη προοίμιον, καὶ τῆς ἀριστείας ἐπὶ τῆς κεφαλῆς ἔφερε σύμβολον, πῦρ ὑποκαίων τῷ κράνει καὶ φλόγα ἀνιεὶς τῷ προκαλύμματι παράλογον σκευῆς ἐπιδείκνυτο τρόπον· ἔπειτα Τρώων χειμάρρου [1] δίκην ἀνήρει τὰς φάλαγγας, καὶ τῆς Ἀθηνᾶς ἱκέτην παρεσκεύαζεν Ἕκτορα. Πρὸς γὰρ τὴν μάχην ἀπειρηκὼς ἐδεῖτο θεοῖς ἀντιπαρατάττεσθαι, καὶ πέπλον Ἀθηνᾷ παρετίθετο, τῆς σωτηρίας τῶν Τρώων ἀντίῤῥοπον· ἐς τοσοῦτον δέος ὁ Διομήδης κατέστησεν Ἕκτορα, ὡς γυναιξὶ θαῤῥεῖν ἀντὶ τῶν ἀνδρῶν εἰς τὸ σώζεσθαι. καὶ πρὸς μὲν τὴν Διομήδους παράταξιν ἱκέτης Ἕκτωρ οὐκ ἀνταγωνιστής· πρὸς δὲ τὸν Αἴαντα ὡς ἴσος πρὸς ἴσον ἐφέρετο, καὶ μόνος πρὸς μόνον ἀνῃρεῖτο τὴν μάχην· οὕτως ὁ Ἕκτωρ [πρὸς Αἴαντα μὲν ἠγωνίζετο, τὸν Διο-

[1] Cod. χιμάρου.

μήδην δὲ οὐ βλέπειν ἐθάῤῥησε, καὶ χαλεπαίνοντος Ἀχιλλέως μόνος Διομήδης ἐξήρκει πρὸς τὴν ἁπάντων ἀμιλλώμενος τύχην· Διομήδους δὲ βραχύ τι τῆς μάχης ὑπείξαντος Αἴας τοῖς λοιποῖς συναπεδίδρασκεν Ἕλλησιν· καὶ τὰ μὲν ἄλλα τί δεῖ διελθεῖν; αλλ' ὅσον ἀμφοτέρων τὸ μέσον, ὁ τοῦ Πατρόκλου δέδειχε τάφος· ὡς γὰρ ὑπῆρχεν ὁ ὁπλιτικὸς, [2] ἔδει δὲ ἑκατέρους ἐν τοῖς ὅπλοις ἀνταγωνίζεσθαι, φόβον ἐποίησε τοῖς Ἕλλησιν Αἴας νικώμενος, καὶ ὁ μὲν Τροίαν ἀναιρεῖ καὶ μετὰ Τροίαν ἁφῖκται πρὸς τὴν οἰκίαν ἀκέραιος, ὁ δὲ πρὸς Τροίαν μὲν διεφθείρετο· ἔπιπτε δὲ οὐ νόμῳ τῆς πράξεως, οὐδ' ἑτέρου πεσεῖν ἀναγκάζοντος, ἀλλ' οἴκοθεν τὸν θάνατον ἔχων πρόφασιν τῆς τελευτῆς τὴν Ὀδυσσέως κρίσιν εἰς νίκην. Ἦν ἔτι πλείω τούτων διεξελθεῖν, εἰ μὴ τὸ μέσον ἡ παρ' Ὁμήρῳ ποίησις ἔδειξεν.

14. Σύγκρισις Περικλέους καὶ Δημοσθένους.

Οὐκ ἀρετὴν κακίᾳ παραθεῖναι ζητῶν τὸ μέσον Περικλέους καὶ Δημοσθένους θῶ, ἀλλ' ἀρετὴν ἐθέλων παραθεῖναι πρὸς ἀρετήν· ἄμφω μὲν παρ' Ἀθηνῶν ὥρμηντο, καὶ τὴν ἴσην ἑκάτερος ἐπεγράφετο πόλιν, καλῶς, οἶμαι, προνοουμένης τῆς τύχης, ὡς ἂν μηδεὶς Περικλεῖ

2 Cod. πολιτικός. scripsi ὁπλιτικός. Saepe enim confunduntur πολίτης et ὁπλίτης. cfr. Krüger ad Dionys. Hal. p. 255. Koen. ad Gregor. Cor. p. 141. ubi Schaefer ὁπλιτικῶν et πολιτικῶν confusa affert ex Xenoph. de Rep. Laced. XI. 4. Eadem medela adhibenda videtur Athenaeo V. p. 194. c. τούτων κατόπιν ἦσαν ἱππεῖς Νισαῖοι μὲν χίλιοι, πολιτικοὶ δὲ τρισχίλιοι. non intelligo, quid sint πολιτικοὶ h. l., quare malim scribere ὁπλιτικοὶ, vel ὁπλῖται, cum in scriptura ολι utrumque latere possit.

Digitized by Google

καταλείποιτο λόγος, ὡς Δημοσθένης ἐξ ἑτέρας ὢν γῆς ἀπελείπετο· καὶ γεγονότες ἄμφω τῶν Ἀθηνῶν οὐκ ἴσοις ἐχρῶντο προγόνοις· Περικλεῖ μὲν γὰρ Ἀλκμαιωνίδαι καὶ πατρικὸν τὸ γένος ἐν τύχαις Ἀθήναις, Δημοσθένει δὲ Κύλωνα μέν ἐστιν ἐπιγράφεσθαι πρόγονον ἄνδρα, καὶ αὐτὸν στρατηγοῦντα τῶν Ἀθηνῶν· οὐ μὴν ἐνθένδε ὁ πᾶς ὁρμήσεται λόγος, ἀλλ' ἐκεῖνο πρὸς πίστιν ἠρώων ἔσχε Δημοσθένη καλῶν, οἷς γὰρ ἂν αὐτὸν σφόδρα κακίζοντες χρήσονται, θαυμάζων ἂν ἔγωγε συγχωροίην, ὡς μαχαιροποιοῦ παῖς ἐγεγένητο, καὶ φαύλου τὴν τέχνην ὑπῆρχε πατρός· ὅσῳ δὴ μηδὲν ἔχειν ἐκ πατέρων παράδειγμα τοὺς προγόνους εἰς ἀρετὴν λόγων καθέστηκε κάλλιον, τοσούτῳ Περικλέους Δημοσθένης ἀμείνων, οὐδὲν μὲν ἔχων εἰς ὃ βλέψειε, τῶν δὲ πάντας φερόντων ὢν ζηλωτότερος· καὶ γεγονότες προγόνων οὐκ ἴσων τρέφονται μὲν οὐ πρὸς ὅμοια· εὐνοοῦσι δὲ πρὸς τὴν πόλιν ἐπίσης. Δημοσθένει μὲν γὰρ εὐθὺς ἐκ παιδὸς πατὴρ ἀφανίζεται, καὶ γίνεται τύχης ἐπαινουμένης ἐπίδειξις ὀρφανία παιδός· ὁ δὲ Ξανθίππῳ συνὼν πατρὶ τῷ πάντα ζηλουμένῳ παρὰ τὴν Ἀττικὴν οὐδὲν ὅμοιος κατέστη τὴν τέχνην· ὅσῳ δὴ τὸ προσβιβάσθαι παρὰ τοῦ φύσαντος τοῦ μηδενὶ χρῆσθαι διδασκάλῳ πρὸς ἀρετὴν ἔλαττον φαίνεται, τοσούτῳ Δημοσθένους Περικλῆς ἀπολείπεται. Προϊόντων δὲ ἀμφοτέρων εἰς ἄνδρας τῷ μὲν ἐπιβουλεύοντες ἦσαν ἐπίτροποι, καὶ παντὸς εἴργοντες τοῦ πρὸς εὔκλειαν ἄγοντος, τῷ δὲ πολλοί τε καὶ ἀγαθοὶ συγγενεῖς, οὐχ οὕτως ἀνείργοντες, ἀλλ' εἰ μὴ μᾶλλον ἔχει ἢ τῶν τεκόντων καταιτιώμενοι· καὶ καταστάντες ἄμφω δημαγωγοὶ τὸν καιρὸν ἔσχον τὴν ἑκατέρου δηλώσαντα γνώμην, ὁ μὲν γὰρ αὐτῶν ἐν καιρῷ τοιῷδε καθειστήκει δημαγωγὸς, ἐν ᾧ τὸν δῆμον ἔργον ἦν ἐπισχεῖν, ὁ δὲ περὶ τοσοῦτον εἰσηγεῖτο καιρὸν, ἐν ᾧ χαλεπώτερον ἦν Ἀθηναίους ἐξάγειν εἰς μάχην, ἢ Μακεδόνας τῆς Ἑλλάδος ἀπείργειν· ὅσῳ

τοίνυν τὰ πρὸς ἄμφω πονεῖν, πολίτας καὶ δυσμενεῖς, τοῦ[1] πρὸς μόνους πολεμίους ἀνταγωνίζεσθαι καθίσταται μεῖζον, τοσούτῳ μᾶλλον Δημοσθένης Περικλέους ἐπαινεθήσεται· τὸ δὲ δὴ μεῖζον τῆς ἑκατέρων διαφορᾶς, ὅτι Περικλεῖ μὲν πρὸς Ἕλληνας ἦν ὁ ἀγών, ὅπλοις καὶ νομίμοις χρωμένους στρατεύμασι, Δημοσθένει δὲ καὶ πρὸς Μακεδόνας, ἄνδρας ὀξεῖς ὁμοῦ τοῖς ὅπλοις καὶ κηρυκίῳ χρωμένους, καὶ προχειρότερον ὡρμημένους παρασπονδεῖν ἢ καθισταμένους εἰς πόλεμον, καὶ μηδεμίαν ὥραν ἐξαίρετον ποιουμένους τῆς μάχης, ὧν ἀπορώτερον ἦν τὴν ἀπάτην ἢ τὴν ῥώμην ἐλεῖν· ἄσῳ δὴ βαρβάρων ἢ Ἑλλήνων κρατεῖν σφαλερώτερον, τοσούτῳ Περικλέους Δημοσθένης εἰς μεγαλοψυχίαν ἀμείνων· ἀλλὰ μὴν ἄγε τοὺς ἀνθεστηκότας τῶν δημαγωγῶν ἑκάτερος ἔγραψεν· Περικλέους μὲν γὰρ ἐγράφετο Κλέων καὶ μικροῦ γραφόμενος εἶλεν· Αἰσχίνης δὲ Δημοσθένην ἐδίωκε, καὶ διώκων ἡλίσκετο καὶ Ῥόδον Ἀθηνῶν ἀντηλλάττετο, καὶ μετὰ τὴν Περικλέους γραφὴν ὁ Κλέων Ἀθήνησιν ἦν, μετὰ δὲ τὴν Δημοσθένους δίωξιν οὐκ ἦν Αἰσχίνης παρὰ τὰς Ἀθήνας δημαγωγῶν. Ὅσῳ δὴ τοῦ περιεῖναι τῶν δημαγωγούντων ἐντὸς τοῖς ἀνθεστηκόσιν ὑπείκειν εὐδαιμονέστερον, τοσούτῳ Περικλέους Δημοσθένης ἦν ζηλωτότερος. Ἄξιον τοίνυν καὶ περὶ τῆς ἑκατέρων ἀρετῆς διεξελθεῖν· Περικλέα μὲν γὰρ εἶλεν ἡ νόσος, καὶ κατὰ τοὺς πολλοὺς νενοσηκὼς διεφθείρετο, Δημοσθένης δὲ καὶ τὴν τῶν Μακεδόνων ὑπερεβάλλετο τύχην· οἱ μὲν γὰρ αὐτὸν ἐξῃτοῦντο, ὁ δὲ ἑξὸν αὐτῷ παρὰ Μακεδόσιν εὐδοκιμεῖν, θάνατον ᾑρεῖτο παρὰ βαρβάροις Ἑλληνικὸν τελευτῇ πιστούμενον. Ὁπόσον τιμᾶται τὰς Ἀθήνησι πράξεις, οὕτω καὶ θάνατος ἑκατέρου σημαίνει τὸ μέσον. Ταῦτα οὐ Περικλέα καλῶς ἐθέλων εἰπεῖν ἐς μέσον ἐκόμισα, ἀλλὰ Δημοσθένην

1 Cod. τό.

θαυμάζειν, ὅσον δημαγωγοῦ παντὸς ὑπερέσχε. Τίς γὰρ ἂν πρὸς ἕτερον δόξειεν ὁ τὸ μεῖζον ἔχειν Περικλέους ἀποδειχθείς;

Cap. XI.

Ὅρος[1] ἠθοποιΐας.

Ἠθοποιΐα ἐστὶ μίμησις ἤθους ὑποκειμένου προσώπου· διαφοραὶ δὲ ἠθοποιϊῶν καθεστήκασι τρεῖς· τὸ μὲν γὰρ εἰδωλοποιΐα, τὸ δὲ προσωποποιΐα, τὸ δὲ αὐτὸ ἠθοποιΐα· καὶ ἠθοποιΐα μὲν ἡ γνώριμον ἔχουσα πρόσωπον, πλαττομένη δὲ τὸ ἦθος μόνον· ὅθεν ἠθοποιΐα προσαγορεύεται; οἷον τίνας ἂν εἴπῃ λόγους Ἡρακλῆς Εὐρυσθέως προστάττοντος· ὁ μὲν Ἡρακλῆς ἔγνωσται, τὸ δὲ τοῦ λέγοντος ἦθος πλαττόμεθα· εἰδωλοποιΐα δὲ ἡ πρόσωπον μὲν ἔχουσα γνώριμον, τεθνεὸς δὲ καὶ τοῦ λέγειν παυσάμενον, ὡς ἐν δήμοις Εὔπολις ἔπλασε, καὶ Ἀριστείδης ἐν τῷ ὑπὲρ τῶν τεσσάρων· ὅθεν καὶ εἰδωλοποιΐα προσαγορεύεται· προσωποποιΐα δὲ, ὅταν ἅπαντα πλάττηται καὶ ἦθος καὶ πρόσωπον, ὥσπερ ἐποίησε Μένανδρος ἔλεγχον· ὁ γὰρ ἔλεγχος πρᾶγμα μὲν, οὐ μὴν ἔτι καὶ πρόσωπον. ὅθεν καὶ προσωποποιΐα προσαγορεύεται· πλάττεται γὰρ μετὰ ἤθους τὸ πρόσωπον· ἡ μὲν οὖν διαίρεσις αὕτη· τῶν δὲ ἠθοποιϊῶν αἱ μέν εἰσι παθητικαὶ, αἱ δὲ ἠθικαὶ, αἱ δὲ μικταί· καὶ παθητικαὶ μὲν αἱ πάντα τὰ πάθη σημαίνουσαι, οἷον τίνας ἂν εἴπῃ λόγους Ἑκάβη κειμένης τῆς Τροίας· ἠθικαὶ δὲ αἱ μόνον ἦθος εἰσφέρουσαι· οἷον τίνας ἂν εἴπῃ λόγους ἠπειρώτης ἀνὴρ, πρῶτον θεασάμενος Θάλασσαν, μικταὶ δὲ αἱ τὸ συναμφότερον ἔχουσαι ἦθος καὶ πάθος· οἷον τίνας ἂν εἴπῃ λόγους Ἀχιλλεὺς ἐπὶ Πατρόκλῳ κειμένῳ βουλευόμενος

1 Definitio haec paucis verbis immutatis sumta est ex Aphthonio.

Digitized by Google

πόλεμον· ἦθος μὲν γὰρ ἡ βουλὴ, πάθος δὲ φίλος πεσών. Ἐργάσῃ δὲ τὰς ἠθοποιΐας χαρακτῆρι[2] σαφεῖ, συντόμῳ, ἀνθηρῷ, ἀπολύτῳ, ἀπηλλαγμένῳ πάσης πλοκῆς τε καὶ σχήματος, καὶ διαιρήσεις ἀντὶ κεφαλαίων τοῖς τρισὶ χρόνοις, ἐνεστῶτι, παρῳχηκότι, καὶ μέλλοντι.

---

1. Ἠθοποιΐα παθητικὴ, τίνας ἂν εἴπῃ λόγους Νιόβη κειμένων τῶν παίδων. Οἵαν ἀνθ' οἵας ἀλλάττομαι τύχην, κ. τ. λ. 3

---

2. Ἑτέρα παθητικὴ, τίνας ἂν εἴποι λόγους Μενοικεὺς ὑπὲρ τῆς πατρίδος ἑαυτὸν ἀναιρῶν.

Καί τίς γένωμαι; πρὸς τίνα τράπωμαι γνώμην; ὅτι πατὴρ τελευτᾷν οὐκ ἐᾷ, καλεῖ πρὸς τελευτὴν ἡ πατρὶς μετὰ τοῦ μάντεως, ἐν μέσῳ βίου καὶ τελευτῆς περιέστηκα καὶ διῄρημαι πρὸς φύσιν καὶ τέχνην· πατρὶ μὲν ἀντερεῖν οὐ βούλομαι, παριέναι δὲ τὴν πατρίδα μὴ βουληθεὶς ἀμφισβητήσιμον ποιεῖ μοι τὴν κρίσιν καὶ πατὴρ καὶ πατρίς· τί γὰρ εἰπέ μοι τῶν λαμπρῶν οὐ προσγέγονεν; ἐγενόμην Θηβῶν, ὅθεν καὶ θεοὶ προῆλθον νεήλυδες, καθέστην Ἡρακλέους πολίτης ἐγὼ, καὶ τὴν αὐτὴν ἐπιστρέφομαι Διονύσῳ πατρίδα, καὶ πόλις μοι δίδωσι γένεσιν, ἣ καὶ Κάδμον ἐκόμισεν, Ἄρης ἐν Θήβαις Ἁρμονίαν ἐνύμφευσε, καὶ δράκων φύλαξ τῆς Ἁρμονίας ἐγένετο γάμων· καὶ περιὼν μὲν Ἁρμονίαν ἐφύλαξε, τελευτῶν δὲ γένος Θηβαίοις ἀνῆκε παράλογον. ἄνδρες γοῦν ὀδόντων ἀνεδίδοντο δράκοντος, οὕπω μὲν ὅλοι, πρὸς δὲ πόλεμον ἕτοιμοι, καὶ μάχην βίου πρεσβυτέραν παρεῖχον,

---

2 Cod. χαρακτὴρ εἷς σαφής. 3 Est eadem, quae est apud Aphthonium, unde nolui transscribere. Duobus modis diversis idem thema tractatum legitur apud Liban. p. 1015. ed. Reiske.

Digitized by Google

τούτων ἐγὼ λοιπὸν περιλείπομαι, καὶ γεγονὼς περὶ ταύτην ἐπείγομαι· βεβαιῶσαι ζητῶ θανάτῳ τὴν γένεσιν. οὕτω φανεῖταί τι σεμνὸν, κείσομαι μὲν ἐγὼ, Θῆβαι δὲ δι' ἐμὲ περιέσονται, καὶ τὸν ἐμὸν θάνατον Ἀργεῖοι δακρύουσιν· οὕτω καὶ πόλις ἐν πολίτου φόνῳ σωθήσεται, καὶ πολεμῶν ἀντ' ἐμαυτοῦ τῷ τεκόντι καταλείψω τὰς Θήβας.

3. Τίνας ἂν εἴποι λόγους Κασσάνδρα, [4] ὁρῶσα τὸν δούρειον ἵππον εἰς τὴν Τροίαν ἀγόμενον.

Καινὸς εὕρηται τῆς πολιορκίας ὁ τρόπος, ἀναθήμασι μάχονται καὶ πολεμοῦσι τῇ τέχνῃ, ἃ ξένης παρατάξεως εἴσω τειχῶν ἀγομένης, ᾗ χαίρομεν ἁλισκόμενοι, πολεμεῖταί τις ἡττώμενος, [5] χαίρει τὶς ὀνειροπολῶν τῷ ἐναντίῳ δουλείαν, ὧ δῶρον τοῖς εἰσδεξαμένοις ἀπώλειαν μηχανώμενον, μικρὸν Ἕλληνες πολεμεῖν ἠγοῦνται τοῖς ὅπλοις, βουλεύμασι χειροῦνται, εἶτα δέχονται χαίροντες μαντεύμασιν ἀντιπράττοντες· ὁ τρόπος ὁ Δελφικὸς παρὰ Τρωσὶν ἀπιστούμενος, Ἄπολλον οἱ σωζόμενοι τὸ [6] σὸν καθυβρίζουσι λόγιον, καὶ τῶν τῆς συμφορᾶς ἀναθημάτων ἀντέχονται, καὶ τὴν ὑπόθεσιν τῶν ἀτυχημάτων ἀσπάζονται· τίνι τῶν κρειττόνων ἀναθησόμενοι; τέχνῃ μάλιστα πράττεται, Ἀπόλλων τοῦτο μεμίσηκεν, Ἀθηνᾷ δώσομεν, πόλεμον ὁρῶ κρυπτόμενον· ἔνδοθέν ἐστι τέχνημα μυρίας ἔχον τὰς φάλαγγας· εἴσω τούτου κρύπτεται τῶν ἀριστέων κατάλογος· οἶμαι τάχα λόγων ἐμῶν καὶ Διομήδης αἰσθάνεται, ὁ πολύμητις φθέγξασθαι διὰ τὴν τέχνην αἰσθάνεται· εἴσω θᾶττον βουλεύονται λόγοις Νέστορος πειθόμενοι· οἴμοι τῶν ἀτυχημάτων, πρότερον ἐκκλησιάζουσι, καὶ κατασκάψειν ἐλπίζοντες οὐχ

4 Cod. Καφάνδρα. 5 Cod. ἡ πτώμενος, legendum videtur ἡττώμενος, sed acumen sententiae non satis liquet. 6 Cod. τόν.

Digitized by Google

ὁρῶσι τοὺς ἠδικημένους, οὐκοῦν ἤδη καὶ Θύσομεν πολεμίοις τὰ νικητήρια, στεφανούμενοι πίπτομεν εὐχὰς Ἑλλήνων πληρώσαντες.

4. Τίνας ἂν εἴποι λόγους ὁ Ζεὺς Ἄρεα δεσμώτην ἐξ Ἡφαίστου θεώμενος.

Δεσμὰ καὶ θεοὶ καὶ τὸ κράτιστον ἐξ ἀνάνδρου κατέχεται, καὶ μηχανὴ βιαιοτέρα τῆς παθεῖν οὐκ ἐπισταμένης γέγονε φύσεως· καὶ γέλως Ἄρεος ἐξ Ἡφαίστου παρὰ θεοῖς, ὁ γεγονὼς ἐκ Διὸς τῷ τῆς ὥρας ἁλίσκεται, καὶ τικτόμενοι μὲν οἱ Διὸς ὑπερέχουσιν, εἰς δὲ τέχνην ἁλίσκονται· τί πολέμων Ἄρες ἐπιστατεῖς, εἰ κρατεῖν ἀγνοεῖς; ποῦ δὲ μάχαι καὶ ὅπλα πρὸς μίαν ταύτην μηχανὴν καθεστήκασιν, ὅθεν ἕτοιμος τοῦ βραδέος ἁλίσκεται. [7] Ἡφαίστῳ πόδες οὐκ εἰσὶ καὶ περίεστιν, Ἄρης ἐξορμᾷ καὶ παθὼν οὐκ αἰσθάνεται· δεσμώτης ὁ παῖς, καὶ δεσμώτης κατ᾽ οὐρανὸν, ὦ θεοὶ, καὶ θεῶν σύλλογος ἐπὶ γέλωτι σύνεισι, καὶ τὰ τῶν ἡδονῶν ἀπόῤῥητα φαίνεται, καὶ δι᾽ ἀμφοτέρων κακοπραγῶ, καὶ τεκὼν Ἄρεα καὶ τὴν Ἀφροδίτην παρενεγκών· ὦ λανθάνοντες κόρης ὑμέναιοι πρὸς ἀδοξίαν τῷ τεκόντι γενόμενοι, τί κατέστην πατὴρ, εἰ τεκὼν ἀδοξῶ; τί δὲ θεοὺς ὑπερέβαλλον, εἰ τῆς ὥρας ἧττον [8] νομίζομαι; πῶς ἔτι κρατῶ κρατούμενον τεκών; τί γὰρ ἐπ᾽ ἐμοὶ τῶν δεινῶν οὐ προσγέγονε; Κρόνου προῆλθον, ὃς εἶναι πατὴρ οὐκ ἠνείχετο, τίκτων ἀνήλισκεν, ἃ παρῆγε τεκὼν, καὶ πατὴρ ὁ αὐτὸς τῶν παραγενομένων ὑπῆρχε καὶ στέρησις· εἶτα τοιούτου φανεὶς τοῖς ἐκ τῆς Ῥέας ἐσωζόμην σοφίσμασι, καὶ λίθος ἀντ᾽ ἐμοῦ δεδαπάνηται, καὶ σωθεὶς τῇ μητρὶ κρατῶ μὲν θεῶν, ἐπανιστα-

7 Hom. Od. 8, 329. οὐκ ἀρετῇ κακὰ ἔργα· κιχάνει τοι βραδὺς ὠκύν. Theogn. 457. ed. Welck. καὶ βραδὺς εὔβουλος εἶλεν ταχὺν ἄνδρα διώκων. Cfr. Arsen. Violet. p. 320. 8 malim ἥττων. — l. 26. Cod. φανεὶς τῆς.

σταμένους Τιτάνας ἐξεῖλον, καὶ νῦν παῖδα τεκὼν οἷς παράγω κακίζομαι, καὶ κατ' ἄμφω κακοπραγῶ, καὶ παῖς καὶ πατὴρ καθιστάμενος· ἀλλὰ τί ταῦτα διατρίβω παῖδας ἐν αἰσχύνῃ καταλιπών; ἴθι μοι [9a] Πόσειδον καὶ πεῖθε τὸν Ἥφαιστον δεσμῶν ἀφεῖναι τὸν Ἄρεα, καὶ κατεγγύα τὰ μέλλοντα, ὡς τοῦ λοιποῦ σωφρονήσωσιν.

5. Τίνας ἂν εἴποι λόγους Ἄδραστος τοὺς στρατηγοῦντας ἐν Θήβαις ἀποβαλών.

Οὐκ ἦν ἄρα μόνον τῶν ἐν ταῖς Θήβαις ἀτυχημάτων μεταλαβεῖν, οὐδὲ στρατηγὸν ἀτυχεῖν οἷς ἔνι καταμαχόμενος, ἀλλ' ὅσοι Θήβας ἑλεῖν ἐπεχείρησαν παρ' ἐκείνας πεπτώκασιν· ἀριθμὸς στρατηγῶν δηλοῦται τοῖς ἀτυχήμασι, καὶ τὸ μέτρον αὐτῶν ἐλέγχει τὴν τύχην. Καίτοι τί Θήβαις ἀτυχὲς οὐ προσγέγονεν; ὑμέναιοι παρὰ τὰς Θήβας παράνομοι, καὶ παῖδα τῇ μητρὶ παρῆγε Λάϊος σύνοικον, καὶ τῆς Ἰοκάστης προῆλθεν Οἰδίπους, τὴν αὐτὴν ἔχων καὶ μητέρα καὶ σύνοικον· ἔπειτα Σφὶγξ καὶ ταύτης αἰνίγματα, καὶ λύων Οἰδίπους σοφίσματα, παῖδας ἀδελφοὺς τοὺς αὐτοὺς ἐνεγκὼν ταύτης τῆς παρανόμου γονῆς ἕνεκα, κηδεστὴν ἐποιούμην ἐγὼ, καὶ στρατείαν παρὰ τὰς Θήβας συναγαγὼν, οὓς ἦγαγον στρατηγοὺς ἀπολώλεκα· καὶ τί ταῦτα δακρύω; κεῖνται μὲν γὰρ ἄταφοι στρατηγοὶ, Θηβαῖοι δὲ παρὰ τὰ νομιζόμενα [9b] ὑβρίζουσι, καὶ τάφος παρὰ Θηβαίων ἀνῄρηται· ἡ κοινὴ τῶν κειμένων αἰδὼς τῶν παρανομημάτων ἔσται τις δίκη, καὶ τῶν κειμένων οἱ παῖδες· οὕτω γὰρ Θήβας κεῖσθαι ποιήσουσιν, ὡς περὶ ταύτας οἱ πατέρες πεπτώκασιν.

6. Τίνας ἂν εἴποι λόγους Ἀγαμέμνων ἐκ Κλυταιμνήστρας οἴκοι πεσών.

Ὡς ἐπὶ δυστυχίᾳ τῶν Ἀτρειδῶν κατέστη πατὴρ ὁ Τύνδαρος, ἑκατέραις γοναῖς ταῖς Ἀτρέως ἐπὶ συμφοραῖς·

9a Cod. μῖ. 9b Cod. παρὰ τῶν νομιζόμενων.

Digitized by Google

καὶ πλεῖ μὲν δι᾽ Ἑλένην Μενέλαος, ἐγὼ δὲ διὰ Κλυταιμνήστραν ἀνῄρημαι· Μενέλαος μὲν Ἑλένην τῆς Ἑλλάδος ἀλλοτριοῖ, Κλυταιμνήστρα δὲ τῶν βίων ἐμὲ, καὶ κακοπραγοῦμεν δι᾽ ἀμφοτέρας ἑκάτεροι, διὰ δὲ Κλυταιμνήστραν μᾶλλον ἐγὼ, καὶ πρὸς ἅμιλλαν ἀτυχημάτων καθίστανται, τίς μᾶλλον ἀδικήσει τὸν σύνοικον· καὶ παρεῖδε μὲν Ἑλένη Μενέλαον, ἐμὲ δὲ ἡ λοιπὴ πρὸς τὸν Αἴγιστον· οὐκ ἦν παρὰ [10] Τροίαν οὐδὲ παρὰ τὰς Μυκήνας ἐπιλείπειν, οὐδὲ κινδυνεύων τελευτᾷν μετὰ πόλεμον, οἷα μάχης κακοπραγῶ ἀρχὴν, καὶ πέρας ὤφθη τῆς ἀρχῆς σφαλερώτερον, οἶκος καὶ φόνος, ἑστία καὶ τελευτή· κεῖται Τροία καὶ μετ᾽ ἐκείνην ἐγὼ, καὶ πολεμίοις διαφθείρομαι πίπτουσι, καὶ Τροίας οὐδὲν αἱ Μυκῆναι [11] διοίσουσι, μᾶλλον δὲ Τροίας ἡ Ἑλλὰς δυσμενέστερον, ἀνεῖλεν οἶκος ὃν ὁ πόλεμος ἔσωσεν· ὡς ἔδει Τροίαν ἑστηκέναι μέχρι παντός· οὕτω γὰρ ἂν ἐβίων μετ᾽ ἐκείνης ἐγὼ, νῦν δὲ πρὸς τοὐναντίον πάντα χωρεῖ, καὶ βεβιώκαμεν ἔνθα πίπτειν ἐχρῆν· ἀνῄρημαι δὲ ᾗ βιῶναι παρῆν· οἶκος καὶ Τροία τὰς παρ᾽ ἀλλήλων ἠλλάξαντο τύχας, καὶ γέγονε μὲν οἶκος Τροίας πολεμιώτερος· Τροία δὲ τῆς ἑστίας εὐδαιμονέστερον, ἀλλ᾽, ὦ φίλη γῆ, τὸν Ὀρέστην ἀντ᾽ Ἀγαμέμνονος ὅπλιζε, καὶ ποίει Κλυταιμνήστρᾳ τὰς Μυκήνας εἰς Τροίαν.

7. *Τίνας ἂν εἴποι λόγους Μιλτιάδης ἐν Μαραθῶνι πρῶτον θεασάμενος Πᾶνα τὸν θεόν.*

Ὡς ἐπὶ νίκης Ἑλληνικῆς θεὸς κατεφάνη νεωτέρων ἔξω τί πλέον· ὡς τὸν ἀριθμὸν οἱ θεοὶ πάντων ἀνθρώπων ἐσόμεθα κρείττονες, ὥστε πῶς ὁ θεὸς ἐπιφέρει τῷ σώματι· κέρας ἀνέχει τῆς κεφαλῆς, οὐρανοῦ κύκλον σημαίνων τῷ σχήματι καὶ συμμαχοῦντας ἀποφαίνει θεοὺς, οἷς τὰ θεῶν ἐπιδείκνυται, καὶ τὸ στέρνον ὑποδασύνεται,

10 Cod. ἄρα. 11 Cod. μηκύναι.

δηλοῦν μὲν ἃ γῆ φέρειν ἐπίσταται, νίκην δὲ ὅμως προφητεῦον ἐν γῇ· καὶ πεζομαχῶ κατ' ὀρθὸν εἰς τὸν Πᾶνα σκοπῶν· ὑπόκειται γῆ πρὸς μὲν στέρνον Πανὶ, πρὸς δὲ νίκην Πανὶ, πρὸς δὲ νίκην ἐμοὶ καὶ βοσκήματα φέρει τοῖς σκέλεσιν. ὅσον ἐγκρατὴς ἔσομαι δείκνυσι· πάντα τὰ Περσῶν εἰς ἐμὲ μεταστήσεται, πάντα τοῦ Πανὸς ἐπὶ σώματος ἄγοντος· καίτοι τίς νέος ἐν θεοῖς καταστὰς οὐ νέοις ἡμῖν δωρεὰς εἰσηνέγκατο; καρποὺς Ἀθηναίοις ἀνῆκε Διόνυσος, ὅθεν θεὸς ἐνομίζετο· νικᾷν ἐν ὅπλοις Ἡρακλῆς ἐδωρήσατο θεὸς ἐξ Ἀθηνῶν κηρυττόμενος, καὶ νῦν Περσικὸν ἐργάζομαι τρόπαιον, ὅτε μοι καὶ Πὰν κατεφάνη θεός· αἱ παρενθῆκαι ὄντως αὗται· τῶν Ἀθηναίων αἱ δωρεαί· καὶ τί δεῖ μέλλειν εἰς μάχην, Καλλίμαχε, στῆθι κτεινόμενος· [12] νεὼς βαρβαρικῆς ἐπιλαμβάνου Κυναίγειρε, [13] καὶ ναυμάχει χεῖρα πορῶν. (sic)

---

12 Locis ad Hermog. Prog. c. 7. allatis adde Arsenii Violet. p. 215. Ἐκ τῶν Πλουτάρχου ἱστοριῶν.

Καλλίμαχος δὲ πολλοῖς περιπεπαρμένος δόρασι καὶ νεκρὸς ἑστάθη. Κυναίγειρος δὲ Περσικὴν ἀγομένην ναῦν κατέχων ἐχειροκοπήθη· ὅθεν καὶ εἰς αὐτοὺς ὑπὸ Παντελίου τοιαῦτα γεγράφθαι λέγεται.

Ὠκεανοῦ καμάτοιο, καὶ ἀπρήκτου πολέμοιο,
Ἡμετέρῳ βασιλῆϊ τί λέξομεν ἀντιάσαντες;
Ὦ βασιλεῦ, τί μ' ἔπεμπες ἐπ' ἀθανάτους πολεμιστάς;
Βάλλομεν, οὐ πίπτουσι· τιτρώσκομεν, οὐ φοβέονται.
Μοῦνος ἀνὴρ σύλησεν ὅλον στρατόν· ἐν δ' ἄρα μέσσῳ
Αἱματόεις ἕστηκε σιδηρείαις ὑπὸ ῥίζαις,
Κοὐκ ἐθέλει πεσέειν· etc.

13 Cod. Κυναίγῳ — Adjicio locum ex Herodoto VI, 114. Καὶ τοῦτο μὲν ἐν τούτῳ τῷ πόνῳ ὁ πολέμαρχος Καλλίμαχος διαφθείρεται, ἀνὴρ γενόμενος ἀγαθός· — — τοῦτο δὲ, Κυναίγειρος ὁ Εὐφορίωνος ἐνθαῦτα, ἐπιλαβόμενος τῶν ἀφλάστων νηὸς, τὴν χεῖρα ἀποκοπεὶς πελέκεϊ πίπτει. Liban. T. IV. p. 431. νῦν μὲν γὰρ ὁ Κυναίγειρος καὶ ὁ Καλλίμαχος, καὶ ὁ Λεὼς, καὶ ὧν ἐμεμνήμην ἄρτι,

Digitized by Google

8. Τίνας ἂν εἶπε λόγους Θεμιστοκλῆς γῆν καὶ θάλατταν μεταποιουμένην ἀκηκοώς.

Ἔν ἔτι τοῖς Ξέρξου λείπεται θαύμασι, καὶ τὴν οἰκείαν τύχην μεταβαλεῖν· ἐπὶ γῆς ἄνθρωποι πλέουσι καὶ ποδὶ διέρχονται πέλαγος, καὶ φυγάδα θεάσομαι τὸν μηδὲν εἰδέναι καταλείψαντα βέβαιον· ἀπίτω τῆς γῆς ὁ τὴν γῆν οὐκ ἐῶν, καὶ δραπετευέτω τὴν θάλατταν ὁ μεταθεὶς εἰς τὴν ἤπειρον, μαρτυρείτω τὴν ἧτταν τὰ παρ' ἐκείνου γενόμενα, δι' ὧν ἐδημιούργει φευγέτω, γεγονάμεν Ἀθηναίων θεῶν, καὶ θεῶν ὄνομα κατοικοῦντες ἐλάβομεν καὶ τὸ πρὸς τοὺς θεοὺς συγγενές· δήλη κλῆσις καὶ γένεσις· ἔπειτα τῆς γῆς ἐρῶσι θεοὶ καὶ δικασταὶ τοῖς ἐρῶσιν οἱ κρείττονες, καὶ τὸ ποθοῦν τοῖς κρίνουσιν ὅμοιον, καὶ πάντες γεγονότες ἀπὸ θεῶν οὐ δείσομεν ἄνθρωπον προσκαυχούμενον[14] μὲν οἷα θεὸν, ἀγῶνα δὲ πρὸς θεοὺς ἀνελόμενον· γῆν ἀφείλετο Δήμητρος, Δημήτηρ ἡμῖν εἰς ἀγῶνα συλλήψεται, Ποσειδῶν ἀφῃρέθη τὴν θάλατταν, συνναυμαχήσει μετὰ τῶν Ἀθηναίων ὁ Ποσειδῶν, ἥλιος ἀφῃρέθη τὰς βολὰς τοῖς τοξεύμασι, φυγὰς ὁ Ξέρξης ὑφ' ἡλίῳ γίνεται μάρτυρι, βαλλομένην τὴν Ἑλλάδα μὴ θεωρῶν Μαρδόνιον ὄψεται κείμενον· ὁπόσοι τοὺς θεοὺς ἀφῃρέθησαν τοῖς Ἀθηναίοις συμπράξουσι,

---

κοσμοῦσιν ἐν τοῖς λόγοις τὴν πόλιν. Longiorem de Cynaegiro et Callimacho Monachi Theoduli exercitationem edidit Boisson. Anecd. Vol. II. p. 229. Lucian. Iup. trag. c. 32. ξυναπολέσαι ἑνὶ πονηρῷ τοσούτους, καὶ προσέτι τὴν στοὰν, αὐτῷ Μαραθῶνι καὶ Μιλτιάδῃ καὶ Κυναιγείρῳ, καὶ πῶς ἂν τούτων συμπεσόντων οἱ ῥήτορες ἔτι ῥητορεύοιεν, τὴν μεγίστην εἰς τοὺς λόγους ὑπόθεσιν ἀφῃρημέναι. Praec. rhet. c. 18. ἐπὶ πᾶσι δὲ ὁ Μαραθὼν, καὶ ὁ Κυναίγειρος, ὧν οὐκ ἄν τι ἄνευ γένοιτο· καὶ ἀεὶ ὁ Ἄθως πλείσθω, καὶ ὁ Ἑλλήσποντος πεζευέσθω, καὶ ὁ ἥλιος ὑπὸ τῶν Περσικῶν βελῶν σκεπέσθω, κ. τ. λ. 14 Cod. προσκανούμενον.

Digitized by Google

καὶ συμμαχοῦντας ὥσει θεοὺς ὁ μηδὲ θεὸς ἐν Ἑλλάδι δοκῶν· καὶ δείξει Πέρσαις ἀναχωρῶν, ὡς Ἀθηναῖοι τῶν βαρβάρων τὰς τύχας ἀντὶ θαλάττης καὶ γῆς μεταβάλλουσιν.

9. Τίνας ἂν εἴποι λόγους ἠπειρώτης [15] πρῶτα θεασάμενος θάλατταν.

Ὡς πάντα ἐλπίσας ἢ γῆν τελευτῶσαν ἰδεῖν προϊὼν ἔληγον, καὶ πέρας ἐθεώμην τῆς γῆς, καὶ τὸν ἤπειρον ἕτερόν τι φανὲν διαδέχεται θαῦμα καὶ πέφηνέ τι παρὰ ταύτην παράλογον, καὶ τὸ θαυμάσιον κρίνειν ἠπόρηκα. Τί γὰρ δὴ τοῦτο τὸ πεφηνὸς προσειπεῖν ἀέρος φύσιν οὐ διασέσωκεν, οὐ γὰρ ὑπὲρ κεφαλῆς φερόμενον αἴρεται· μένειν αὐκ οἶδεν ὥσπερ ἡ γῆ, χρῆσιν οὐ παρέσχε τῶν ῥευμάτων ἡ φύσις, ἀλλὰ καὶ τρόπον ἔχει παραλογώτερον· ἔνδοθεν μὲν γὰρ ὡς μαχόμενον φέρεται, προσιὸν δὲ τῇ γῇ φυγῆς παρ' αὐτῆς δέχεται σύνθημα, καὶ προέρχεται μὲν ὡς πολέμιον, ἀπαλλάττει δὲ ὡς ταύτης γενόμενον φίλτατον· ἦν ἄρα τοῦτο ὃ πάλαι θρυλλοῦντες ἄνθρωποι λέγουσι θάλατταν, ἐπὶ ταύτης οἱ κάκιστ' ἀπολούμενοι πλέουσιν ἄνθρωποι, καὶ ταύτῃ τὸν οἰκεῖον βίον πιστεύουσιν· αλλ', ὦ Πόσειδον, σὲ μὲν σεβοίμην ἐν γῇ διαιτώμενος, σὺ δέ, ὦ Δήμητερ, ἄμφω τὰς σὰς φιλοτίμησαι χάριτας, βίον ἀκίνδυνον καὶ θάνατον ἔντιμον νέμεσθαι.

10. Τίνας ἂν εἴποι λόγους Ἀχιλλεὺς ἐπὶ τῆς σκηνῆς θεασάμενος Πριαμον.

Οὐκ ἦν ἄρα Τροίαν ἰλλοτριῶσθαι θεῶν, οὐδὲ δίκα Διὸς εἶναι τοὺς Λαομέδοντος, πάντα τοῖς Τρωσίν εἰσιν οἱ θεοὶ καὶ μαχουμένοις καὶ πίπτουσιν. Ἐγσκηνοῖ Πρίαμος, ὦ θεοὶ, παρὰ τὴν Ἀχιλλέως σκηνὴν καὶ διῆλθε

15 Cod. ἠπειρώτας.

τὰς πύλας μηδενὸς ὑπανοίξαντος, καὶ πολεμίοις συναναμίγνυται, μηδὲν δεδοικὼς ὁ τὸν παῖδα θρηνῶν, καὶ πεσεῖν οὐ λογίζεται πεπτωκότα ζητῶν, οὐκ ἦν ἄρα συμφορᾶς μεγάλης ἀλγεινότερον· τίσιν ὄμμασι Πρίαμος ἐπὶ τίσι λογισμοῖς Ἀχιλλέα σκοπεῖ; πολιᾷ θαρρεῖ προχειρότερον ἀριστέως τολμήσαντος. ταύτην τὴν Ἕκτορος εἰργάσατο ῥώμην· καρτεροῦντος πατρὸς παῖς ὑπῆρχε θρασύτερος· ὡς ἔγωγε πείθομαι καὶ Τροίαν τετειχίσθαι θεοῖς· Τροίαν Ποσειδῶν περιέβαλλε, καὶ μετὰ Ποσειδῶνος Ἀπόλλων, καὶ θεοὶ τοὺς Τρώων συνδιαιτωμένους ἐκτήσαντο παῖδας, καὶ μαχομένους μὲν αὐτοὺς ἐξαιροῦνται πολλάκις· σεμνύνουσι δὲ συγχωροῦντες πεσεῖν· κἂν γὰρ πολέμου νόμος εἰς ὕβριν ἐκδῷ, συπρεσβεύων θεὸς ἐξαιρεῖται τῆς ὕβρεως· ἀλλὰ τί ταῦτα φέρω πρὸς ἔκπληξιν; λυθήσεται μὲν Ἕκτωρ διὰ θεούς, σὺ δὲ Τρωσὶν ἅπασι κήρυσσε, ὡς Ἀχιλλεὺς οἶδε δαπανᾷν μὲν ἀνθεστηκότας, ἐλεεῖν δὲ πεσόντας.

11. Τίνας ἂν εἴποι λόγους Κίμων Μιλτιάδου τοῦ πατρὸς ἐν δεσμοῖς τελευτήσαντος.

Οἵαν ἀνθ' οἵων Ἀθηναῖοι παρέχουσι τύχην, Μιλτιάδης ἐν δεσμοῖς, ὦ θεοί, τελευτᾷ· μετὰ Μαραθῶνα δεσμὸς, μετὰ τρόπαια θάνατος ἄτιμος, καὶ γίνεται γέρας ἔργων λαμπρῶν ἀτιμότερον οἴκημα, κακὴν τοῖς ἀρίστοις ἐν τῷ δεσμωτηρίῳ φέρει τὴν τελευτὴν, καὶ κινδύνων εἰσὶ δωρεαὶ συμφορῶν αἱ δεινότεραι· τί γὰρ ἐπ' αὐτῷ τῶν περιφανῶν οὐ προσγέγονεν; οὐκ ἐπὶ τὴν Ἑλλάδα Πέρσαι προσῄεσαν, ὡς Ἀθήνας αὐτὰς ἀναρπάσοντες, οὐ τὸν Αἰγαῖον οἰχήσαντες ἔπλεον; οἱ φυγῆς ἐνεπίμπλων τὴν θάλατταν; οὐκ ἀπεστέρουν τῆς αὐτῶν θέας τοὺς ἐντυγχάνοντας; οὐ συνῆγον οἰκεῖν; ἅπαντες ἔφευγον, οὐκ Ἐρετρίαν ἐμπεσόντες σεσαγηνεύκασιν; οὐ πανοικίᾳ τὸ τῶν Ἐρετριῶν ἀνήρπαστο γένος.

Digitized by Google

12. Τίνας ἂν εἴποι λόγους Ἡρακλῆς ἐπιβαίνων πυρᾶς.

Εἷς ἆθλος ἔτι μοι λείπεται, λῦσαι τοῦ σώματος ἐμαυτὸν, τοῦτό με πρὸς θεῶν ἀνύσει τὸ πῦρ, οὗτος ἀπαλλάξει με γῆς ὁ χιτών· ἄθλοις ἅπασαν ἐκάθηρα γῆν, καὶ τῆς ἐμῆς ἀρετῆς οὐδὲν ἠπείρου μέρος ἀμάρτυρον· ἀλλ' ἔτι τῆς γῆς σχῆμα τῶν ἐμῶν γεγένηται πόνων, ὑπόλοιπον οἶν μοι τὰ τῆς γῆς οὐρανὸν εἰσενέγκασθαι· τί γὰρ ἐπ' ἐμοὶ τῆς Διὸς συγγενείας οὐ προγεγένηται; οὐ περὶ τὰ σπάργανα τοὺς προσπεσόντας διέφθειρα δράκοντας; οὐχ ὅλου βίου προοίμιον γέγονε τῶν ἀγώνων ἀρχὴ; παρὰ τὴν Ἑλλάδα μέσην ἐγκατασκήψαντα διέφθειρα λέοντα, καὶ σκευῇ χρῶμαι τῷ προκαλύμματι, καὶ μετ' ἐκεῖνον ὕδρα διέφθαρται πλείους ἀνιεῖσα τῶν τεμνομένων τὰς κεφαλάς· ἦλθον εἰς μάχην τοῖς κάτω θεοῖς, καὶ τὸν τῶν κατοιχομένων ἀνήγαγον φύλακα· ὄρνις διέφθειρα τοὺς ἐπτερωμένους τοῖς βέλεσιν· ἐπ' ἔσχατα προελήλυθα γῆς, καὶ φύσιν βοῶν ἀναγαγὼν ἐπὶ τῆς Ἑλλάδος κεκόμικα· καὶ κέρας ἐλάφου χρυσοῦν νομιζόμενον, οὐδ' εἰ γέγονεν ἔγνωκα· τίς δῆτα λοιπὸς ἔσχατος τῶν ἄθλων; θεοὶ, καὶ μετὰ τῆς Ἥβης ἐνθένδε συνέσομαι, τελευτῶν καὶ οὐ κτεινόμενος.

13. Τίνας εἴποι λόγους Μενέλαος ἀκηκοὼς Ἀγαμέμνονα παρὰ τῆς Κλυταιμνήστρας οἴκοι τεθνάναι.

Εἰς οἷον ἀδελφὲ τῆς Τροίας ὁ πόνος προῆλθέ σοι πέρας, ἄμεινον ἦν σοι παρὰ τὴν Τροίαν πεσεῖν ἀριστεύοντι, παρεμυθεῖτο τὸν θάνατον ἡ περὶ τὴν Τροίαν συμβαίνουσα δόξα, καὶ τὸ δυσχερὲς οὐκ εἴα σκοπεῖν βαλὼν ἀριστεύς· κοῦφόν τι θάνατος ἐν πολέμῳ συμβάς· ἀρετὴ πράττει τὸ πάθος, οὐ τύχη· νῦν δὲ τὸν ἐν Τροίᾳ διελθὼν κίνδυνον ἔνδοξον τὸν ἐπ' οἴκου πέπονθας ἄδοξον. καὶ κτείνει σε παρὰ τὴν ἑστίαν γυνὴ καὶ ὁ ταύτην

Digitized by Google

κατακλινόμενος Αἴγισθος· οἴμοι σφαγεὺς Ἀγαμέμνονος, καὶ διηκονεῖτο πρὸς τὴν πρᾶξιν ἡ σύνοικος· καὶ παρὰ τὸ δεῖπνον τεθέαμαι κείμενον, ὃν ἀριστέα κατεῖδεν ἡ Τροία· καὶ διεφθάρη τρυφῶν ὁ περὶ τοὺς κινδύνους ἀποφυγών, καὶ χοὰς τελευτῶν οὐ διήνεγκεν· ὢ πόσας Τρώων ὑπερέβη βολὰς, ὅσων δὲ τραυμάτων γέγονε κύριος, ἐστρατήγει ποτὲ τῶν Ἑλλήνων πληγείς, καὶ τὴν ἡγεμονίαν οὐκ ἀπεῖργε τὰ τραύματα, καὶ βεβλημένος εἶργεν εἰς μάχην ἐρρωμένος· ἔνοπλος ὑπῆρχε κρεῖττον Ἀπόλλωνος βάλλων, καὶ διήρκεσε πρὸς ὅλην τὴν μάχην, πρὸς οὐδένα καταπλαγείς· εἶδεν ἀνῃρημένον τὸν Θέτιδος, καὶ μένων ἐμάχετο· διεφθάρη περὶ τὸν ναύσταθμον Αἴας καὶ πάλιν ἀντεῖχεν εἰς κίνδυνον· οὐδὲν ἐλύπει τὴν Ἀγαμέμνονος μάχην Ἀντίλοχος κείμενος· ὅσοι τῶν Ἑλλήνων ἀνῃροῦντο μαχόμενοι, τοσοῦτοι νίκης αὐτῷ κατελείποντο τρόποι, καὶ διελήλυθε καὶ Τροίαν καὶ τύχην· οἶκοι δὲ Τρωσὶν ἐξέτισε δίκην ὁ Τρῶας ἀνῃρηκὼς, καὶ μιᾶς ἐλείπετο γυναικὸς ὁ Τρώων ὅλων διαφθείρας στρατόπεδον· ἀλλὰ τίς ἄν μοι τὸν Ὀρέστην ἐκσώσειεν; οὗτος Αἰγίσθου λήψεται δίκην, οὗτος μητέρα διεφθαρκὼς οὐκ ἀδικήσει τὴν φύσιν, ἀλλ' ἀμυνεῖται τὸ γένος.

14. Τίνας εἶποι λόγους Λαοδάμεια μαθοῦσα τοὺς Ἕλληνας ἐπανήκοντας.

Προθεωρία· Ἀνεῖται μὲν εἰς ἦθος ὁ λόγος, οὐ μὴν ἀφῃρέθη τὸ πάθος· οὐ γὰρ ὅτι προῆλθεν εἰς ἦθος, ἐπιλείπει τὸ πάθος, ἀλλ' ὅτι προείληφεν ἦθος, καὶ τὸ πάθος συγκέκραται, ἐν γὰρ ταῖς συγκειμέναις τῶν ἰδεῶν ἡ τῶν προσώπων καὶ μεμιγμένη διαμένει ποιότης.

Εὖγε νίκης Ἑλληνικῆς, εὖγε σωτηρίας ἐπιγραφομένης τὸν Πρωτεσίλαον· οἴμοι τῆς ἀνδρὸς τελευτῆς, οἴμοι Τρωϊκῆς συμφορᾶς, ἧς κοινωνεῖ Λαοδάμεια· πρὸς ὑπό-

μνησιν ἄγει τῶν ἀτυχημάτων ἡ νίκη, καὶ ἀφαιρεῖται τὴν νίκην ὁ τοῦ δυστυχήματος τρόπος, ἐπ' ἀμφοτέρας διαιρούμενος τὰς τύχας· ἆρα δακρύω τὸν Πρωτεσίλαον, ἢ νενικηκόσι τοῖς οἰκείοις συνήδομαι, καὶ πρὸς ἡδονὴν ἅμα διαιροῦμαι καὶ θρῆνον, ἡδονῆς ἡ Ἑλλὰς ἀναπίμπλησιν, ἔλκει πρὸς ὀδυρμοὺς Πρωτεσίλαος· ἐπὶ μιᾶς οὐ δύναμαι μένειν τύχης, τίνας ἀφήσω φωνὰς, οἰκτρὸν ὀλοφύρομαι, δόξω Τρωϊκὴ γεγονέναι γυνὴ, παιανίσω λαμπρὰ, ταύτην ἀναιρεῖ τὴν φωνὴν Πρωτεσίλαος· ποίοις σπείσω θεοῖς; ἆσω γαμήλιον, μία τὸν γάμον ἐδίδαξε νύξ· σωτῆρας ὀνομάσω θεοὺς; τίνα τῶν οἴκοι θεωμένη σωθέντα, καὶ τί ταῦτα διατρίβω τηνάλλως,[16] ἐξὸν ἀριθμεῖν τοὺς ἐν Τροίᾳ κειμένους· δακρύει Πηλεὺς τὸν Ἀχιλλέα οὐ θεώμενος τάφον. Τελαμὼν ἀποδύεται πάλιν οὐ θεώμενος Αἴαντα· Λοκροὺς ἀνιᾷ κείμενος Πάτροκλος, Πυλίους Ἀντίλοχος, τῶν ἀριστέων ὅσοι περιπεπτώκασι, Πρωτεσιλάου μιμηταὶ καθεστήκασι, καὶ μετὰ τῶν πατέρων ἀνιωμένη δι' ἀνδρὸς μετὰ τῶν γυναικῶν ἁμαρτίαν ὀδύρομαι, μετὰ Δηϊδαμείας ἐν Σκύρῳ, μετ' Αἰγιαλείας ἐν Ἄργει, πρώτη δακρύω χηρείαν οὐ μόνη· καὶ τί μοι θρηνεῖν ἀνδρὸς τελευτὴν; ἀλλ' ὥρα σπεῖσαι Πρωτεσιλάῳ, ποῖ τέθαπται γῆς; τίς ἔκρυψε χῶρος; τίνος τῶν ὀρέων ἀπάρξομαι; τίς μεγάλα δακρύουσαν παραμυθήσεται τάφος; ἐπ' ἀμφοτέρας τῆς ἠπείρου κακοπραγῶ, παρὰ μὲν τὴν Τροίαν ἀφῃρημένη τοῦ συνόντος τὸν βίον· ἀλλ' εὗρον ἔνθα τραπήσομαι, παρὰ τὸν θάλαμον στήσω τὸν τάφον, παρ' ὃν οὐκ ἔσχον ἄδειν ὑμέναιον, ἐπιθήσω τὸν θρῆνον καὶ συναφθήσομαι δάκρυσιν, ὅτι συνελθεῖν ἀφῃρέθην τοῖς σώμασι. καὶ χοὰς ἐπιφέρειν παραιτουμένη λέξω τοῖς κάτω θεοῖς· θεοὶ ὅσοι τὰ γῆς ἐκληρώθητε, Πρωτεσίλαον ἄφετε συγγενέσθαι πρὸς μίαν

16 Cod. τηνάλως.

Digitized by Google

αὖθις ἡμέραν. ἀναβιοὺς ἐρεῖ, ποίᾳ καὶ κάτω τέτακται τάξει, ἢ δηλονότι ἔτι τῇ πρώτῃ, ὥσπερ εἰς Τροίαν ἠρίστευσε πρῶτος.

Εἰς τὴν αὐτὴν προθεωρία· ἐν ταῖς γυμνασίαις τὰς ἐξαλλαγὰς ἡ τῶν προσώπων ἐπιφέρει ποιότης, ὅθεν παρέχει ταῖς ἠθοποιΐαις ἡ τέχνη καὶ φράσαι περιπαθῶς καὶ πρὸς ἦθος εἰπεῖν καὶ μίξαι τὸ συναμφότερον.

Οὐκ ἦν ἄρα Τροίαν ἀδακρυτὶ κατασχεῖν, οὐδὲ νίκην βαρβαρικὴν ἔξω τοῖς Ἕλλησι καταστῆναι τῶν ὀδυρμῶν· εἰς ἴσον ἐπαίρουσι θρῆνον καὶ νενικηκότας οἱ Τρῶες· τίς γένωμαι; ποῖ τραπήσομαι γῆς; στόλος ἐπανῆκεν Ἑλληνικὸς· στόλος, ὦ θεοί, Πρωτεσιλάου χωρὶς, ποῖ τέτακται; τίνος ἀποβαίνει νεὼς πρῶτος; Ἑλληνικῆς ἐπιβήσεται γῆς· ὡς βαρβαρικῆς ἐπιβέβηκε πρῶτος, ἀπορῶ κατιδεῖν· ἐπιλείψω μᾶλλον ἀριθμήσας τοὺς ἥκοντας, ἢ θεωμένη τὸν σύνοικον· οἴμοι τῆς Τροίας, ὡς ἀγνώμων ἡ πόλις, τὸν πρῶτον ἐπιβάντα τῆς γῆς οὐκ ἀντέδωκεν, ἢ τάχα καὶ αὐτὴ φανέντος ἠράσθη [17] — — ⏑ —

Cap. XII.

1. Ἔκφρασις Πολυξένης [1]

σφαττομένης ὑπὸ τοῦ Νεοπτολέμου.

Τὸ δὲ Πολυξένης πάθος τεθέαται μὲν γεγενημένον ἡ Τροία· παρέσχε δὲ ἡ σκηνὴ μετὰ τὴν Τροίαν ἰδεῖν. καὶ λαθεῖν δ' ἐπὶ τούτοις οὐκ ἐῶσιν οἱ πλάττοντες, χαλκῷ τὸ πραχθὲν ἀπεικάζοντες. Ἐν περιφανεῖ τοίνυν χω-

17 Finem hujus capitis et initium sequentis absorpsit jactura folii, quod post fol. 149. excidit.

1 Partem priorem hujus descriptionis usque ad verba: προσερείδει τῇ κόρῃ, καὶ δοκεῖ πιέζειν ex editione Reiskiana p. 1088. supplevi. Ejusdem folii jactura complures alias ἐκφράσεις absorptas esse, nemo erit, qui valde doleat.

Digitized by Google

ρίῳ τοῦ [2] ἄστιος ἀνάκειται ἡ Πολυξένης εἰκών, παρ᾽ αὐτὸν οὖσα τὸν Νεοπτόλεμον· ὁ μὲν γὰρ ἕστηκε παρὰ ταύτην γυμνὸς, κράνος μόνον λαβὼν περικείμενον· καὶ κράνος οὐχ ὅλον, ἀλλ᾽ οἷον ἄνεμος ἄκραις ἐπιψαύσαιτο ταῖς κόμαις· ὥσπερ οὐκ ἀνεχομένου τοῦ ταῦτα δημιουργήσαντος Νεοπτολέμῳ περιθεῖναι σκευὴν, ἐπειγομένῳ πρὸς γυναίου σφαγήν· εἶτα τὸ πρόσωπον, ἐγκάρσιόν τε ἅπαν ἐστὶ, καὶ πρὸς αὐτὴν ἀπονένευκε θυμοῦ μετέχον, ὡς διαχρώμενος ἔτυχεν· ἡ δέ οἱ δειρὴ τῷ παντὶ συναποκλίνει προσώπῳ· ταῖν δὲ δὴ χεροῖν ἡ μὲν δεξιὰ τῆς κόρης ἐπείληπται, καὶ κόμης τὴν ἄκραν, ἄνω που πρὸς αὐτὴν ἀνατείνουσα· ἡ δὲ δὴ λαιὰ πρός ξίφος ὥπλισται, καὶ τὸ πᾶν ἔργον ὑπισχνεῖται ποιῆσαι· ὥσπερ ἀγανακτοῦντος τἀνδρὸς εἰ πρὸς γυναῖκα δεήσῃ δεξιᾶς, καὶ κόρην χειρὶ διαφθερεῖ, ἐν ᾗ πρὸς ἄνδρας ἠρίστευσεν· εἶτα τὸ στέρνον ἅπαν ἐξώγκωται, καὶ πρὸς τὸν ἔνδον θυμὸν ἐξοιδεῖ, τοῖν δὲ δὴ μηροῖν ὁ μὲν δεξιὸς προσερείδει τῇ κόρῃ, καὶ δοκεῖ πιέζειν, ὡς μὴ καθάπαξ κινοῖτο, ὁ δὲ αὖ λαιὸς ὑποτέτακται, [3] καὶ πρὸς αὐτὸ τὸ βάθρον ἐξ ἄκρας ἀνέστηκε, τοσοῦτον ἀνέχων, ὅσον ἡ χρεία τῆς σφαγῆς ἐβιάζετο· παρ᾽ αὐτὸν δὲ ἡ παῖς οὔτε πρὸς ἅπαν ἀνέστηκεν, οὔτε ἐπὶ τοῦ βάθρου πᾶσα καθῆσται· [4] ἀλλὰ πρὸς τὴν τοῦ θανάτου συνεσχημάτισται [5] χρείαν· τὸ μὲν γὰρ πρόσωπον ἅπαν ὡς [6] συντέτακται, καὶ δειρὴν ἔχει [7] πρὸς ἀναίρεσιν ἕτοιμον· ταῖν δὲ [8] χεροῖν τῇ δεξιᾷ μὲν ἐπιψαύει τοῦ βάθρου, τὴν δὲ εὐώνυμον [9] πρὸς τὴν τοῦ πέπλου συνέστειλε χρείαν· τοῦ δ᾽ αὖ στέρνου προανέχει μὲν ὁ δεξιὸς τῶν μαζῶν καὶ γυμνὸς ἀνεῖται τοῖς βουλομένοις ἰδεῖν, ὥσπερ ἐνδείξασθαι προῃρημένου τοῦ

2 Reisk. ἦν ἄστεος. recepi lectionem codicis bavar. 3 Reisk. ὑποτέταται. 4 Reisk. καθεῖσται. 5 Reisk. ἐσχητάτισται. 6 ὡς Reisk. om. 7 Reisk. ἀνέχει. 8 Reisk. ταῖν δὲ δὴ χεροῖν ἡ μὲν ἐπιψ. 9 Reisk. addit κόμη.

Digitized by Google

πλάσαντος, ὧν [10] ἄλοὺς Ἀχιλλεὺς διαφθείρεται· ὁ δὲ [11] λαιὸς τῶν μαζῶν ὑπὸ πέπλον [12] συγκέκρυπται· εὖ δέ μοι καὶ τόδε τοῦ δημιουργήσαντος [13] ἔδοξεν αἰδοῖ καὶ πόθῳ τοὺς μαζοὺς διελεῖν, [14] καὶ τον μὲν συγκρύψαι τῇ κόρῃ πρὸς τὴν αἰδῶ, τὸν δὲ καταλιπεῖν πρὸς ἔλεγχον ἔρωτος· καὶ μήτε τὸν [15] χιτῶνα διαῤῥῆξαι πρὸς ἅπαν, μήτε χιτῶνος χωρὶς καταλεῖψαι τὴν κόρην· [16] τὸ μὲν γὰρ στέρνον ὁ χιτὼν περιῤῥεῖ καὶ διαχεῖται πρὸς τὸ μέσον ἡμιραγής· [17] τὰ δὲ μετὰ [18] μαζὸν συνέχει ζωστὴρ, οὐκ ἐῶν τὸ πλέον ὑπορῥεῦσαι [19] παντάπασιν, καὶ παρασχεῖν ἀνδρῶν ἀφθαλμοῖς, ἃ μηδὲ γυναικῶν θέμις ἰδεῖν· τοὺς [20] δὲ δὴ μηροὺς συλλαβοῦσα μὲν ἑκατέρους ἔχει, καὶ συμπλέκει τοσοῦτον, ὅσον ἡ βία τοῦ πιέζοντος ἔταξε· τοῖν δὲ ποδοῖν ὁ μὲν δεξιὸς ἅπας συγκέκρυπται, [21] βάθρον [22] δὲ ἄμφω ἀνακειμένους ἔχει, περιφανὲς [23] πάθημα δεινὸν λαθεῖν καθάπαξ οὐκ ἐώσης τῆς τέχνης.

2. Προμηθέως ἔκφρασις. [1]

Οὐκ ἦν ἄρα τὸν φθόνον οὐδὲ τῶν θεῶν ἔξω καθίστασθαι φύσεως, οὐδὲ τὰς χάριτας θεῶν χωρὶς εἰς ἀνθρώπους ἐλθεῖν, καί μοι δοκεῖ τις δημιουργὸς εἰς εὐσέβειαν τοὺς ἀνθρώπους παιδοτριβῶν Προμηθέα πλάσαι τῷ χαλκῷ κολαζόμενον· ἀνάκειται γοῦν τις εἰκασθεὶς [2]

---

10 Reisk. ὡς ἄλλους. 11 Reisk. δὲ δή. 12 Cod. πλέον. Reisk. πέπλῳ. 13 Reisk. δημιουργοῦ. 14 Cod. διελθεῖν. Reisk. διελεῖν. 15 Reisk. τοῦ. 16 Reisk. τῇ κόρῃ. 17 Reisk. αἱμορῥαγής. 18 Reisk. μετὰ τόν. 19 Reisk. ὑπορεῦσαι. 20 Reisk. τοῖν δὲ δὴ μηροῖν. 21 Sequitur in ed. Reisk. ὁ δὲ λαιὸς βραχύ τι τοῦ πέπλου προφαίνεται. 22 Cod. βάραθρον. Reisk. βάθρον ἄμφω ἀνακειμένοις ἔχει. 23 Cod. παραφανὲς, Reisk. περιφ.

1 Cfr. Liban. p. 1116. ed. Reisk. 2 Reisk. εἰκασθείς.

Digitized by Google

Προμηθεὺς, οὐχ οἷον ἄνθρωποι κολαζόμενον ἴσασιν, ἀλλ' οἷον θεοὶ κεκλοφότα κολάζουσι· πῦρ γοῦν οὐ παράκειται Προμηθεῖ, ἀλλὰ τὴν χάριν ἡ τέχνη συνέκρυψεν, ἀετὸς δὲ Προμηθεῖ συνέστηκεν, οὐδὲ πεπλασμένον ἔξω τιμωρίας ἐῶν, ὡς γὰρ ἀνθρώπους ἐπιστρέφων εἰς τιμὴν τῶν θεῶν, οὕτω [3] τὴν δίκην σαφεστέραν ἀνέπλασε. καί μοι καιρὸς διελθεῖν, ἃ καθέκαστον ὁ πλάσας ἀνέθηκε· κολάζεται γοῦν Προμηθεὺς, καὶ τὴν κόμην ὁ πλάσας οὐκ εἰς κάλλος συνέθηκεν, ἀλλ' εἰς ἐπίδειξιν κολάσεως μείζονος· οὐ γὰρ ἀνεῖται πρὸς κόσμον ἡ κόμη, οὐδὲ σύγκειται τοῖς θεωμένοις εἰς ὥραν, ἀλλὰ τὸ μὲν αὐτῆς συνέστηκε, τὸ δὲ ἐγκάρσιον φέρεται, καί μοι τῶν κολαζομένων ὑποσημαίνει τὸν τρόπον, ὡς αὐχμῶσί τε καὶ κεκονιαμένοι [4] πεφύκασι, καὶ κόσμου τινὸς ἡ κόμης οὐκ ἐπιμέλονται· ἀλλ' ἡ μὲν φύσις τὴν κόμην, τὴν δ' ἀκοσμίαν ἡ τιμωρία πεποίηκεν· ἔπειτα τὴν κόμην διαδέχεται προσωπον, ὀδυνώμενόν τε παντάπασι καὶ τῆς ἀνίας οὐ καθάπαξ ἀλλότριον, ἀλλ' ἐπῆρται μὲν μετὰ κόμην τὸ μέτωπον καὶ ἀνιωμένῳ προσέοικεν· ἔπειτα τὰς ὀφρῦς προσδιέστειλε καὶ [5] τῶν ὀφθαλμῶν ἑκάτερον μύσας συνέκλεισε. καὶ τὴν ὀδύνην ἐν μέρει τὸ πρόσωπον ἔστησεν, ἔπειτα ῥὶς τὸ [6] στόμα καὶ παρειὰς διαδέχεται, τὸ μὲν μεμυκὸς καὶ πρὸς τῆς ἀνίας αὐτῆς πιεζόμενον, αἱ δὲ συστελλόμεναι καὶ τὴν τιμωρίαν αἰτοῦσαι μετριωτέραν καθίστασθαι· τὸ δὲ τοῦ προσώπου πρόσχημα ἅπαν ἐγκάρσιον, κατ' εὐθὺ μὲν βλέπειν οὐκ ἀνεχόμενον, ὥσπερ οὐκ ἀνεχομένης τῆς δίκης ἐν κέρδει λιπεῖν τῆς ἀνοίας [7] τοὺς θεούς· ἀλλ' ἐπ' ἄμφω κολάζεται, ὁρῶν ἅμα καὶ τιμωρούμενος, γένειον δὲ πρὸς τούτοις ἠμελημένον καθεῖται, καὶ τὴν κόμην ἐδήλωσε. συναυχμεῖ γοῦν αὕτη καὶ πέρα

Cod. εἰκαστής. 3 Reisk. οὕπω. 4 Reisk. κεκονιωμένοι. 5 Reisk. καὶ τὴν τῶν. 6 τὸ Reisk. om. 7 Reisk. τῆς ἀγνοίας

τοῦ μετρίου κομᾷ. δειρὴ δὲ καὶ στέρνον πάντα εἰς [8] μίαν ἀποβλέπει τὴν δίκην· ἡ μὲν γὰρ τῷ προσώπῳ συννένευκε καὶ κάτω συγκέκυπται [9] βλέποντι, τὸ δὲ ἐξώγκωταί τε καὶ τὸ [10] δαπανώμενον ἀνθέλκειν δοκεῖ, καὶ λαβεῖν οὐκ ἐᾷ τὸ λοιπὸν, ὡς [11] προσπεσὼν ἕλκει πρὸς αὐτὸν ἀετὸς, τὸ δὲ μετὰ τὸ στέρνον ἅπαν συνήγαγεν, ὥσπερ τοῦ δημιουργοῦ πᾶσι σημαίνοντος, ὡς ἅπας, [12] ἐπεὶ μὲν ἐκείνῳ δοκεῖ, προσανάλωται· καίτοι θαυμάσαι τοὺς τε ποιητὰς, ὧν βουλεύονται, καὶ τὸν δημιουργὸν ἐπῆλθε τῆς τέχνης, τοὺς μὲν, ὅτι Προμηθέα κολαζόμενον λέγουσι [13] θεοὺς λιπεῖν βουλευσάμενον· καὶ τὴν ἐπιθυμίαν τῆς χάριτος, ἐξ ἧς ἀνθρώπους εὖ ποιεῖν ἐβουλεύετο Προμηθεὺς, ταύτην οἱ μὲν κρείττους κολάζουσιν, οἱ δὲ ποιηταὶ φράσαι προήρηνται· λαθεῖν δὲ ὁ [14] ταῦτα δημιουργήσας οὐκ ἔλιπε· τοῖν δὲ δὴ ποδοῖν ὁ μὲν εἰς γόνυ κέκαμπται [15] καὶ ἐξανέχει τὸν ἀετὸν, βάθρον καθιστάμενος ὄρνιθι, [16] καὶ τῷ τρέφοντι προσηγάγετο σώματι, ὥσπερ τὸν αὐτὸν δεικνὺς κολαζόμενον, καὶ τῷ κολάζοντι παρέχοντα βᾶσιν. τοῦ γὰρ ὄρνιθος οὐκ ἔχοντος, ὅποι [17] στήσεται, ἀνέχει τὸν πόδα καὶ συμμαχεῖ τῷ κολάζοντι, ὁ δὲ [18] λοιπὸς ἕστηκε, καὶ τὸ λοιπὸν ἑστάναι [19] παρασκευάζει τοῦ σώματος, καὶ γίνεται βάθρον τῷ σώματι· ταῖν [20] δὲ χεροῖν ἡ δεξιὰ μὲν πρὸς γόνυ κέκαμπται [21],

---

τὴν θέαν. 8 Reisk. πρός. 9 Cod. συγκέκρυπται βλέποντα. recepi lectionem Reiskianam. 10 Cod. τόν. Reisk. τό. 11 Reisk. ὃ πρ. ἑ. πρὸς ἑαυτόν. 12 Reisk. ὡς ἅπαν, ὃ μετ' ἐκεῖνο δοκεῖ, τῷ ἀετῷ προσανάλ. καί μοι θαυμάσαι πάντας ποιητὰς ὡς βουλεύονται. 13 Reisk. λέγουσιν, ᾧ θεοὺς λιπεῖν ἐβουλεύετο. 14 Reisk. ταῦτα ὁ. 15 Cod. κέκαπται. 16 Cod. καθιστάμενον ὄρθιον. adscivi lectionem Reiskianam. 17 Reisk. ὅπη δή. 18. Reisk. ὁ δὲ δὴ λ. 19 Reisk. ἑστάναι. Cod. ἱστάναι. 20 Cod. τοῖν δὲ χεροῖν. Reisk. ταῖν δὲ δὴ χ. 21 Cod. κέκαπται.

Digitized by Google

καὶ κατόπιν ἀνέχει τῆς κεφαλῆς,[22] καὶ τοὺς δακτύλους ἐναλλὰξ συστέλλει[23]· ὁ μὲν γὰρ αὐτῶν καμπύλος, τῶν δὲ λοιπῶν ἕκαστος ἐν παντὶ συγκείμενος ἔσταλται· καὶ πρόσχημα[24] μὲν ἕκαστος ἄλλο τι ἂν ἐπέδειξε, μίαν δὲ πάντες ὀδύνην ἐμφαίνουσι,[25] καὶ ὀδύνης ὑπόμνημα καθίσταται· χεὶρ δὲ οὔτε ἀμύνειν ἐξαρκεῖ τῷ Προμηθεῖ, οὔτε τὴν ὀδύνην ἐᾷ λαθεῖν, καὶ ἡ μὲν ἀνία δηλοῦται τῇ δεξιᾷ, ἐπικουρεῖν τε οὐκ ἔχει τῷ πάσχοντι, ὥσπερ τῆς φύσεως εἰς ἐπίδειξιν τοῦ δυστυχήματος ἀνείσης τὰς χεῖρας, ἀλλ᾽ οὐκ εἰς συμμαχίαν τῷ δυστυχήσαντι, ἀποσείσασθαι γὰρ τὸν ὄρνιν οὐ δύναται, σημαίνει δὲ μόνον ὡς παρὼν ἀνιᾷ, ἡ δὲ λαιὰ παραπλησίως μὲν ἐκείνῃ συνέσταλται,[26] τὸν μὲν τῶν δακτύλων συγκάμπτουσα, τοὺς δὲ λοιποὺς εἰςάπαξ[27] συνέλκουσα, καὶ τῶν μὲν ποδῶν ὁ λαιὸς τῷ παντὶ σώματι γίνεται βάθρον, τοῦ δὲ παντὸς ἕτερός τις ὑπέχει ἀντέχων, ὥσπερ οὐκ ἀνεχομένου τοῦ ταῦτα δημιουργήσαντος Προμηθέα[28] λιπεῖν ἐπὶ γῆς, ἣν διὰ τοῦ πυρὸς εὖ πεποίηκεν· ὁ δὲ δὴ ἀετὸς ἀνέχεται μὲν πρὸς τοῦ γόνατος, εἰς αὐτὸ δὲ τὸ ἧπαρ χωρεῖ, καὶ παρ᾽ αὐτὴν τετάσθαι δοκεῖ τὴν τομήν, ἣν ἐξειργάσατο, καὶ τοὺς μὲν πόδας ἄμφω μερίσας ἀνέχων συνέχει, ἑκατέροιν[29] δὲ τοῖν πτεροῖν οὔτε καθάπαξ συνέσταλται, οὔτε παντάπασιν ἀποτέταται, ἀλλ᾽ ὥσπερ ἕτοιμος ὢν εἰς ὁρμὴν, βραχὺ μέν τι[30] τῶν πτερῶν προσανέτεινεν, ἐν δὲ τοῦτο παραδηλοῖ, ὡς ἢν ἀποκάμῃ[31] φέρον τὸ γόνυ πρὸς τιμωρίαν ἀνέχουσι[32] πτέρυγες.

---

22 Reisk. τὴν κεφαλήν. 23 Cod. et Reisk. συστείλας. 24 Cod. πρὸς σχῆμα. 25 Reisk. πάντες ὀδύνην ὑπόμνημα καθισταται χειρ· ὔτε οὔτε ἀμύνειν ἐξαρκοῦσα. 26 Cod. συνίσταται. Reisk. συνέσταλται. 27 Reisk. εἰαάπαν. 28 Reisk. τὸν Προμ. 29 Reisk. ἑκάτερον. 30 Reisk. τοι. 31 Cod. ἀποτάμῃ φέρων. recepi lectionem Reisk. 32 Reisk. ἀρκέσουσι.

Digitized by Google

3. Μηδείας ἔκφρασις.[1]

Τὰ δὲ Μηδείας δεινὰ τεθέαται μὲν τῆς Ἑλλάδος ἡ Κόρινθος, ἅπασα δὲ δι' ἀγαλμάτων ἔγνωκε γῆ, καὶ τὸ πραχθὲν ἐν ἑνὶ τεθέανται πάντες, πάντας εἰς ὄψιν παραγούσης[2] τῆς τέχνης· ἐν περιφανεῖ τοίνυν χώρῳ τοῦ ἄστεος ἀνάκειται Μήδεια, οὐχ οἵαν ἐν Κόλχοις ἀνιερωμένην ἔλαχεν Ἄρτεμις, οὐδὲ οἵαν Ἰάσων συναγωνίζομένην ἔσχεν ἐν[3] ἄθλοις, ἀλλ' οἵαν[4] Κόρινθος ἀδικουμένην εἶδε καὶ κτείνουσαν· καὶ παρελθοῦσα τὸν πόθον ἡ τέχνη πλάττει πρὸς τὰς συμφορὰς ἀπεικάζουσα. Ἀνέστηκε[5] τοίνυν, οἵαν ὁ λίθος ἀναστῆναι ποιεῖ, πρόσωπον μὲν οὐκ ἔξω φέρουσα λύσσης, ἀλλὰ τὸ πάθος, ὅθεν τὸ σῶμα ἅπαν ἀπάρχεται[6], καὶ πρὸς τὸ λαιὸν[7] ἀπονεύει πρὸς γῆν, ὥσπερ οὐκ ἀνεχομένη[8] κειμένους ἰδεῖν οὓς μανεῖσα διέφθειρε. καὶ τιμᾷ τὴν φύσιν τοῖς ὄμμασιν, ἣν τῷ θράσει λελύπηκεν· ἔπειτα φάρος περιβάλλει τὴν κεφαλὴν,[9] καὶ καθεῖται πρὸς ὤμους, κἀκ τοῦ δεξιοῦ πρὸς τὸ λαιὸν ἀναβέβληται,[10] τοῖ δημιουργοῦ γυναῖκα δεῖξαι σπουδάζοντος, ἣν γυναῖκα δοκεῖν οὐκ ἀφῆκεν ἡ τόλμα, ταῖν δὲ[11] χειροῖν ἡ δεξιὰ ξίφει καθώπλισται, καὶ δοκεῖ τὸν φόνον εἰς τοὺς παῖδας ἐπανατείνασθαι, καὶ ποιεῖν ἀεὶ δοκεῖ τὸ πρὸς ἅπαξ γινόμενον·[12] ἡ δὲ λαιὰ εἰς ἀγῶνα συγκέκαμπται,[13] καὶ ἐπανέχει τι φάρος· περιτέταται δὲ τὸ στέρνον ζωστὴρ χιτῶνα ὑπέχων διπλοῦν, τὸν[14] μὲν γὰρ αὐτὸν κρύ-

---

1 Cfr. Liban. p. 1090. ed. Reisk. 2 Cod. παραδούσης. Reisk. παραγούσης. 3 ἐν Reisk. om. 4 Reisk. ἡ Κορ. 5 Cod. ἀφέστηκε. scripsi ἀνέστηκε. Reisk. ἔστηκε τοίνυν, οἵαν ἡ λίθος. 6 Reisk. ἐπέρχεται. 7 Cod. παλαιόν. Reisk. λαιόν. 8 Reisk. ἀνεχομένην. 9 Reisk. τὴν Μήδειαν. 10 Reisk. ἀναβέβληκε. 11 Reisk. δὲ δὴ χειροῖν ἡ δεξιὰ μέν. 12 Reisk. μενόμενον· ἡ δὲ δὴ λαιά. 13 Cod. συγκέκαπται. 14 Reisk. ὁ μὲν γὰρ αὐτὸν κρύψας, ἃ μὴ θέμις ἰδεῖν, αἰωρούμενος ἔληξεν.

Digitized by Google

κρύψασα ὡς μὴ ὁρατὸν εἶναι· ὁ δὲ καθήκει μέχρι ποδῶν, ὅσον θεάσασθαι καταλείψας τοὺς πόδας· τοῖν δὲ ποδοῖν ὁ μὲν δεξιὸς εἰς γόνυ κέκαμπται, καὶ δοκεῖ πιέζειν ἀναιρουμένους τοὺς παῖδας, [15] ὥσπερ ὅτε [16] ἔτυχε σφάττουσα· καὶ χειρὸς [17] ὡσαύτως καὶ γόνατος ἔχουσα, ὁ δὲ [18] λοιπὸς τῷ βάθρῳ προσήρεισται, καὶ μετέωρος ἦρται τῆς γῆς, ὥσπερ οὐκ ἀνεχομένης τῆς τέχνης τὸ ἄγαν [19] περιφανὲς ἐν ἀφανεῖ μέρει κατακρύψαι τῆς γῆς.

4. Χιμαίρας ἔκφρασις.

Φύσεις δὲ ἄρα παράλογοι προῆλθον μὲν ἐκ τύχης τὸ πρῶτον, γενόμεναι δὲ μένειν οὐκ ἔλαχον, ὁ λόγος δὲ ὅμως ἐτήρησεν, ἃς ὁ χρόνος συνέκρυψε· καὶ πολλαὶ μὲν παράλογοι γεγόνασιν φύσεις, μάλιστα δὲ τῶν ἄλλων ἡ Χίμαιρα, περὶ ἧς ἤδη μὲν [2] ἐξῆλθεν, ὡς ἔχει τὸ μέτρον, ζηλώσει δὲ ὅμως καὶ τὸ μέτρον ὁ λόγος· συνθήκη τριπλῆ γέγονε φύσις, [3] ἐφ' ἑνὸς πάντα πλάττουσα σώματος· κατήρχετο μὲν, [4] ὅθεν οὐκ ἔλιγεν, ἐτελεύτα δὲ, ὅθεν οὐκ ἤρχετο· καὶ τὸ μέσον αὐτῆς τῶν ἄκρων ἀπήλλακτο, καὶ συνθεῖσα τὰς φύσεις ἡ τύχη συνθεῖναι τὰς κλήσεις οὐκ ἔσχεν, ἀλλ' ἐξ ἑνὸς [5] προαγορίας τὰ πολλῶν ἀποφήνασα, καὶ τοὔνομα προῆλθε τῆς γονῆς ἐνδεέστερον· λέων τις ἦν ὅσον [6] πρῶτον ἰδεῖν, καὶ δράκων τοῦ παντὸς ἔλιγε σώματος μεσούσης [7] αἰγὸς, καὶ πῦρ ἐποίει τὸ [8] φανὲν φοβερώτερον, ὥσπερ οὐκ ἀρκοῦντος φοβῆσαι τοῦ πλάσματος,

15 Cod. πόδας. Reisk. παῖδας. 16 Cod. ἦτε. Reisk. ὅτε. 17 Reisk. χεῖρας ὡσαύτως καὶ γόνατα. 18 Reisk. ὁ δὲ δὴ δηλοῖ πῶς τῷ βάθρῳ προσείρεισται. 49 τὸ ἄγαν Reisk. om. tum pro ἐν habet ὡς.

1 Cfr. Liban. p. 1095. ed. Reisk. 2 Reisk. ἤδη μὲν καὶ ὡς ἔχει διεξῆλθε τὸ μέτρον. 3 Reisk. φύσεως. 4 Reisk. μὲν γάρ. 5 Reisk. ἐξ ἑνὸς ἐξηγόρευσεν ἐκ πολλῶν ἀποφῆναι. 6 Reisk. ὅσα. 7 Reisk. μεσούσης δέ. 8 τὸ Reisk. om.

Digitized by Google

καὶ θέαμα μὲν ἄλλο πρὸς ἄλλο προήρχετο· μία δὲ πάντων ἐτύγχανε γένεσις, ὡρμᾶτο μὲν γὰρ οἷα λέων φοβῶν, κατέπληττε δὲ οἷα δράκων ἐξελιττόμενος, καὶ φοβεῖν ἡ αἴξ ἀποροῦσα [9] τῇ φύσει, προσθήκη πυρὸς τῶν λοιπῶν ἦν φοβερώτερον. οὐκ ἦν ὅ τι ἄν τις μᾶλλον καταδείσειε, ἀποβλέπων εἰς ἕκαστον, τὸ μήπω φανὲν τοῦ φοβοῦντος ἤδη δεινότερον· ἡ μὲν γὰρ ἔφλεγεν, ὁ δὲ ὑπεσύριττεν, ὁ δὲ χαλεπώτερος ἦν ὠρυόμενος [10]· ἠγωνίζετο δὲ πρὸς ταύτην ἀνὴρ παραλογώτερον [11] ἐποχούμενος ἵππον, καὶ πρὸς τοῖς ἀπὸ γῆς μετ' ἀέρος ἐμάχετο. καὶ πτερὰ φυγὴν τῶν κινδύνων εἰργάζετο, καὶ προῄει μὲν τὸ πῦρ ὡς μαχόμενον, ᾖρετο δὲ ὁ Βελλεροφόντης μετέωρος, ἀμφότερα ἐπὶ μιᾶς ὁρμῆς [12] ἐργαζόμενος, καὶ κτείνων τὴν Χίμαιραν, καὶ παθεῖν αὐτὸς ἐξαρνούμενος, καὶ γεγενῆσθαι δοκοῦσα [13] θεῷ τῷ συμμαχουμένῳ παρὰ θεῶν ἀναλίσκεται, [14] καὶ οὕτως Βελλεροφόντης κτείνων τὴν Χίμαιραν, θεοὶ τῶν θεῶν εἰσι καθικνούμενοι, ταῦτα θεάσασθαι μὲν ὑπῆρχε, διεξελθεῖν δὲ ἡδονὴ μᾶλλον, ἢ δέος.

5. Ἔκφρασις [1] Παλλάδος.

Θεοὶ δὲ [2] ἄρα γεγονότες δημιουργοὶ δημιουργεῖσθαι παρὰ τῆς πλαττούσης ἐπίστανται τέχνης, καὶ συγχωροῦσι γενέσθαι [3] τῇ τέχνῃ, ὅπερ φύσει γεγόνασι, καὶ πολλοὶ

9 Reisk. ἀποροῦσα, τῇ φύσει προσθήκη πυρὸς, τῶν λοιπῶν ἦν φοβερωτέρα. 10 Reisk. ὠρυόμενος. Cod. ὠρυώμενος. 11 Reisk. παραλογώτερος ἐχούμενος, ἵππου πρὸς τὰς ἀπὸ γῆς ἐξ ἀέρος ἐμάχετο· καὶ πτερὰ πρὸς φυγ. 12 Reisk. ὀργῆς. m. Mor. ἴσ. ὁρμῆς. 13 Reisk. δοκοῦσαν θεόν. 14 Reisk. ἀνηλίσκετο· καὶ τοῦτο δὲ ἐδήλου Βελλεροφόντης. κτ. τὴν Χίμ. ὡς θεὸς, τῶν θεῶν ἀφικούμενος.

1 Eadem legitur apud Libanium p. 1114. ed. Reisk. 2 ωροῦσι δὲ Reisk. om. 3 Cod. συγχ νεσθαι. χ per correcturam ex γ

μὲν θεοὶ κατ' ἀγορὰν ἀνεστήκασιν, Ἀθηνᾶ δὲ μᾶλλον πρὸ παντὸς ἔστηκε θαύματος, ἐγὼ δὲ, ὃ τεθέαμαι, καὶ διηγήσομαι. Μουσῶν τέμενος ἦν, καὶ πρὸς λόγους ὁ χῶρος ἀνεῖσθαι βουλόμενος, καὶ δύο ταῦτα δημιουργεῖν σύμβολα τῆς οὔσης ἐπιδείξασθαι τέχνης Ἀθηνᾶν προανέστησε, καὶ πρὶν ἐμβαλεῖν εἰς Μουσῶν τέμενος ἡ θεὸς καταφαίνεται, τὴν ἔνδον οὖσαν σημαίνουσα τέχνην· καί μοι δοκεῖ ὁ δημιουργὸς ἐπ' ἀμφοῖν τοῖν καιροῖν Ἀθηνᾶν ἀναστήσασθαι· δι' ὧν μὲν γὰρ αὐτὴν ἐν Μουσῶν τεμένει καθίδρυσεν, εἰρήνης ἔδειξε πρύτανιν, οἷς δὲ ἅπασαν ὥπλισε, καὶ πολέμου κυρίαν καταλιπεῖν δοκεῖ· κράνος τοίνυν αὐτῆς περιβάλλει τὴν κεφαλήν, καὶ προανέχει μὲν λόφος τοῦ κράνους, κορυφῆς δὲ τὸ κράνος, καὶ περιβαλὼν τὴν κεφαλὴν τῇ κυνῇ τὴν ὄψιν οὐκ ἔκρυψεν, ἀλλ' αὐτόνομον ἀφῆκε τὸ πρόσωπον· ὥσπερ ἀδικεῖν τὸν τεχνίτην δοκεῖν, εἰ δι' οὗ λόγοι προέρχονται, ταῦτα συγκρύψειε τοῦ πολέμου τὸ γνώρισμα, καὶ ἅμα μοι δοκεῖ ὑποφῆναι ζητεῖν ὡς οὐδὲν λόγων γίνεται κώλυμα· τὸ δὲ πρόσωπον γυμνὸν γεγονὸς ἐγκάρσιόν τέ ἐστι,[6] καὶ πρὸς ἕτερα νένευκε, καὶ φοβεῖ τῶν ὀμμάτων ἑκάτερον ὥσπερ ἀρκοῦν μόνον ἰδεῖν καὶ φοβῆσαι τὸν ἀνθιστάμενον· τὸ δὲ στόμα διῃρημένον εἰς λόγους ἀνεῖται, καὶ ἡ δειρὴ τῷ προσώπῳ συναποκέκλιται, τὸ δὲ δὴ στέρνον θώραξ τε περιβάλλει ποικίλος, καὶ κατὰ μέσον ἀνέχει, πάντα τῆς θεοῦ συγκειμένης εἰς ἔκπληξιν, ταῖν δὲ χεροῖν ἡ δεξιὰ μὲν ἀνεῖται γυμνὴ, καὶ τὸ συνέχον οὐδὲν ἔστω[7] τῆς πράξεως ἕτοιμον, ψέλιον δὲ[8] πρὸ τῆς ἄκρας περιβάλλει χειρὸς βραχὺ τῇ θεῷ, τὴν γυναικείαν περιθέμενος φύσιν, ἡ δὲ λαιὰ πᾶσα μὲν τέταται, καὶ πρὸς

natum esse videtur. Habuit igitur scriba lectionem, συγχωροῦσι γενέσθαι. 4 Cod. Ἀθηνᾶς. Reisk. Ἀθηνᾶν. 5 Cod. καταλίπειν. Reisk. καταλείπειν. 6 τέ ἐστι deest apud Reisk. 7 Reisk. ἔστη. 8 ψέλιον δὲ abest ab ed. Reisk.

Digitized by Google

θέναρ συγκέκαμπται, καὶ τῆς ἀσπίδος ἄκρας ἐπιλαμβάνεται, καὶ πᾶσαν προσερείδει τῇ γῇ, τοὐναντίον τὴν πᾶσαν ὁπλίτην ποιήσασα· τῶν μὲν γὰρ αἱ χεῖρες τῶν ὀχάνων ἀντιλαμβάνονται, καὶ κατὰ μέσας τὰς ἀσπίδας ἀνέχουσιν ὀμφαλοῦ τὸ κατέχον συγκρύπτοντες, οἱ δὲ τὴν ἕτνν τῶν ὀργάνων μεταχειρίζονται, καὶ τὴν τῆς ἀσπίδος κατειλήφασιν ἄκραν, ὥσπερ ἐξαρκοῦντες ἄκρας ἐφάψασθαι, καὶ πᾶσαν μεταχειρίζεσθαι· τὴν δὲ λαιὰν ὁ μετὰ τὸ θέναρ προσέρχεται ἐπελιττόμενος ὄφις, ταῦτα τῆς θεοῦ περικειμένης εἰς κόσμον, ἃ φοβεῖν τοὺς ἄλλους ἐπίσταται· τὸ δὲ λοιπὸν τῆς θεοῦ πέπλος περιβάλλει ποδήρης, καὶ κατὰ μέσον συνέχει ζωστὴρ, τὸν προκείμενον περιστέλλων χιτῶνα· καί μοι ἡ τέχνη δοκεῖ διπλοῦν τῇ θεῷ καταστήσασθαι πέπλον, ὥσπερ τοὺς θεατὰς [9] εἰς ἀνάμνησιν ἄγουσα τῶν ἐπῶν, ἐν οἷς Ἀθηνᾶ περιβάλλεται· βραχὺ δὲ [10] οἱ πόδες τοῦ χιτῶνος ἐξέχουσιν, ἅμα μὲν δεικνύντες ἐφ' ὧν ἀνεστήκασιν, ἅμα δὲ αἰδῶ γυναικείαν ἐμφαίνοντες οὐκ εἰς ἅπαν ἐθέλουσι φαίνεσθαι, βραχὺ δὲ τῶν ποδῶν ὁ λαιὸς εἰς γόνυ συγκέκαμπται, [11] καθάπαξ ἄπρακτον οὐκ ἀνεχομένης τῆς τέχνης τὴν θεὸν καταστήσασθαι· καὶ γοῦν τὸ γόνυ δοκεῖ καὶ χωρεῖν ἐπὶ βάδισμα· ἡ δ' ἀσπὶς ἐκ τῆς εἰς ἄκρον ἀνέστηκε χειρός· καταθείσης μὲν τῆς θεοῦ τὴν σκευὴν, παρεχομένης [12] δὲ τοῖς θεωμένοις ὁρᾶν, ὡς παρασκευῆς μὲν δέοι πρὸς πόλεμον, μὴ εἶναι δὲ πρὸς παράταξιν πρόχειρον· οἷς μὲν γὰρ ἡ γῆ κατέχει τελευταῖος πόλεμος· δι' ὧν δὲ ἡ χεὶρ ἄκρα προσέψαυσε, τὴν παρασκευὴν σημαίνει τῆς μάχης· ἡ δ' ἀσπίς τι δοκεῖ τοῦ Διὸς, ἐν ᾗ θύσανοι ἠώρηνται καὶ κατὰ μέσην ἐκπλήττει Γοργὼν, [13] πάντα τὸν φόβον δηλοῦσα τῆς μάχης, καὶ τὴν πρὸς τὸν Δία βεβαιοῦσα συγγένειαν. Νῖκαι δὲ διπλαῖ πρὸς ἑκατέρας [14] ἄκρας

9 Reisk. θνητούς. 10 δὲ Reisk. om. 11 Cod. συγκέκαπται. 12 Reisk. παρεχούσης. 13 Reisk. γοργόν. 14

τῆς ἀσπίδος εἰσὶν, ἐπεὶ καὶ διπλῶν [15] κρατεῖν Ἀθηνᾶ πέφυκε πρὸς ὅπλα καὶ λόγους, καὶ οὔτε ἡ θέα τῆς ἡδονῆς ἠλλοτρίωται, οὐδὲ τὴν ἡδονὴν λαθεῖν ἀφῆκεν [16] ὁ λόγος· ἀλλ' ἔστι ῥᾳστώνη κοινὴ θεωμένοις καὶ λέγουσι.

6. Αἴαντος ἔκφρασις.

Παθήματα μὲν παρὰ τὴν Τροίαν ἡρῴϊα πολλὰ μὲν ὁ Τρώων εἰργάσατο πόλεμος, Αἴας δὲ πάντα μανεὶς ἀπεκρύψατο· Αἴαντα τοίνυν οὐ σωφρονήσαντα οἶδε μὲν πρῶτον ἡ Τροία, ἀπείληφε δὲ μετὰ τὴν Τροίαν σκηνὴ καὶ μετὰ τὴν σκηνὴν ὁ χαλκὸς ὑποκρίνεται· ἐν περιφανεῖ τοίνυν χώρῳ τοῦ ἄστεος ἐν χαλκῷ τις ἄρας ἀνέστηκε, μηδ' ἐν αὐτῷ σωφρονεῖν ἐπιστάμενος· ἀνάκειται τοίνυν οὐχ οἷον Ἕκτωρ εἶδε μαχόμενον, ἀλλ' οἷον εὗρε μετ' αὐτὸν ἡ σκηνή· πρῶτον μὲν γὰρ ἅπας γυμνὸς προκαλύμματος ἕστηκε, καὶ τὴν μανίαν δηλοῖ τῷ μὴ δεῖσθαι τοῦ κρύπτοντος, ἕστηκε γὰρ αἰδοῦς ἀμελῶν, οὐκ εἰδὼς ὅπως ἕστηκε σχήματος, καὶ γυμνὸς ἐσθῆτος ἅπας ἀνθεστηκὼς καὶ τὴν μανίαν ταύτην δηλῶν ἐκ τοῦ μέρους οὐχ ἧττον ὑπομένει τὸ πάθος· οὔτε γάρ ἐστι μανίας ὅλος ἐλεύθερος, οὔτε κατὰ μέρος ἐστὶ τοῦ πάθους ἀλλότριος, καὶ πρῶτον μὲν κράνος τῇ κεφαλῇ περιβέβληται, ὥσπερ ἐνδείξασθαι τοῦ δημιουργοῦ βουλευομένου τὸ πάθος, [1] καὶ τοῦτο τῆς μάχης ποιουμένου τεκμήριον, τοῖς ὅσοι θεαταὶ αἱροῦνται εἶναι τοῦ σώματος· ἀφέστηκεν Αἴαντος κράνος τῆς κεφαλῆς, ὅτι μηδὲ τοῦτο ἦν παριδεῖν· εἶτα τὸ πρόσωπον αὐτῷ φανερὸν ἐμπεποίηται, δεῖγμα ἧς [2] κατὰ γνώμην νοσοῦσιν ἄνθρωποι λύσσης. ὀφθαλμοὶ δὲ μᾶλλον τοῦ μὴ φρονεῖν καθεστήκασιν ἔλεγχος, πῦρ γὰρ ἐν αὐτοῖς ὑποφαίνεται, καὶ πρὸς ἄλλον καὶ ἄλ-

---

Reisk. ἑκατέραν ἄκραν. 15 Reisk. διπλᾶ. 16 Cod. ἀφῆκε.

1 Cod. τοῦ πάθους, et paullo post ποιουμένης. 2 Cod. οἷς.

Digitized by Google

λον τρέπεται χῶρον, καὶ οὕτως ἡ τοῦ πάθους εἰκὼν καταφαίνεται· παρειαὶ δὲ οἰδοῦσι τῷ κάτωθεν πνεύματι, τὸ δὲ στόμα διήρηται εἰς ἄνοδον πνεύματος, καὶ τὰ κάτωθεν ὁρμὴν ὑποσημαίνει τῷ σχήματι, καὶ δειρὴ συμμεταβάλλεται τῷ προσώπῳ συχνῶς· τὴν δὲ λύσσαν δηλοῖ ἡ πλοκὴ τῶν χειρῶν, καὶ γὰρ ἡ δεξιὰ καθεῖται κατὰ μηροῦ, ἡ δὲ λαιὰ πρὸς αὐτὸν ἐπανάκειται· καὶ μικροῦ πρὸς ἀλλήλας συμπλέκονται, ὥσπερ τοῦ πάθους οὐδὲν αὐτόνομον ἔχοντος, τὸ δὲ προκάλυμμα ἅπαν τῷ λαιῷ τῶν βραχιόνων συνέσταλται, ὥσπερ ἐνδείξασθαι τὸ μὴ καθεστηκὸς τῶν φρενῶν προῃρημένης τῆς τέχνης, καὶ οὔτε τοῦτον ἐσθῆτος ἀφῆκε χωρὶς, οὔτε ταύτην περικειμένην ἔδειξε· τὸ δὲ στέρνον ἅπαν ἐξώγκωται καὶ πρὸς τὴν ἔνδον λύσσαν ἐπαίρεται· καὶ ὅση μανίᾳ περιέχεται ἡ γνώμη τοῦ πάθους, ἐστὶ κατιδεῖν ἐκ τοῦ σχήματος, γαστὴρ δὲ ὑπεδίδοτο καὶ συνεστέλλετο, καὶ τοσοῦτον ἀφῃρεῖτο τοῦ μετρίου, ὅσον τὸ στέρνον ἐξώγκωται, τοῖν[3] δὲ ποδοῖν ὁ μὲν εὐώνυμος ἔστηκεν ἅπας, καὶ πρὸς ἑαυτὸν τὸ πᾶν ἐρείδει τοῦ σώματος, ὁ δὲ δὴ δεξιὸς εἰς γόνυ κέκαμπται, καὶ προσανέχει τῷ λίθῳ καὶ μικροῦ πρὸς ὁδὸν ἐξορμᾷ, καὶ δῆλον τῆς γνώμης τὸ μεμηνὸς[4] ἐπὶ τοῦ σχήματος· οὕτως ὅλον τε αὐτὸν ἡ λύσσα δηλοῖ, καὶ κατὰ μέρος ὑποφαίνει τὸ πάθος· ταῦτα θαῦμα μὲν κατιδεῖν, ἀδίκημα δὲ σιωπῇ παρελθεῖν.

7. Ταῶνος ἔκφρασις.[1]

Μιμεῖται τὰς τέχνας ἡ φύσις, καὶ ζωγράφων ἐργασίας[2] μετασκευάζει τοῖς χρώμασιν ἀδίδακτον ποικιλίαν ὥσπερ δεικνύειν[3] ἐθέλουσα. Ἦν τι τέμενος ἱερὸν κα-

3 Cod. τήν. 4 Cod. μεμένον.

1 Eadem est apud Liban. p. 1073. ed. Reisk. 2 Reisk. ἐργασίαν. 3 Reisk. δεικνύει.

Digitized by Google

τεστεμμένον τοῖς ἄνθεσιν· ἐδόκει γάρ πως ὁ δῆμος ἐπείγεσθαι πρὸς πανήγυριν· ἄρτι δὲ τὰ προπύλαια τοῦ τεμένους ἐωρακὼς, κατεῖδόν τι τοιοῦτον. ὄρνις ἦν ἔνδον Περσικὸς, τοῦτο γὰρ αὐτὸ καλούντων τῶν ἱερέων ἀκήκοα, μεγέθει μέν που [4] κύκνων οὐ λίαν ἀπολειπόμενος, χερσὶ δὲ ζωγράφων τὸ σῶμα μυρίοις [5] κατακοσμούμενον χρώμασιν· Ὅμηρος μὲν γάρ που κατὰ τὴν ποίησιν πολλάκις τὴν μὲν βασιλίδα τῶν θεῶν βοῶπιν προσονομάζει, ὀφθαλμῶν τὸ κάλλος οὕτω τιμᾷν βουλευσάμενος, καὶ [6] γλαυκῶπιδα κούρην ἀνακηρύττει τοῖς ἔπεσιν· ἀλλ' ὁ μὲν [7] μέρος τοῦ σώματος εἰς εὐμορφίαν χαρίζεται τοῖς θεοῖς, ὁ δ' ἐν ὅλῳ τῷ σώματι καὶ πτέρυγας φορῶν ὁρᾶται τῶν ὀρνίθων τὰς κρείττονας· ἐκ μὲν γὰρ κεφαλῆς καὶ βασιλείας εἶχε γνωρίσματα ἐπὶ [8] τοῖς ἀνεστηκόσι πτεροῖς καὶ πόρρωθεν καταλάμπουσι· τὸ δὲ τῆς δειρῆς χρυσαυγὲς κυανέῳ συμμίσγει· [9] καὶ θείας ὄντως χάριτος [10] ζωγράφοις γράψαι καὶ τυπῶσαι συγχωρήσομεν· τὰ δὲ λοιπὰ τῶν πτερύγων εἰς ἄκρον ἐξησκημένα τοῖς ὀφθαλμοῖς καὶ ἀστράπτοντα τοῦ Παιανιέως ἐπιζητεῖ τὴν δεινότητα· ἐπειδὴ δὲ τοῦ [11] ὄρνιθος ἐθεασάμην καὶ κίνησιν, ἐπείγει με λόγος ἐξειπεῖν [12] καὶ τὰ τῆς ὁρμῆς παράδοξα θαύματα· ἄρτι γὰρ ἑκατέρωθεν τὰς πτέρυγας ὥσπερ εἰς πτῆσιν δονήσας καὶ [13] κυρτώσαί που ὑπὲρ κεφαλῆς βιασάμενος ἀγάλματος μὲν κάλλιστον ἐπε-

4 Reisk. πως. 5 Reisk. καθάπερ μυρίοις κατακοσμούμενος ἄσμασιν. 6 Reisk. γλαυκῶπιδα δὲ. 7 Reisk. ἀλλ' ὅπερ μέρος τοῦ σώματος εἰς εὐμορφίαν χαρίζεται, τῶν ποιητῶν ἡ δεινότης, τοῦ ὅλου σώματος καὶ πάσης πτέρυγος φορῶν ἐωρᾶτο σαφῶς τῶν ὀρνίθων ὁ κάλλιστος. 8 Reisk. ἐπανεστηκόσι πτεροῖς, καὶ τὰ πόρρωθεν. 9 Cod. συμμέγει. Reisk. κυανῷ συμμίσγει. 10 Reisk. τῆς χάριτος, εἰ ζωγράφοις. 11 τοῦ Reisk. om. 12 Reisk. ἐπείγοι μὲ λόγος εἰπεῖν καὶ τὰ τῆς ὁρμῆς παράλογα θ. 13 Reisk. καὶ λοιπὸν κυρτώσας πως.

Digitized by Google

δείκνυτο τύπον, ναοῦ τε λαμπροῦ, καὶ προσκυνῆσαι τὸν θεατὴν προτρεπόμενος, [14] ὡς ἀγάλματος λαμπροῦ δεδουλωμένον τῷ θαύματι· Ἀπελλῆ, [15] ζωγράφων κάλλιστε, τότε σου [16] τῆς τέχνης ἐγὼ κατεφρόνησα, ἐπ' Ἀττικῆς τέχνης τιμωμένου, Ὁρίου δὲ γραφὰς παρ' οὐδὲν ἐποιησάμην, ὄρνιθος Περσικοῦ νενικημένου [17] τοῖς χρώμασιν. ἀλλ' ἰδοῦ [18] ζωγράφων ἐλέγξας τὴν τέχνην ὄρνις Ἀττικὸς ἀμείνων ταύτης δεδήλωται, ὡς καὶ τῶν θεῶν ἐπαινεῖν ἐθελόντων τὸ τῆς θέας ἔχειν ἀκροάσεως βέλτιον.

8. Ἔκφρασις τοῦ τυχαίου. [1]

Τύχαι δὲ ἄρα πάντα μὲν τὰ ἀνθρώπινα ὅπη βούλονται φέρουσιν· ἐγκαθίδρυνται δὲ δικαίως ταῖς πόλεσιν, ἐξ ὧν ἅπαντα δικαίως κατορθοῦσι τιμώμεναι, καὶ τὰς μὲν ἐν ἑκάστῃ [2] τῶν πόλεων ἱδρυμένας οἱ παρ' ἑκάστην θεώμενοι φράζουσιν· ἐγὼ δὲ ἣν τεθέαμαι καὶ διεξέρχομαι. Τέμενος ἐν μέσῳ τῆς πόλεως ἵδρυται, συγκείμενον μὲν ἐκ πλειόνων θεῶν, τύχης δὲ ἅπαν ὠνόμασται, καί μοι δοκοῦσιν οἱ [3] τὴν κλῆσιν τῷ χώρῳ προσθέντες εἰς τὸ δέον ποιεῖν, οἷς γὰρ ἅπαντα τύχῃ συγκρύπτεται, τούτοις ἡ θεῶν ἀπὸ τῆς τύχης συνεκέκρυπτο κλῆσις· κατεσκεύασται δὲ ὁ χῶρος ὧδέ πως· ἦσκητο [4] μὲν ἅπας ἐξ ἐδάφους εἰς ὀροφήν, διῄρηται δὲ ἡ

---

14 Cod. προστρεπόμενος. Reisk. προτρεπ. omisso sq. ὡς 15 Ἀπελλῆ Reisk. om. 16 Reisk. σου πρῶτον τῆς τέχνης ἐγὼ κατεφρόνησα ὡς ἀτελῆ. ὕφρα γ' ἐπ' Ἀττικῆς τέχνη τιμώμενος· ὡραίους δὲ γραφὰς π. οὐ ἑ. 17 Cod. νενικωμένου. Reisk. νενικημένος. 18 Reisk. ἰδοὺ γὰρ ζωγράφον ἐλέγξας τῆς τέχνης γραφῆς ἀμείνονος Ἀττικοῦ τῷ λόγῳ δεδήλωται· ὡς καὶ τοὺς ἐπαινεῖν ἐθελήσαντας τὸ τῆς θέας ἔχειν τῆς ἀκροάσεως ἄμεινον.

1 Cfr. Liban. p. 1113. ed. Reisk. 2 Reisk. καθ' ἑκάστην. 3 Reisk. ἡ. 4 Reisk. ἤσκητο.

Digitized by Google

κατασκευὴ κατὰ κύκλους ἡμίσεας, ἐφ' ἑκάστῳ δὲ παντοδαπαὶ προβέβληνται κίονες· οἱ δ' αὖ κύκλοι εἰσὶ πρὸς ἀγαλμάτων ὑποδοχὰς ἀνιστάμενοι, καὶ μετρεῖν ἔξεστι τοὺς κύκλους μὲν τοῖς ἀγάλμασιν, ἐκ δὲ τῶν ἀγαλμάτων παρεστήκασι κίονες· θεοὶ δέ εἰσιν ἀνεστηκότες οἱ πάντες, ἀλλ' ὅσοι δύο κατὰ δέκατον ἀριθμὸν, καὶ κορυφὴν μὲν ἔχει τὸν οἰκιστὴν ἐξ ἑτέρων ἄκρων καὶ μέσων, ἀνέστηκε δὲ φέρων μὲν αὐτὸς τοῦ σωτῆρος ὑπόμνημα, φερόμενος δὲ δι' ὧν ἡ πόλις εἴωθεν τρέφεσθαι, καὶ σημαίνει τῆς γῆς τὴν φύσιν [5] ἡ χάρις, κυκλοῖ δὲ κατὰ μέσον ἥμισυς, ὅσον ἀριθμὸς θεῶν ὀνομάζεται· καὶ μέσον ἐκ μέσου τύχης ἔστηκεν ἄγαλμα, στεφάνῳ δηλοῦν Ἀλεξάνδρου τὰς νίκας, καὶ στέφεται μὲν ὑπὸ τύχης ἡ γῆ, στέφει δὲ αὐτὴ τὸν νικήσαντα· νῖκαι δὲ τῆς τύχης ἑκατέρωθεν ἀνεστήκασι, καλὴν [6] τοῦ δημιουργοῦ τῆς τύχης δηλοῦντος [7] τὴν δύναμιν, ὡς πάντα νικᾷν οἶδεν ἡ τύχη· τελευτᾷ δὲ ἡ τοῦ χώρου κατασκευὴ πρὸς ἡτοιμασμένον ἐξ ἀγάλματος ἐλάφειον στέφανον, καὶ φιλοσοφεῖ εἷς ἐπὶ καθέδρας ἄκρου· γυμνὸς δὲ ἕτερος πρὸς τὸ λοιπὸν ἄκρον [8] ἀνέστηκεν, οὐρανοῦ μὲν ἐπὶ τῆς λαιᾶς φερόμενος πρόσχημα, τὴν δ' αὖ δεξιὰν εἰς ἅπαντα πρόχειρον· γυμνὸς προκαλύμματος ἵσταται, καὶ στῆλαι χαλκαῖ κατὰ μέσον ἑστήκασιν ἔδαφος, ἐγκεκολαμμέναι [9] τὰ τῆς πόλεως νόμιμα, καὶ κατὰ μέσον αἱ πύλαι παρὰ τῶν Μουσῶν ἄγουσαι τέμενος· χαλκοῖ δὲ βασιλεῖς κατὰ μέσον ἑστήκασιν, οὐχ ὅσους ἐκόμισε χρόνος, ἀλλ' ὅσοι τῶν κομισθέντων ἦσαν σεμνότεροι· ταῦτα θαῦμα μὲν ὑπῆρχεν ἰδεῖν, κέρδος δὲ μαθεῖν, ἀδίκημα δὲ σιωπῇ κατακρύπτεσθαι.

---

5 Reisk. δόσιν ἡ χάρις· κύκλοι δὲ κατὰ μέσον ἥμισυ. 6 Reisk. καλῶς. 7 Cod. δηλοῦντα. 8 ἄκρον Reisk. om. 9 Cod. ἐγκεκολαμέναι.

9. Ἔκφρασις [1] Ἡρακλέους βαστάζοντος [2] τὸν Ἐρυμάνθιον κάπρον.

Ἡρακλεῖ [3] δὲ ἄρα γενομένῳ Διὸς οὐρανὸς μὲν ἐμαρτύρει τὴν γένεσιν, ἐδήλου δὲ ἡ γῆ καθαιρομένη τοῖς ἀθλοις. Νεμέα μὲν γὰρ αὐτῷ τῶν ἀγώνων ἀρχή· καὶ μετὰ ταῦτα Ἐρύμανθος [4] κάπρον ἐνεγκὼν ἀγώνισμα δεύτερον· κατοικούμενον [5] οὖν εἶχε τὸν κάπρον Ἐρύμανθος, ὁρῶ δὲ μετ' αὐτοῦ ἐπὶ χαλκῆς αὐτὸν εἰκόνος φερόμενον, καὶ ὅπως εἶχε κατιδὼν διηγήσομαι. Χῶρος ἦν ἐν ἄστει περιφανεῖ, καὶ παρ' αὐτὸν Ἡρακλῆς ἐν παντοδαποῖς ἀνεστηκὼς ἀγωνίσμασι, καὶ τοῖς μὲν ἄλλοις ἔτι πόνοις [6] ἐξεικάζεται, τὸν δὲ δὴ κάπρον [7] λαβὼν καὶ ὥσπερ ἀγανακτήσας πόνῳ ἐπικάμπτεται· γυμνὸς οὖν ὥσπερ εἰώθει ἵσταται, τὸ δὲ οἱ πρόσωπον ἅπαν βλέπει [8] εἰς γῆν, ὤμους δὲ ἀμπέχει ἡ λεοντῆ. καὶ βάθρον ἐστὶν ἀγωνίσματος, αὐτὴ φανεῖσα πρώτη [9] ἀγώνων· ταῖν δὲ δὴ χεροῖν ἡ [10] δεξιὰ μὲν ἀνῃρημένον ἔχει τὸν κάπρον, [11] ἡ δ' αἱ λαιὰ ὡς πρὸς ἆθλον ἡτοίμασται· καὶ τὸ στέρνον ἀνέστηκεν ἅπαν, ὥσπερ τῶν προσόντων οὐδὲν αἰσθανόμενον· ὁ δὲ [12] δεξιὸς ποῦς εἰς γόνυ κέκαμπται, καὶ ὁ λαιὸς ὀρθὸς ἑστηκὼς προερείδει τὸ βάθρον, δηλῶν ἐξ ἐπιγραμμάτων τὸν τεχνησάμενον, ἐπὶ δὲ τῶν

---

1 Cfr. Liban. p. 1068. ed. Reisk. 2 Cod. *βαστάζοντα*. 3 Reisk. *Ἡρακλῆς δὲ ἄρα γενόμενος*. 4 Reisk. *Ἐρυμάνθιον*. 5 Reisk. *καὶ κρατούμενον μὲν εἶλε τὸν κάπρον Ἐρύμανθος· ἐγὼ δὲ μετ' αὐτὸν ἐπὶ χαλκῆς εἰκ. φερόμ.* 6 Reisk. *πονῶν*. 7 Reisk. *ἤδη παραλαβών*. 8 *βλέπει* Reisk. om. 9 Reisk. *τὸ πρῶτον*. 10 *ἡ* Reisk. om. 11 Sequitur in ed. Reisk. *καὶ τοῦ ὄπισθεν ἔχει τὸν ἐξῆς, ὥσπερ οὐδ' ὃν Ἡρακλεῖ πρὸς τοὺς ἄλλους εὐώνυμον. τὸ δὲ δὴ στέρνον.* 12 Reisk. *τῶν δὲ*

Digitized by Google

ὤμων ὁ κάπρος ἀνῃρημένος μὲν τέταται· διῄρηται [13] οὐχ ὡς ἔπεσεν, ἀλλ' ὥσπερ δεσμοῖς ταῖς Ἡραλέους χερσὶ προκατείληπται· καὶ φέρουσι κείμενον αἰ μαχόμενον ἔκτειναν· ταῦτα εἰ μὴ θεώμενος ἔφραζον ἠδίκουν τὸ κατασκεύασμα.

10. Ἔκφρασις Ἀλεξάνδρου τοῦ κτίστου [1].

Κτίσται δὲ ἄρα περιφανεῖς πλεῖστοι μὲν καθεστήκασι [2] τῶν πόλεων, μάλιστα δὲ πάντων Ἀλέξανδρος, ὃς πόλιν ἀνέστησεν οἵαν οὐχ ἕτερος· δηλοῖ δὲ αὐτὸς παρὰ ταύτην ἀνεστηκὼς ὡς ἐπὶ γῆς ἐμφανοῦς οἰκιστὴς ἐμφανέστατος· τὴν γὰρ πόλιν θαλάσσῃ πρόσοικον ἤγειρεν, αὐτὸς δὲ παρ' αὐτὴν [3] ἀνέστηκε θάλατταν· καὶ τὴν φύσιν αὐτῆς ἡ ἐπὶ τῆς εἰκόνος δείκνυσι στάσις· πρῶτον μὲν γὰρ αὐτὸν ἐποχούμενον ἵππος ἀνέσχεν, ἵππος δὲ, οὐχ οἷον ἄν τις ῥᾳδίως [4] μεταχειρίσειεν· ἀλλ' οἷος πρὸς τοὺς ἐκείνου κινδύνους [5] ἀρκέσει, καὶ τὸ τάχος τῷ ἔργῳ ἡ τοῦ φέροντος ἐπιδείκνυται ῥώμη· ἔπειτα αὐτὸς κράνος μὲν οὐδὲν ἦγεν ἐπὶ [6] τῆς κεφαλῆς, οὐ γὰρ ἐδεῖτο τοῦ προκαλύμματος ὁ γῆν ἅπασαν ἐννοῶν παραστήσασθαι καὶ περισκοπεῖν· [7] δοκεῖ δὲ μοι πάντα τοῖς ὄμμασιν εἶναι, ἃ προὶὼν κατεστρέψατο, σχῆμα πρὸς ὅλην ἀποβλέπων [8] τὴν γῆν, καὶ τὸ πᾶν ὡς εἰπεῖν συλλήβδην, φαίνει τὸ πρόσωπον. κόμη [9] δὲ ἀνειμένη πρὸς αὔραν καὶ πρὸς ὁρμὴν τοῦ φέροντος κλίνουσα, καί μοι δοκοῦσιν οἷον ἀκτῖνες εἶναι πρὸς ἥλιον αἱ τρίχες αὐτῆς· ἔπει-

ποδῶν ὁ δεξιὸς εἰς γόνυ κάμπτεται· ὁ δὲ αὖ λαῖος ὀρθὸς ἕστηκε καὶ προσερείδει τὸ βάθρον, δηλῶν ἐξ ἐπιγράμματος τεχνησάμενον· 13 Reisk. διῄρ. δέ.

1 Cfr. Liban. p. 1120. ed. Reisk. 2 Reisk. καθέστασαν πόλεων. 3 Cod. αὐτήν. 4 ῥᾳδίως Reisk. om. 5 Reisk. ἀγῶνας. 6 Reisk. ἦγε ἐπάνω τῆς κ. 7 Reisk. περιποιήσεσθαι. 8 Reisk. ἀποβλέπει, 9 Cod. μόνη. Reisk. κόμη.

Digitized by Google

τα δειρὴ τῷ προσώπῳ συναπονένευκε, καὶ ἡ χεὶρ δεξιὰ μετέωρος αἴρεται, καὶ λαβεῖν ἀεί τι δοκεῖ καὶ τὸ πρόσω ζητεῖ τὸ παρὸν καταστρέψασα· ἡ δὲ λαιὰ συνεσταλμένην ἔχει χλαμύδα, καὶ ταῖς αὔραις αὐτὴν οὐ κατέλιπε φέρεσθαι, καὶ δεσμὸς κατέστη τοῖς πνεύμασι, στέρνον δὲ ἅπαν ἐξῳδημένον φαίνεται Θώρακι, καὶ χλαμύδα συγκέκρυπται· καὶ διπλᾶ φέρει τῶν καιρῶν ὑπομνήματα, Θώρακα μὲν τοῦ πολέμου τὸ σύμβολον, χλανίδα [10] δὲ τῆς εἰρήνης τὸ γνώρισμα, καί μοι δοκεῖ τὴν διάνοιαν ὁ δημιουργὸς παραστήσασθαι, τὴν χλαμύδα προσθεὶς ἐπάνω τοῦ Θώρακος· οἷοις γὰρ εἰρήνης πόλεμον ἐτίθετο δεύτερον, τούτοις ὁ Θώραξ τῇ χλανίδι συγκέκρυπται, καὶ τὸ λανθάνον παρέσχε δοκεῖν ἑτοιμότερον· ἔπειτα μηρὼ διηρημένω πρὸς ἵππον, καὶ πόδες ἄμφω μετέωροι, καὶ δεξιὸς μὲν ἀντὶ κέντρου προσάπτεται, ὁ λοιπὸς δὲ αὐτόνομος φέρεται· Μακεδονικὰ δὲ φέρεται [11] πέδιλα, καὶ κνήμην περιστέλλει οὐχ ὅλην, ἀλλὰ τὸ μὲν τῆς κνήμης ἐστὶν ἰδεῖν, τὸ δὲ πρὸς εἰρήνην ὁπλίζεται· καὶ τὰ μὲν ἀμφότερα πρὸς εἰρήνην διαιρεῖται καὶ πόλεμον, καὶ τὰ μὲν πρῶτα βλέπει πρὸς πόλεμον, τὰ δὲ λοιπὰ πρὸς σπονδὰς ἀπονένευκε, κινδύνους [12] γὰρ σπονδαὶ διαδέχονται, καὶ ὧδε μὲν ἔσχεν Ἀλέξανδρος, ἐποχεῖται δὲ καὶ μάλα ῥᾳδίως ἐφ' ἵππου· [13] καὶ τὸν ἔποχον ὁ κομίζων ἐνδείκνυται. μᾶλλον δὲ δι' ἑκατέρου κατιδεῖν ἑκάτερον πάρεστιν· Ἀλεξάνδρου μὲν τὸν ἵππον οἷον δεικνύντος, τοῦ δ' ἵππου δηλοῦντος τὸν ἐποχούμενον, κεφαλὴ μὲν γὰρ ὡς οἵαν [14] νομισθῆναι βοὸς, καὶ τὴν προσηγορίαν εἴληφεν ἐξ ὧν ἐνομίζετο, φύσιν ἑτέραν τὰ πρῶτα παρεδήλου τοῦ [15] σώματος, μόνον οὐ κέρας ἀνεῖχε τὸ πρόσωπον· χαλινὰ κατέχειν οὐκ εἴα, οὐ γὰρ οἷον [16] εὐθύνεσθαι,

10 Reisk. χλαμύδα, et paullo inferius: τῇ χλανίδι. 11 Reisk. φέρει τὰ. 12 Reisk. κίνδυνον. 13 Reisk. ἐφ' ἵππον. 14 Reisk. οἵα. 15 Cod. τὰ. 16 Reisk. οἷος.

Digitized by Google

μᾶλλον δὲ χαλινοῦ τέχνην ἔδειξεν ἄπρακτον, καὶ τοῖς μὲν ἄλλοις οἷος μὴ κατασχέσθαι, [17] Ἀλεξάνδρῳ δὲ χαλινῶν εὐπειθέστερος, ὄμμα δὲ φοβερὸν καὶ μονονοὺ φοβοῦν πρὸ τοῦ βάλλοντος· ῥῖνες δέ οἱ διεγείρονται πνεύμασι, καὶ τὴν μὲν ὀργὴν ὁ θυμὸς κατεμήνυεν, ἐδήλου δὲ τὸν θυμὸν τὸ προκάλυμμα· δειρή τε ἐπὶ πλεῖστον οὐχ ἥκουσα, συνέστελλε [18] γὰρ ἡ φύσις πρὸς τὴν ὁρμήν· καὶ οἱ πόδες οἱ πρόσθεν ἠρμένοι καὶ πρὸς ἀέρα μετέωροι καὶ χωρεῖν πρὸς τὸ πρόσθεν ἐπείγονται, καὶ γῆς οὐκ ἐθέλουσιν ἅπτεσθαι, τοῦ δημιουργοῦ καλῶς ἐκ τῆς γῆς ἀπαρτήσαντος· πεφύκασι γὰρ ἰθεῖς ἑτοιμότατοι· καὶ γῆς ἐπιβαίνειν καὶ δοκεῖν τῆς γῆς μὴ [19] προσάπτεσθαι· οἱ δὲ τελευταῖοι πρὸς τὸ βάθρον ἐρείδονται, καὶ δοκοῦσιν ἰσχὺν διδόναι τοῖς ἔμπροσθεν, καὶ ὃ πρὸς ὀργὴν [20] ὑπομένουσι παθεῖν τοὺς λοιποὺς οὐ παρέχουσιν· οὐρὰ δὲ οὔτε ὅλη καθεῖται, οὔτε ἀφῃρέθη τοῦ μέτρου, ἀλλ᾽ ἔσχε μέν, ὅσον κοσμηθῆναι, τὴν φύσιν· παρείλατο δὲ, [21] ὅσον ἐμποδὼν μὴ γένηται ταῖς μάχαις, ἀνέχει δὲ αὐτὸν ὑπὸ γῆς βάθρον, τέτρασιν ἐπικείμενον κίοσι, καὶ τὸ μὲν βάθρον ἐπικείμενον σημαίνει τὴν γῆν, αἱ δὲ κίονες τῶν τμημάτων ἑκάστη [22] φέρουσιν, ἐφ᾽ ὅσα προῆλθεν Ἀλέξανδρος· πρὸς γὰρ ἀνίσχοντα φέρουσιν ἥλιον, καὶ ἐν ἄρκτῳ δηλοῦται τεταμένη πρὸς νότον, ὁπόσα τῆς γῆς Ἀλέξανδρον ἔχει, καὶ λῆξαι τοῦ λέγειν περίεστιν, εἰ μή τις καὶ πλέον θαυμάσειεν.

11. Ἔκφρασις [1] Ἐτεοκλέους καὶ Πολυνείκους.

Τὰ δὲ Θηβῶν ἀτυχήματα [2] τεθέαται μὲν κατὰ μέσον Ἑλλὰς, ὅλη δὲ παρὰ τὰς Ἀθήνας ἐπὶ τῆς σκηνῆς

17 Reisk. κατέχεσθαι. 18 Reisk. συνέστελε. 19 μὴ abest a codice, recepi ex ed. Reisk. 20 Reisk. γῆν. 21 δὲ abest a codice, recepi ex ed. Reisk. 22 Reisk. ἑκάστῳ.

1 Cfr. Liban. p. 1119. ed. Reisk. 2 Reisk. εὐτυχήματα.

Digitized by Google

ἐθεάσατο γῆ· καὶ κατὰ μέρος αἱ πόλεις εἰλήφασι, χαλκῷ [3] τὸ πάθος μιμούμεναι· ἐγὼ δὲ τεθέαμαι ὡς ἐν περιφανεῖ χώρῳ τοῦ ἄστεος· ἀνέστηκε μετὰ Πολυνείκους Ἐτεοκλῆς ἐπὶ ταῖς Θήβαις, τοιοῦτον πρὸς ἀγῶνα τιμώμενος, ὃν ἔξω Θηβῶν ἀγωνίζεται· καὶ πρῶτον μὲν ἑκατέρων αἱ κεφαλαὶ περιβέβληνται κράνεσιν· εἶτα ἀλλήλους πολεμοῦντες ἐκτρέπονται [4], καὶ τὰ πρόσωπα βλέπειν ἀλλήλοις οὐκ ἀνεχόμενοι δηλοῦσι τὴν φύσιν ἀδικουμένην παραλόγῳ τολμήματι· δειραὶ δὲ τοῖς προσώποις συνα-
πονεύουσι, καὶ τὸ ξίφος ὁ μὲν ἐπανέχει τῇ δεξιᾷ, καὶ δηλοῖ τῇ πληγῇ, ὅτι πάσῃ [5] ἀλλότριον τῇ φύσει συνάπτεται· ὁ δὲ μιαιφονῶν καὶ βραδύτερος ἑστηκὼς καθέλκει τὸ ξίφος, ὥσπερ ἔτι σκοπῶν, εἰ νόμος ταῦτα παθεῖν τὴν συγγένειαν, κάθηνται δὲ ἀμφοτέρων εὐώνυμοι, ἐξήρτηται δὲ καὶ θατέρου τὸ ξίφος ἔτι μένον, παρὰ τὸν κουλεὸν, ἐξηρτημένου [6] τελαμῶνος ἐξ ὤμου· τὰ δὲ στέρνα πρὸς ὄγκον ἔσχεν ἑκάτερος· ἐξοιδοῦται γὰρ καὶ ἀναπνεῖ πρὸς θυμὸν, τῶν δὲ μηρῶν ὁ μὲν ἔσχε [7] τὸν δεξιὸν εἰς γόνυ καμπτόμενον, καὶ πρὸς τὸν ἀνταγωνιστὴν ἐπικλίνοντα, ὁ δὲ τὸν λαιὸν ὁμοίως ἐκάλυψεν ἐφ' ὁμοίου τοῦ σχήματος· οἱ δὲ λοιποὶ τῶν ποδῶν τὸ βάθρον ἐρείδουσι, καὶ συνάπτει τὸ βάθρον, οὓς πρὸς ἀγῶνα καθεῖλκε [8] δυσμένεια· διττοὶ δὲ [9] τὸ βάθρον ἀνέχουσι κίονες, ἑκάτερος [10] δηλοῦντες τῶν ἀγωνιζομένων τὸ μέτρον· ταῦτα θαῦμα μὲν ὑπῆρχεν [11] ἰδεῖν, ἀδίκημα δὲ σιωπῇ κατακρύπτεσθαι.

---

3 Reisk. τῷ χαλκῷ. 4 Reisk. ἐντρέπονται. 5 Reisk. πάθος. 6 Reisk. ἐξήρτηται δὲ καὶ τελαμῶνος. 7 Reisk. ἔσχει τὸν δεξιὸν εἰς γόνυ καὶ ἁπτόμενον. 8 καθεῖλκε δυσμένεια Reisk. om. 9 δὲ Reisk. om. 10 Reisk. ἑκάτεροι. 11 Reisk. ὑπάρχει.

Digitized by Google

Cap. XIII.

Θέσις.

1. Εἰ τειχιστέον τὰς πόλεις. [1]

Ὁ τὴν φυλακὴν τοῦ βίου ζητῶν αἱρείσθω τὰ τείχη, πᾶν γὰρ, ὅ ταῖς πόλεσι σώζεται, φρουρεῖται τοῖς τείχεσι· τειχίζει μὲν γὰρ οὐρανὸς τοὺς θεούς, τὰ δὲ θνητῶν διατηροῦσι περίβολοι, καὶ ὃ τοῖς θεοῖς οὐρανὸς, τὰ τείχη θνητοῖς, καὶ ἔγωγε ποιητὰς ἄγαμαι τειχιστὰς τοὺς θεοὺς πεποιηκότας τῆς Τροίας, οὕτως καὶ ὅσοι θεῶν οὐ δεδύνηνται τεῖχος κατεσκευάσαντο, καὶ τιμᾶται καὶ παρ' αὐτοῖς οὐκ ἐν χρείᾳ καθεστηκόσιν ἡ τέχνη· σοφώτεροι μὲν γὰρ ἐκ τειχῶν ἄνθρωποι γίνονται, καὶ κατ' ἐξουσίαν ἐκκλησιάζειν τείχη δεδώκασιν· ἔπειτα πρὸς μάχης ἐπαίρει κατασκευὴν, καὶ κατασκευὰς τῶν ὅπλων ἑστηκότες περίβολοι νέμουσι· καὶ μὴν τὰ τείχη σωφροσύνην διατηρεῖ, παθεῖν γὰρ οὐκ ἐῶσι γυναῖκας, ὅσα γυναιξὶν [2] πολέμιοι φέρουσι, καὶ δικαστηρίων σωζομένων ἐκ τείχους ἐντεῦθεν ἄνθρωποι καθεστήκασι δίκαιοι· εἰ δὲ διὰ τάχους ἐῤῥωμένοι γεγόναμεν καὶ περὶ τῶν δεόντων ἐβουλευόμεθα καὶ τὰ δίκαια σώζεται τείχεσι, καὶ [3] μετὰ τούτων τὸ σωφρονεῖν, πῶς οὐκ εἰς ὅσον οἷόν τε ποιητέον τὰ τείχη; ναί φησιν· ἀλλὰ δειλίας τὰ τείχη γίνεται πρόφασις· δεινὸν ὀνομάζεις τὴν πρόνοιαν, καὶ τὰ κάλλιστα τῶν ἔργων αἰσχίστοις περιβάλλεις ὀνόμασι, καὶ δι' ὧν ἐρεῖς, οὐκ ἐᾷς περιβάλλεσθαι, ἀλλὰ καθίστασαι τῆς ἀσφαλείας κατήγορος, ὄκνον ὀνομάζων τὴν φυλακήν· τοὐναντίον [4] θαῤῥεῖν τὸ τεῖχος, οὐ δεδιέναι παρέχεται,

---

1 Cfr. Liban. p. 1134. ed. Reisk. In codice, qui titulum, εἰ τειχιστέον τὰς πόλεις, omittit, legitur tituli loco: εἰ ὁ τὴν φυλ. τοῦ βίου ζητῶν, αἱρείσθω τὰ τείχη. 2 Reisk. οἱ πολ. 3 Melius Reisk. καὶ εἰ διὰ τούτων. 4 Reisk. τοὐναντίον ἄνθρωπε.

Digitized by Google

καὶ γὰρ ὅπλων ἀποσοβῆσαι παρασκευὴν καὶ ξίφος ἀπαμῦναι ἐχθρῶν καὶ κατ' ἐξουσίαν πορίσασθαι νίκην τοῖς μαχομένοις μόνη τῶν τειχῶν παρέσχεν ἡ τέχνη· πῶς οὖν ἔτι δειλίαν ἐρεῖς τὰ μόνα δειλίαν ἀνηρηκότα καθάπαξ· τοὐναντίον γὰρ ἔγωγε ἔγνωκα τοῖς πολεμίοις ἐκ τῶν περιβόλων ἐγγίνεσθαι τὸ δέος· καὶ γὰρ [5] τί πάθωσιν οἱ ἄνωθεν πολεμοῦντες; μὴ δεδοίκασιν; ὥστε εἰ μὲν τὸ δέος τῶν πολεμίων ἐρεῖς, ὁμολογεῖς καὶ τὸ τεῖχος, εἰ δὲ τῶν πολιτῶν, ἀπὸ τῶν ἔργων θήσω τὴν τόλμαν· ἄφες οὖν ταύτης τῆς αἰτίας τὸ τεῖχος· ναί φησιν, ἀλλὰ δαπανηρὰ τοῖς κτωμένοις τὰ τείχη· τείχη τὸν ὄντα πόρον ἀνάλωσε, καὶ πόθεν ὁ τῶν ἀνθρώπων τετήρηται πλοῦτος; τὴν περιουσίαν φρουροῦσι περίβολοι, καὶ μετὰ τῶν χρωμένων [6] τηροῦσι τὰ χρήματα, καὶ κοινὴ φυλακὴ περιουσίας εἰσὶ καὶ τῶν πολιτῶν, ὥστε τὰ τείχη [7] τοῖς κατοικήσασιν οὐ δαπάνην ἐπήγαγεν, ἀλλὰ τὸν ὄντα τετήρηκε πλοῦτον. καὶ διχόθεν εἰσὶν αἱ περιουσίαι [8] δι' αὐτῶν τῶν τειχῶν, τὸν μὲν γὰρ οὐκ ὄντα πλοῦτον συλλέγειν ἑστηκότες περίβολοι νέμουσι, τὸν δὲ γεγενημένον ἐκ τῆς τῶν τειχῶν φυλακῆς ὑπάρχοντα διατηρεῖν· ὥστε οὐ τὸ τεῖχος δαπανηρὸν, ἀλλὰ τὴν οὖσαν ἐπέσχε [9] δαπάνην. φέρε γὰρ πρὸς θεῶν, εἰ πολέμιοι τοῖς οἰκοῦσι προσβάλλοιεν, [10] καὶ πάντα ἀφελῆ κατεργάσαιτο [11] πόλεμος, τήν τε τῆς πόλεως περιουσίαν ὑφαρπάσαι πειρώμενοι καὶ μηδένα λοιπὸν τοῖς κατοικοῦσι πόνον καταλιπεῖν· εἰ ταῦτα πράττειν οἱ πολέμιοι σπεύδοιεν, τί τοῦ μὴ παθεῖν καταστήσεται κώλυμα; ἢ δηλονότι τοῦ μὴ παραῤῥεῖσθαι τὸν ἔνδοθεν πλοῦτον φιλοτιμεῖται τῶν περιβόλων ἡ τέχνη· πῶς οὖν οὐκ ἄλογον πολεμίους μὲν πάντα καταλαβεῖν ἀπὸ τῶν περι-

---

5 Reisk. μὴν. 6 Reisk. χρημάτων. 7 Reisk. τείχη τῶν χρημάτων. 8 Reisk. εἰσὶ φυλακαί. 9 Reisk. ἀφαιρεῖται. 10 Reisk. προσβάλοιεν. 11 Reisk. κατεργάσεται.

Digitized by Google

περιβόλων κωλύεσθαι, κατηγορεῖν δὲ τειχῶν, ὡς δαπάνης αἰτίων. Μετὰ τὰ τείχη καὶ περίβολοι τοῖς χρωμένοις σωτήριον, καὶ ἡ τύχη τοῖς κτωμένοις ἀσφάλειαν τὴν περὶ τὰ τείχη πεποίηται τέχνην, ὅτιπερ [12] οὐκ ἔστιν εἶναι τοὺς ἀγνοοῦντας τειχίζεσθαι, καὶ τοίνυν εἰ νόμοι [13] μὲν κρατοῦσιν ὑπὸ τειχῶν, διὰ δὲ περιβόλων [14] πολιτεύονται δίκαια, καὶ συνοίσουσιν οἷς ἂν εἶεν [15] ταῦτα γινόμενα καὶ τειχίσαι, πᾶσι τιμητέον τὰ τείχη, τιμᾷν εἰδότα καὶ πολιτείαν καὶ βίον.

2. Θέσις [1] εἰ πλευστέον.

Οὐκ οἶδα, εἴ τι ἐμπορίαν ἠτίμασεν ὁ θεῶν εἰδὼς γεγονότα τὸν πλοῦν· προῆλθε μὲν γὰρ τὸ χρῆμα τῆς Ἀθηνᾶς, καὶ σοφῆς θεοῦ γεγονὸς πάντως που τῷ βίῳ καταφανὲς πρὸς ὄνησιν. τὸ γὰρ ἐξ ἀγαθῶν, καὶ ταῦτα θεῶν, τοῖς λαβοῦσιν ὠφέλιμον· ὁρῶσα γὰρ ἡ θεὸς [2] ἀνόνητα τὰ [3] τῆς γῆς τοῖς ἀνθρώποις τυγχάνοντα, μὴ προσόντος τοῦ πλεῖν, οὕτως ἐργάζεσθαι δέδωκε θάλατταν, ὡς παρέσχε πονεῖν ἡ φύσις τὴν ἤπειρον, καὶ τὸ μὴ ῥᾷον ὁπωσοῦν διελθεῖν ἑτοιμότερον παρέσχε πορίζεσθαι. καὶ πρῶτον ἀνθρώπους σοφωτέρους εἶναι παρέσχεν ὁ πλοῦς, οἷς ἄλλην ἐξ ἄλλης καταλαμβάνουσι γῆν. εἶτα ἀνδρείους ἀποτελεῖ, τολμῶντας ῥᾷον τὰ πρὸς τὴν θάλατταν, καὶ τοῖς πνεύμασιν ἀνταγωνίζεσθαι σπεύδοντας, εἶτα δικαίους ἐπιβάντας νεώς. οἷς γὰρ δέονται πρὸς τὸ μή τι παθεῖν τῶν θεῶν, καὶ παντός εἰσι δικαιότεροι. καὶ μὴν τὸ σωφρονεῖν ἡ τῆς γῆς ἀλλοτρίωσις δίδωσιν. οἷς γὰρ οὐχ ὁρῶσι, πλησιάζουσι, καὶ

12 Reisk. ὅτιπερ οὐκ θαῤῥοῦντας τειχίζ. 13 εἰ νόμοι μὲν κρατοῦσιν Reisk. om. 14 Reisk. περιβόλου πολιτεύεται. 15 Reisk. οἷς ἂν * μενα. p. 189. 2. v. u. αὐτοῦ εὑρεῖν c.

1 Cfr. Liban. p. 1135. ed. Reisk. 2 Reisk. θεά. 3 τὰ inserui, quamvis absit a cod. et ab ed. Reisk. — Sqq. ur-

Digitized by Google

Digitized by Google

σωφροσύνην ἐπιτηδεύουσιν. εἰ δὴ οὖν προῆλθε θεῶν, καὶ πᾶσαν ἀρετὴν παρέσχεν ἀσκεῖν, εἰς ὅσον οἷόν τε τιμητέον τὸν πλοῦν. ναί φησιν, ἀλλ' ἐπὶ κακίᾳ τῶν ἀνθρώπων παρεσκεύασται πλοῦς. καὶ τί ἂν ἕτερον φυλάξῃ τὸ δίκαιον, εἰ τὸν πλοῦν ἀφαιρήσεται; ἄλλην ἐξ ἄλλης καταλαμβάνουσι γῆν, καὶ τὰ παρὰ πᾶσιν ἐκμανθάνοντες νόμιμα, τηροῦσι τὰ δίκαια, καὶ τοσοῦτον αὐτοῖς τοῦ δικαίου περίεστιν, ὥστε παρενθήκην αὐτοὺς[4] εὑρεῖν τοῖς ὄθεν ἀπαίρουσιν. ἃ γὰρ ἑτέρωθεν ἔμαθον, τοῖς οἰκείοις εἰσήγαγον, καὶ γίνεται νομοθέτης δικαίων ἐξ ἑτέρων νομοθετούμενος. καὶ μὴν δεδοικότες μή τι πάθωσι πλέοντες, δικαιότεροι γίνονται· καὶ καθιστᾷ τῶν δικαίων φύλαξ ὁ φόβος, εἰ δεδοικότες μένουσι δίκαιοι, καὶ καλοῦντες θεοὺς εἰσὶν ὁσιώτεροι, καὶ τὰ παρὰ πᾶσιν ἐκμανθάνοντες δίκαια δικαιοσύνην ἐπιτηδεύουσιν. Πῶς ἄν τις αἰτιῷτο τὸν πλοῦν ἐπεισφέροντα τοῖς πλεούσιν ἄδικα; ναί φησιν, ἀλλὰ τὸ πλεῖν ἐστι σφαλερώτατον· οὐκοῦν μέγιστον, εἰ παρ' αὐτὸ κινδυνεύουσιν ἄνθρωποι. μεγάλα δὲ μεγάλοις καθορθοῦται τοῖς πόνοις· ἃ δὲ πονεῖν οὐκ ἐᾷ τοὺς χρωμένους, οὐκ ὤκνησαν. ὁρᾷς τὰς μάχας εἰς οἷον πόνον τοῖς χρωμένοις ἐκβαίνουσιν· ἀλλ' εἰ καὶ τὸ πολεμεῖν ἐπικίνδυνον, καὶ καθορθοῦν ἐνδοξότερον, καὶ οὐ τὰς μάχας ἀποδιδράσκουσιν ἄνθρωποι τοὺς κινδύνους σκοποῦντες, ἀλλ' αὐτοὺς ἑκουσίως ὑφίστανται, τὸ νικᾷν λογιζόμενοι. καὶ ἀφαιροῦνται τῶν κινδύνων τὴν αἴσθησιν αἱ τῆς νίκης λαμπρότητες· ὅθεν μετὰ τὸ πλεῖν καὶ τὸ κτῆμα θεῶν πορισθὲν ὅλοις ὄνησις γίνεται πλέουσι· τετίμηνται μὲν γὰρ οἱ πορίσαντες, ἠσπάσαντο δὲ οἱ καθάπαξ ἀσκήσαντες, καὶ τὴν εἰς ἀνθρώπους κομιεῖ πᾶσιν ὄνησιν, θεοῖς μὲν τὴν τιμήν, ἀνθρώποις δὲ πόρον οὐ μέτριον.

---

gente tempore ex Libanio descripsi. 4 fort. αὐτοῖ.

Cap. XIV.

Κατηγορία

νόμου τοῦ κελεύοντος, τὰς τῶν ἀδελφῶν γαμετὰς γαμεῖν.

Ἔφθασε μὲν ἡ φύσις τὸν νόμον, καὶ τοὺς ἅμα γεγονότας εἰς ὑμέναιον οὐκ ἐᾷ συνελθεῖν. βεβαιοῖ δὲ ὅμως τὴν φύσιν ὁ νόμος καὶ δι' ἑκατέρων ἄμφω προῆλθε. φύσις μὲν νόμῳ καταβάλλουσα γένεσιν, νόμος δὲ βεβαιῶν, ἃ τῇ φύσει δοκεῖ. δεῖ δ' ἐπὶ τῷ νόμῳ βραχέα φιλοσοφῆσαι. τῶν ὄντων ὄντως ἅπαντα γένη φύσει μὲν ὁμοίως ἀπὸ γάμου προῆλθε, γάμῳ δὲ ὅμως οὐχ ὁμοίῳ συνάπτεται· ὁ μὲν γὰρ θηριώδης καὶ ἀλόγιστος βίος, ἀφῳρημένος φύσει τὸ κρίνειν, πάντα μὲν γάμοις συγχέει, πάντα δὲ ἀλλήλοις πλησιάζειν ἐᾷ, οἷς καὶ συνάπτεται μὲν παῖς, ἧς προελήλυθε, γίνεται δὲ πατὴρ, ᾧ συνῆλθε μιγνύμενος, καὶ μαθεῖν οὐκ ἐᾷ παρὰ τῆς ὁμιλίας, ὃ γέγονεν ἕκαστον. ἄδηλον δὲ παρ' αὐτοῖς, καὶ παῖς, καὶ πατὴρ ὅσοις γάμος δοκεῖ, οὐ μὴν τοῦ λόγου μετειληφότες, τοῖς δὲ γάμοις παραπλήσιοι, ἀλλ' ὥρισται παῖς, καὶ διέστη πατὴρ, καὶ κατακέκριται μήτηρ, καὶ τὸ παραχθὲν οὐκ οἶδε τῷ κεκομικότι συνάπτεσθαι, καὶ τὴν συγγένειαν, ἧς διέστη, τετίμηκεν. καὶ τὰ μὲν ἄλλα συγγένεια ποιεῖ συναπτόμενα, τὰ δὲ συγγενῆ συγγένειαν βεβαιοῖ διϊστάμενα, ἃ καλῶς εἰδὼς ὁ τὸν παρόντα νόμον εἰσενεγκὼν, ἀδελφοὺς οὐκ ἐᾷ ταῖς τῶν ἀδελφῶν συναφθῆναι συνοίκοις. ναί φησιν, ἀλλ' ἐπικουρίας δεῖ χρηρευούσαις ταῖς γυναιξίν. ἀδικεῖς ἄνθρωπε τὴν συμμαχίαν ἡδοναῖς ὁριζόμενος. ὥσπερ οὐκ ἐνὸν συμμαχεῖν, εἰ μὴ γάμος παρῆν, ἐξ ὑμεναίων ἐπιφέρεις τὴν χάριν ἀμείνω. ἔσο τὴν συγγένειαν εὔνοια μᾶλλον, ἢ τῷ γάμῳ τιμῶν, τὸ μὲν γὰρ εὔνουν πρὸς χάριν δοκεῖς πεπραχέναι τοῦ γένους, τὸ δὲ γάμῳ συμμαχεῖν συναπτόμενος, αὐτῆς εἶναι παρασκευάζει τῆς ἡδονῆς. τί δὲ χρείαν ἐρεῖς γυναικὸς, ἔνθα τοῦ

Digitized by Google

συνόντος ἀδελφὸς καταλείπεται; μενέτω πατὴρ τοῖς παρ' ἐκείνου γεγονόσι παισὶ, καὶ μὴ συγχωρείτω τῆς χηρείας αἰσθάνεσθαι· τῶν παρ' αὐτοῦ συμμάχων ἄδηλον ποιείτω τὴν τύχην ἡ χάρις, καὶ τὴν συμφορὰν ἐπικουφιζέτω, τῇ χηρείᾳ ἐπικουρῶν, καὶ μὴ ποιείτω γυναῖκα μὲν δοκεῖν ἀποβλέπειν εἰς ἡδονὰς, αὐτὸν δὲ γάμου συγγενείας ἀλλότριον, ἐπειδὴ συνάπτεται διὰ τὸ γένος. ναί φησιν, ἀλλὰ γυναιξὶν ἡδοναὶ πρόχειροι· κρείττους δὲ τῶν οὐ προσηκόντων οἱ συγγενεῖς; ἀμείνους εἰς παράπαν οἱ συγγενεῖς, καὶ τὸ κατ' αὐτῶν κομιζόμενον ἐκ τοῦ προσήκοντος γίνεται δέος. οὕπω τεθέαμαι τὸ μᾶλλον παρανομεῖν ἐπαινούμενον. τί δὲ τῶν γυναικῶν κατηγορεῖς ἡδονὰς, καὶ ταῦτα βεβαιοῖς συναπτόμενος; αἱ γυναῖκες νοσήσασαι πράττουσιν, οἱ προσήκοντες εἴργουσι, καὶ κωλυταὶ γίνονται τῆς ἐκείνων ἀκρασίας, οὐ σύμμαχοι. καὶ ἔμοιγε δοκεῖ οὐδὲν ἐπαισθάνεσθαι τῶν ἐν τῇ χηρείᾳ κακῶν. τί γὰρ δεῖ τότε χηρείαν μὲν ἐλεῖν προσποιῆσαι, καὶ παίδων ὀρφανίαν οἰκτείρειν; εἶτα τὰς συμφορὰς ἐπὶ τῷ πλησιάζειν αὐταῖς συναπτόμενος; ὁ χηρείαν εἰσάπαξ μὴ συγχωρῶν, δεύτερον ἐργάζεται, καὶ παῖδας ὀρφανοὺς ὀδυρόμενος, ἑτέρους ὀρφανοὺς πραγματεύεται. ὅσῳ γὰρ γάμον ἐργάζεται δεύτερον, δευτέρας συμφορὰς ἀπεργάζεται. καὶ ποιεῖ γάμον οὐ δυστυχήματος κώλυμα, τὸν ὄντα δυστυχημάτων μᾶλλον ἐπίδοσιν. μέγα τοῖς ἀνθρώποις τὸ γένος, καὶ συγγένεια συνάπτειν οἶδε τὰ διϊστάμενα. πατέρες μὲν γὰρ ἐκ τοῦ γάμου καθίστανται, προσέρχονται δὲ δι' ὑμεναίων ἀδελφοὶ, πρὸς ἀλλήλους προσήκοντες, καὶ συζυγίᾳ μιᾷ ὁ πολὺς προέρχεται τῶν σωμάτων κατάλογος. καὶ συμμαχεῖν μὲν ἀλλήλοις, ἤν που δέῃ, προήρηνται, προανακόπτουσι δὲ τὰς τῶν ἐπιόντων ἐπιβουλὰς, καὶ συγγένεια γίνεται πλείστη ἡ τῆς ἐπικουρίας συντέλεια καλὴ, ὁριζόμενοι βεβαίως τὰ παρὰ νόμον τῆς φύσεως οὐ παραβαίνοντα νόμιμα. —

V.

ΝΙΚΗΦΟΡΟΥ
ΤΟΥ ΒΑΣΙΛΑΚΗ
ΠΡΟΓΥΜΝΑΣΜΑΤΑ.

Fabricius et Harlesius

in biblioth. graec. lib. IV. c. XXXII. Tom. VI. p. 52.

Nicephorus Basilaca [1], scriptor Christianus, qui sub Alexio Comneno, A. C. 1180. defuncto, rhetorices profes-

1 In bibl. Augustana est, secundum Reiseri catal. p. 36. in cod. Nicephori Basilici progymnasmatum principium. — Florent. in cod. XXIII. medic. Laurent. pl. 32. est nr. 7. hic titulus: *Προγυμνάσματα Κυρίου Νικηφόρου τοῦ βασιλικοῦ Νοταρίου* (imperialis notarii) ex iisque *διήγημα τὸ κατὰ Ὀδυσσέα*, narratio de Ulysse; atque Bandin. opinatur tom. II. col. 184. sq. hunc esse fortassis Nicephorum, cujus narrationes Allatius edidit, et Fabric. h. l. memorat. Praeterea in eodem cod. sunt quaedam alia, quae latuerunt Fabricium, nempe nr. 8. sententiae; nr. 9. altera sententia; nr. 10. confutatio eorum, quae circa Atalantam feruntur. — Montfaucon in bibl. Coislin. p. 103. sqq. graec. publicavit decretum circa unionem synodi cum Leone,

Digitized by Google

sorem gessit CPoli, et Pauli epistolas interpretatus est. Fabr. Sequitur catalogus fabularum, narrationum et ethopoeiarum, quas edidit Leo Allatius. Harles. addit: Fabulae V. narrationes VIII. et Ethopoeiae VI. sunt in Patusae encyclopaed. philolog. Vol. I. p. 382. sqq.

In Leonis Allatii Excerptis variis Graec. Sophistarum et Rhetorum, Romae 1641. p. 125—220. continentur μῦθοι, διηγήματα et ἠθοποιΐαι, quae ex Cod. Par. 2918.[2] et ex margine exemplaris D. Petr. Dan. Huetii, episc. Abrinc., in Biblioth. regia Paris. nr. X. 1759. a. notati passim emendavi: ex eodem codice χρείας, ἀνασκευὴν, κατασκευὴν, γνώμας et ἠθοποιΐας nr. 1—16. hucusque ineditas adjeci, quae sunt etiam in codice Barberino 392., cujus descriptionem dedit Jacobus Leopardus, et Mediceo, quem Harles. in nota subjecta memorat.

Chalcedonensi, etc. ab Alexio Comneno editum, in quo p. 105. praeter alios, qui subscripsere, memoratur Nicephorus, notarius patriarchalis. In cod. Paris. bibl. MMDCCCCXVIII. Basilacae ethopoeiae, quae ab confectore catalogi t. II. p. 570. dicuntur ineditae; initium τίνας ἂν εἴπε λόγους ὁ Δαβίδ. — Inter codd. Langbaeni (in catal. MSSt. Angl. et Hibern. I. p. 270.) ethopoeiae sacrae. Harl.

2 Vide Prolegomena ad Theonem p. 140.

ΝΙΚΗΦΟΡΟΥ
ΤΟΥ ΒΑΣΙΛΑΚΗ
ΠΡΟΓΥΜΝΑΣΜΑΤΑ.

Cap. I.

Μῦθοι.

1. Λέοντος καὶ ταύρου.

Λέων ποτὲ ταῦρον ὁρᾷ, καὶ τροφῆς μὲν ἐρᾷ, τὰς Allat. 125
δὲ τῶν κεράτων δεδείττεται προβολάς. [1] καὶ τὸ φάρμα-
κον εὑρὼν, οὐ θεραπεύει τὸ πάθος· νικᾷ μὲν αὐτὸν ὁ
λιμὸς, καὶ τῷ ταύρῳ κελεύει συμπλέκεσθαι, ἀλλ' ἐκφο-
βεῖ τῶν κεράτων τὸ μέγεθος. τέλος πείθεται τῷ λιμῷ,
καὶ φιλίαν πλασάμενος, εἰς ἀπάτην τὸν ταῦρον ὑπέρχε-
ται· ὅπου γε τὸ κακὸν πρόχειρον, [2] καὶ τὸ ἀνδρεῖον πε- 126
φόβηται, κἂν ἴδοι τὸ βίᾳ κρατεῖν οὐκ ἀκίνδυνον, τὸ
λάθρα σοφίζεται. ἐγὼ γοῦν [3], φησὶν, ἐπαινῶ σου τὸ καρ-
τερὸν, ὑπεράγαμαι τὸ κάλλος, ὁποῖος μὲν εἶ τὴν κεφα-
λήν, ὁποῖος δὲ τὴν μορφήν· ὅσος [4] δὲ τοὺς πόδας, ὅσος
δὲ τὰς ὁπλάς· ἀλλ' ὅσον ἐπὶ τῆς [5] κεφαλῆς φέρεις τὸ
ἄχθος. περίελε γοῦν οὕτω ματαίαν ἐπιπλοκὴν, καί σοι καὶ
κόσμος ἔσται τῆς κεφαλῆς, καὶ βάρους ἀπαλλαγὴ, καὶ
πρὸς τὸ κρεῖττον μεταβολή. τί δὲ καὶ δεῖ σοι κεράτων,

1 Par. προβολὰς, Allat. προσβολάς. 2 Par. πρόδηλον.
3 Par. ἔγωγ' οὖν. 4 Par. ὅσους. 5 Par. τῆς om.

Digitized by Google

εἰρήνης οὔσης πρὸς λέοντα· πείθεται τούτοις ὁ ταῦρος, καὶ τὴν ἐκ τῶν ὅπλων ἰσχὺν ἀποβαλὼν, τῷ λέοντι λοι-
127 πὸν εὐχείρωτος ἦν, καὶ δεῖπνον ἀκίνδυνον. — Οὕτω τὸ πείθεσθαι τοῖς ἐχθροῖς μετὰ τῆς ἀπάτης φέρει καὶ κίν-
5 δυνον.

2. Ἵππου καὶ ἐλάφου.

Ἦν ὅτε καὶ ὁ [6] ἵππος ἀχείρωτος ἦν, καὶ πρινὴ τοῖς ἀνθρώποις εἰς χεῖρας ἐλθεῖν, κατὰ λειμῶνα ἐκρόαινε, καὶ τροφὴν ἐποιεῖτο τὸ ἐλευθέριον, καλὸν μὲν ἦν αὐτῷ [7]
10 καὶ τὸ ἄνετον, οὐ σμικρὸν εἰς εὐμοιρίαν, [8] καὶ τὸ χαλινοῦ διάγειν ἔξω, καὶ μύωπος. ἀλλ᾽ ἦν ἄρα καὶ τοῦτο
128 τῆς τίχης οὐδὲν ἧττον τὸ φιλοτίμημα. ἄλσος ἀνθηρὸν ἐπὶ πεδιάδος ἐφηπλωμένον. καὶ χλόη τις εἰς τε ποδῶν ἀγωνίαν, καὶ τάχους φιλοτιμίαν οὐκ ἄχαρις, καὶ πρὸς
15 τροφὴν οὐκ ἀνέραστος. κατέῤῥει τὸ ἄλσος καὶ πηγή τις, ὡς μὲν ὀφθῆναι καλὴ, ὡς δὲ ἡδεῖα πιεῖν. ἡ δὲ καὶ τὸ χλοάζον ἐχορήγει τοῖς ἄνθεσι· καὶ τῷ ἵππῳ τὴν κόμην [9] ἐκάθαιρεν. ἐπὶ τούτοις ὢν τοῖς καλοῖς ὁ ἵππος ἔχαιρεν, οὐδὲν [10] γὰρ ἐνέδει τῶν, ὁπόσα καὶ τρυφᾷν ἵπποι νομί-
20 ζονται. ἀλλ᾽ εἶδε ταῦτα ἔλαφος, καὶ τοῖς τοῦ ἵππου καλοῖς ὀφθαλμὸν ἐπέβαλε βάσκανον, καὶ ξένοις ἀγαθοῖς

6 Par. ὁ om. 7 Par. αὐτό. 8 Huet. f. εὐμορφίαν. 9 Par. κόνιν. 10 Par. οὐδὲν, Allat. οὐδέ. Joseph. bell. Jud. VII. 7. 1. τῶν περὶ Ἀντίοχον οὐδὲ προσδοκώντων. Par. 1423. et 1425. οὐδέν. VII. 10. 4. ὡς μηδ᾽ ἴχνος ἔτι τῆς εἰς θεὸν θεραπείας ἐν τῷ τόπῳ καταλιπεῖν Par. 1425. μηδὲν ἴ. Vit. Jos. c. 47. οὐδενὶ ταῦτα φράσας. Par. 1423. οὐδέ. Minutian. p. 733. ὡς μηδὲ δεῖσθαι τῆς ἐν Πειραιεῖ ναυπηγίας. Norrm. μηδέν. Pausan. VII. 17. 9. Ἄττης δὲ ὅστις ἦν, οὐδὲν οἷός τε ἦν ἀπόῤῥητον εἰς αὐτὸν ἐξευρεῖν. Angel. οὐδέ. Plut. Pomp. c. 76. οὐδὲ γὰρ ἁμάρτημα Πομπηίου μεῖζον, οὐδὲ δεινότερον στρατήγημα Καίσαρος. Patav. et cod. Card. Rodulfi οὐδὲν γάρ.

Digitized by Google

ἐφυβρίζειν οὐκ ἐπῃσχύνετο. τί μὲν τῆς λόχμης [11] τοῖς κέρασιν οὐκ ἀνώρυττε; τί δὲ τῶν ἀνθέων τοῖς ποσὶν οὐ κατέκλα; τί δὲ μὴ ξυνέθόλου τῆς πηγῆς, ὡς ἐφ' ὕβρει, 129 καὶ φθόνῳ τῶν ἵππου καλῶν ἀφειδῶς [12] ἐπιτρέχουσα. ἐντεῦθεν ἀλγεῖ μὲν ὁ ἵππος καὶ περισκοπεῖται τὴν ἄμυναν. ἀλλ' οὐκ εἶχεν ὅ, τι καὶ χρήσαιτο. ὡς οὖν ἐπέγνω κρεῖττον τῆς αὐτοῦ σοφίας τὸ κακὸν, ὁρᾷ τινα παριόντα τὸ ἄλσος. διηγεῖται τῆς ἐλάφου τὸ βάσκανον, καὶ ὅπως ἀμυνεῖται, πυνθάνεται. ὁ δὲ, ἄνθρωπος γὰρ ἦν, ἀπάτῃ καὶ δόλῳ τὸν ἵππον μέτεισι, καὶ τὸν χαλινὸν ἐπιδείξας, εἶγε, φησὶν, ὦ ἵππε, τοῦτον μὲν ἐπὶ στόματος, ἐμὲ δὲ ἐπὶ νώτου φέρειν ἀνέξῃ μικρὸν, ἐγώ σοι δι' ὀλίγου τὴν ἔχθραν ἀμυνοῦμαι. ἤκουσεν ὁ ἵππος ταῦτα, καὶ πείθεται. καὶ τὰ ἐντεῦθεν ἡ μὲν ἔλαφος ἀπη- 130 λαύνετο τοῦ ἄλσους, ὁ δὲ ἵππος ἐπὶ φάτνης εἱστήκει, μετὰ χλόης καὶ τῆς πηγῆς προσαφαιρεθεὶς καὶ τὸ ἄνετον. Φυλακτέον ἄρα καὶ τὸ ἐλευθέριον, καὶ παῤῥησίαν οὐ προδοτέον φρονήματος, εἴγε μὴ [13] μέλλοι τις δουλεύειν οὐδὲν ἧττον ἢπερ ἵππος χαλιναγωγούμενος. — Ὁ μῦθος οὗτος ἐστὶ μὲν Αἰσώπειος, [14] τὴν δὲ μελέτην ἐκ τῶν Ἑρμογένους προγυμνασματικῶν μεθόδων ἠρανίσατο, πλατύτερον ἐξειργασμένος, [15] ὡς ἐκεῖνος μεθοδεύει ἐν τοῖς περὶ μύθου.

---

11 Par. τοῖς λύχμοις. 12 Par. ἀναιδῶς. 13 μὴ inserui ex conjectura Huetii. Abest a Par. et Allat. 14 i. e. ad modum Aesopi: apud Aesopum non invenio hanc fabulam. Utitur ea Stechisorus Aristot. Rhet. II. 20. Himeraeis, Phalaridem tyrannum in auxilium vocaturis, quid exspectare debeant, demonstraturus. Est etiam apud Horat. Ep. I. 10. 15 Par. ἐξειργασάμενος. Ita Pausar. I. 28, 11, μηδὲν εἰς τὸν Αἴαντος θάνατον εἰργάσθαι. Neapol. εἰργάσασθαι. VI. 9. 6. καταγνωσθεὶς δὲ ὑπὸ τῶν ἑλλανοδικῶν ἄδικα εἰργάσθαι — — ἔκφρων ἐγένετο. Angel. εἰργάσασθαι. VI. 17. 4. Ἀκέστωρ ὁ τὴν εἰκόνα

Digitized by Google

Ἁλίσκεταί ποτε καὶ λέων ὑπὸ κάλλους, καὶ κόρης ἐρᾷ, καὶ δὴ πρόσεισι τῷ πατρὶ, καὶ λόγους πρὸς γάμον ξυνάπτει. Θηρῶν μὲν ἄρχω, φησὶν, ἄνδρας δὲ οὐδ' ἂν [16]
131 τὴν ἀρχὴν τρέσαιμι. ἐγὼ καὶ λαγωὸν ὑπὸ τάχους εἷλον, καὶ κύνας ἐφόβησα. ἐγὼ καὶ ταῦρον ἐπέσχον μυκώμενον, καὶ ἵππον κατέσχον μικροῦ τοῖς ποσὶν ἱπτάμενον. ἔχεις ἔδνα τῆς κόρης τὴν ῥώμην, τὸ κάλλος, τὸ τάχος, τὰς ὁσημέραι θήρας. ταῦτα πλουτήσεις, ταῦτα εὐδαιμονήσεις, εἰ μόνον κηδεστὴς ἐθελήσεις ἀκοῦσαι λέοντος. ὁ δὲ τοὺς λόγους προσίεται, καὶ τὸν γάμον οὐκ ἀνένευσε μὲν, ἀνεβάλλετο δέ. οἷς δ' ἀπηχθάνετο, τοῦ θηρὸς περιελεῖν τὰ ὅπλα σοφίζεται. Ἀλλ' ἐγὼ μὲν, φησὶν ὁ πατὴρ, καὶ τοῦ κάλλους ἄγαμαι, καὶ τῆς ῥώμης ἀποθαυμάζω, καὶ ὡς
132 ἔδνα ταῦτα δέχομαι, καὶ τὸν νυμφίον εἰς οὐδὲν ὅ τι καὶ μέμφομαι. ἀλλ' ἡ κόρη παῖς ἐστιν ἁπαλὴ, καὶ τὸ ὅλον γυνὴ καὶ πεφόβηται. ἂν ἴδῃ τὰς τῶν ὀδόντων ἀκμὰς, πέφρικεν, ἂν ἴδῃ τοὺς ὄνυχας, οὐκ ἀνέχεται, ὀξεῖς γάρ [17] εἰσι. φοβοῦσι καὶ μόνον φαινόμενοι, καὶ [18] ταῦτα καὶ τὸ σὸν χαροπὸν [19] ἀγριαίνουσι, ταῦτα καὶ τὴν κόρην δειλαίνουσι καὶ τὸν γάμον ἀπείργουσιν. ἂν σὺ τοὺς ὄνυχας ἐξέλῃς καὶ ἡ κόρη συνεξέλῃ τῆς ψυχῆς τὸ φοβούμενον. ἂν καὶ σὺ τοὺς ὀδόντας ἐκκόψῃς, κἀκείνη συνεκκόψει [20] τὸ δέος. αὐτός μοι μόνον τὸ δέος περίελε, καὶ περίσωζε τὸ χαροπὸν ἀκραιφνὲς καὶ τάχα σε καὶ ἡ κόρη οὐκ ἐκ-
133 φεύξεται. Ταῦτα ὁ μὲν εἰς ἐπιβουλὴν καὶ δόλον ἔλεγεν, [21]

εἰργασμένος. Angel. εἰργασάμενος, 16 Par. οὐδὲν τὴν ἀ. Huet. „h. e. nullo modo, ne tantillum quidem, non intellexit Allatius.“ 17 γὰρ Par. om. 18 καὶ Par. om. 19 Par. h. l. et infra χαροπὸν, Homericum leonum epitheton Od. Λ. 610. 20 Par. συνεκκόψῃ. Allat. συνκόψει, Huet. συγκ. 21 Allat. ἔλεγε.

Digitized by Google

ὁ δ' ἀβασανίστως ἐδέχετο, τυφλὸς γὰρ ἅπας ἐρῶν, καὶ ἀπροβούλευτος.[22] ἐντεῦθεν ὁ μὲν τὴν τῆς φύσεως πανοπλίαν ἀποδύεται, ὁ δὲ τῆς κόρης πατὴρ ἐπιπηδᾷ τῷ δῆθεν νυμφίῳ θρασύτερον, καταγελῶν τῆς ἀσθενίας ἅμα καὶ τῆς ἀνοίας, ὃν οὐδὲ προσβλέπειν ἐθάρρει τὸ πρότερον. Μὴ πείθου, παῖ,[23] τοῖς ἐχθροῖς ἑτοιμότερον, μὴ καὶ γένῃ τούτοις εὐάλωτος, οἷς τὸ πρὶν ἐδόκεις ἀνάλωτος.

4. Λύκου καὶ ποιμένος.

Ὁ ἐπείσακτος κόσμος ἐπικίνδυνος τοῖς χρωμένοις ἐστίν.[24]

Ἔδοξέ ποτε τῷ λύκῳ τὴν φύσιν τῷ σχήματι μεταλλάξασθαι, ὡς ἂν οὕτως ἀφθονίαν ἔξῃ[25] τροφῆς, καὶ 134
δορὰν οἷος περιβεβλημένος μετὰ τῆς ποίμνης ἐνέμετο, τὸν ποιμένα φενακίσας τῷ μηχανήματι· νυκτὸς δὲ γενομένης συναπεκλείσθη καὶ ὁ θὴρ παρὰ τοῦ ποιμένος τῇ μάνδρᾳ, καὶ φραγμὸς τῇ εἰσόδῳ περιστέθη, καὶ ἀτεχνῶς ὁ περίβολος κατησφάλιστο· ὡς δὲ ὁ ποιμὴν ἠράσθη τροφῆς, μαχαίρᾳ τὸν λύκον ἀπέκτεινεν. Οὕτως ἄρα ὁ τὸν ἐπείσακτον κόσμον ὑποκριθεὶς τῆς ζωῆς πολλάκις ἐστέρηται, καὶ τὴν σκηνὴν εὗρε παραιτίαν[26] μεγάλου συμπτώματος.

5. Κολοιοῦ καὶ ὀρνίθων.[27]

Ἔδοξέ ποτε τοῖς ὄρνισιν ἄρχεσθαι, ἵν' οὕτως ἀ- 135
σφαλεστέραν ἔξουσι τὴν ζωὴν καὶ ἀνεπιβούλευτον, καὶ βασιλέα ἑλέσθαι τῶν ἄλλων ὀρνίθων τῷ κάλλει προέχοντα. Ὡς δὲ καὶ ἡ ψῆφος ἐπεκυρώθη, καὶ ἀνεζητεῖτο,[28] τίς ἄρα[29] καὶ εἴη ὁ τὸ κράτος τῆς βασιλείας ἀναδησόμενος, ὑποκριθῆναι κάλλος ἀλλότριον τὸ εἰδεχθέστατον

22 Par. προβούλευτος. 23 Par. ὦ παῖ. 24 Par. ἐστί. 25 Allat. et Par. ἕξει. Huet. ἕξῃ. 26 Par. παναιτίαν. 27 Horat. Epist. lib. I. ep. 3. 18. Huet. 28 Allat. ἀνεζητεῖτο. Par. ἀνεζ. 29 Allat. ἆρα. Par. ἄρα.

Digitized by Google

ζῶον καὶ ἀκαλλὲς καὶ φαυλότατον, ὁ κολοιὸς, ἐτεχνάσατο· καὶ συναγαγὼν ὀρνίθων πτερὰ, οἷς τὸ φαιδρὸν ἐπήνθει,[30] καὶ τὸ διαυγὲς ἐναπέστιλβε, περιεβάλλετο[31] ταῦτα, καὶ περικαλλὴς ἐντεῦθεν ἐδόκει, καὶ καταστράπτων τῇ ὡραιότητι· μέσον δὲ τῶν ὀρνίθων περιϊπτάμενος καὶ ταῖς ποικίλαις χροιαῖς καὶ λαμπραῖς κάλλος ἔχων ἀμήχανον εἰς θάμβος τοὺς θεωμένους ὄρνιθας
136 παρεκίνησεν, ὅθεν βασιλεὺς ἀνηγόρευται, καὶ πάντες τούτῳ κατεδουλώθησαν. Ὡς δὲ περιεργότερον τὰς ὄψεις
10 τούτῳ προσέβαλον, καὶ τὸ οἰκεῖον ἕκαστος ἀνεγνώρισεν,[32] τὸν κολοιὸν ἀπεγύμνωσαν, καὶ καταδρύψαντες τοῦτον τοῖς ὄνυξι διεσπάραξαν, καὶ ἐλεεινὸν πτῶμα κεῖσθαι τὸν πρὶν μακάριον παρεσκεύασαν. Τὸν αὐτὸν ἄρα τρόπον καὶ ὅσοι περιάπτοις κόσμοις ὑπεκρίθησαν τὸ ἐξαίρετον ἔχειν
15 καὶ τὸ μακάριον, τῆς σκηνῆς φωραθείσης μετὰ γέλωτος καὶ τὴν ψυχὴν αὐτὴν προσαπώλεσαν.

Cap. II.

Διηγήματα.

1. Τὸ κατὰ τὸν Ἀχιλλέα.

137 Ἀπόλεμον ἐποίει Πηλέα τὸ γῆρας, καὶ τὸν Ἀχιλλέα
20 νεότης ἀνθώπλιζεν,[1] καὶ ἡ Ἑλλὰς ἀφέντες τὸν πατέρα ἐπὶ συμμαχίαν ἐκάλουν τὸν παῖδα· ἀλλ' ἡ μήτηρ ἐδεδίει τὸ Ἴλιον, καὶ τὸ μήτηρ εἶναι τοῖς Ἀπόλλωνος βέλεσιν ἀποβαλεῖν ἐμαντεύετο· οὐκοῦν ἐπινοεῖταί τι σοφώτερον, καὶ τοὺς Ἕλληνας παρακρούεται, ἁρπάξει τῆς Φθίας
25 τὸν παῖδα, ἐξάγει τοῦ Πηλίου καὶ πρὸς τὸν Λυκομήδους παρθενῶνα μετάγει· συνήρατο[2] τῇ θεῷ τοῦ σοφίσματος καὶ τὸ τῆς μορφῆς τοῦ παιδὸς ἐπαφρόδιτον ὅλους ἀπα-

30 Allat. ἐπήνθη. Par. Huet. ἐπήνθει. 31 Par. περιεβάλετο. 32 Par. ἀνεγνώριζε. 1 Par. ἀνθώπλιζε. 2 Par. 2918, et 2720 (de quo dixi supra p. 264. not.) ξυνήρατο.

Digitized by Google

στράπτον ἔρωτας, καὶ καλαῖς κόραις ἁμιλλᾶσθαι δυνάμενον μεταλλάττει, καὶ τὸ τῆς στολῆς ἀνδρεῖον καὶ ὅσον 138
του κάλλους ἀῤῥενωποτερον εἰς ὥραν ἁπαλὴν μεθηρμόσατο. οὕτω τὸν μέγαν ἥρωα τοῦτον καὶ βραχὺς περικρύπτει θάλαμος. καὶ ὃν ἐσύστερον ὅλον πεδίον οὐκ ἐχώρει, τὸ μέγα τῆς Εὐρώπης καὶ Ἀσίας μεταίχμιον, ὁ τοῦ Λυκομήδους τηνικαῦτα παρθενὼν ὑποδέχεται. ἀλλ᾽ Ὀδυσσεὺς, καὶ πρὶν ἥκειν εἰς Τροίαν, τοῖς Ἕλλησι τὸ σοφὸν ὑπεδείξατο. καὶ δόλιος ὢν τοῦ θεοῦ τὸν δόλον οὐκ ἠγνόησεν, ὅπλα καὶ κερκίδας λαβὼν, περί που τὸν παρθενῶνα τίθησιν, ἑκατέρῳ γένει δέλεαρ ἐπιτεχνώμενος οὐκ ἀλλότριον, ἵνα καὶ ταῖς κερκίσί τὰς κόρας ὑπάγοιτο, καὶ τοῖς ὅπλοις τὸν ἄνδρα θηρεύσαιτο· ὁρᾷ τὴν Ὀδυσσέως 139
μηχανὴν Ἀχιλλεὺς, οὐ μὲν ὅ τι καὶ βούλεται ξυνορᾷ. ἅμα ἐπὶ τὴν πανοπλίαν ἀνέβλεψεν, καὶ τὴν ἐκεῖθεν ἐξαλλομένην ἀστραπὴν, καὶ ὅλως ὑπεκκαίεται τῷ πυρὶ τοῦ θυμοῦ· ἀναμιμνήσκεται τοῦ πολέμου, τοῦ παρθενῶνος ἐπιλανθάνεται, εἰς νοῦν λαμβάνει τὴν φύσιν, ἀναλαμβάνει τὸ ἀνδρεῖον, αἰσχύνεται τὴν παρθενικὴν στολήν, ἀποτίθεται τὸ δρᾶμα, καὶ τὴν σκηνήν. καὶ τὸ τῆς παρθένου προσωπεῖον ἀποδυσάμενος, ἁρπάζει τὰ ὅπλα, καὶ γίνεται θήραμα καλὸν Ὀδυσσεῖ, καὶ τὴν ἐπὶ τὸ Ἴλιον στέλλεται, μέγας μὲν τοῖς Ἕλλησι ξύμμαχος, δεινὸς δὲ τοῖς πολεμίοις ἀντίμαχος, οὕτω τὸν Πηλέως γυναικείαν φύσιν πλαττόμενον ἀπήλεγξεν Ὀδυσσεὺς, ὡς 140
ἐκεῖνον Παλαμήδης πρότερον μανίαν σχηματιζόμενον, καὶ τότε πρῶτον Ἕλληνες τῆς Ὀδυσσέως σοφίας ἀπώναντο, οὐχ ἧττον δὲ ἢ ὅτε τὸ παλλάδιον ἐκ μέσης Τροίας ἀφείλετο.

2. Τὸ κατὰ τὴν Μύῤῥαν.

Μύῤῥαν τὴν Θύαντος φύσις μὲν ἐχαρίτωσεν εἰς μορφὴν, ἔρως δὲ παρανομεῖν εἰς τὴν φύσιν ἠνάγκασεν· εἰ-

Digitized by Google

δεν ἐρωτικοῖς ὀφθαλμοῖς τὸν πατέρα καὶ τὸ κάλλος περιειργάσατο. καὶ τὸ μὲν δοκεῖν, ὡς πατέρα κατησπάζετο, τὸ δὲ ἀληθὲς, ὡς ἐρώμενον περιεπτύσσετο· οὕτως
141. ἐπὶ ψυχῆς ἐθαλαμηπόλει τὸν ἔρωτα. τὸ γὰρ εἰς φῶς ἀγαγεῖν οὐ μικρὸν ἠπείλει τὸν κίνδυνον· ὡς δ' οὐκέτι τὸ τῆς Ἀφροδίτης ἔστεγε πῦρ, τολμᾷ τι καὶ πρὸς ἐπιβουλὴν τῷ πατρὶ, καὶ μεθύουσα ἔρωτι, ξυνεῖδε μέθην ἄλλην ἐπίκουρον ἔρωτος, καὶ Διονυσιακοῦ πυρὸς ὅλους ἀναψαμένη κραιῆρας τὴν τοῦ Θύαντος ψυχὴν πυροπολεῖν μελετᾷ. ὑπεμπίπλαται μέθης. ἐντεῦθεν ὁ πατὴρ ἐραστὴς γίνεται, καὶ ὡς ἐρωμένην τὴν παῖδα προσίεται, οὐκ ἐλογίσατο τὴν φύσιν, οὐκ ἐσκέψατο τὸ κακόν. ἔρως γὰρ καὶ οἶνος αὐτοῦ τὸν νοῦν ὑπεκύμαινον, ἀνθρωπίνων ψυχῶν ἄμφω λῃσταί. ὁ μὲν ἡδὺς ὡς φίλος ἐπιῤῥύεις, λά-
142 θρα τὴν κεφαλὴν ὡς προδότης ὑπέσειεν. ὁ δὲ τὸν ὡς ἐν ἀκροπόλει τῇ κεφαλῇ φύλακα νοῦν, βαθὺν ὕπνον λήθης ἐκοίμιζεν. καὶ τὰς τῆς ψυχῆς πύλας ἀναπεπταμένας εὑρὼν κατὰ σωφροσύνης ἔστησε τρόπαιον. ἀλλ' ἐπανῆκεν εἰς νοῦν αὖθις ἡ κόρη, καὶ τὴν ἀφροδίσιον ἀποβαλοῦσα μέθην συλλογίζεται τὸ μέλλον. ἀναλογίζεται τοῦ πατρὸς τὸν θυμὸν, προσδοκᾷ τὰ ἔσχατα πείσεσθαι, καὶ πρινὴ τῆς μέθης ἀνανῆψαι τὸν Θύαντα, θεοῖς πεύχεται, μεταβαλέσθαι τὴν φύσιν. καὶ θεοὶ τὴν κόρην οἰκτείραντες εἰς φυτὸν μεταβάλλουσιν. ἀλλ' οὐκ εἰς κενὸν ὁ ἔρως ἐξέπεσεν, κἂν εἰς φυτὸν ἡ κόρη μετέπεσεν. ὥρας γὰρ ᾠδίνων ἠκούσης ἀναῤῥήγνυται μὲν ὁ φλοιὸς,
143 ἐξαστράπτει δέ τι χρῆμα κάλλους ἀμήχανον Ἄδωνις, καὶ τὰ τῆς Ἀφροδίτης ἐντεῦθεν ἄρχεται παιδικά.

3. *Διήγημα, ὃ καὶ Πλούταρχος* [1] *ἐν παραλλήλοις διηγεῖται.*

Ἀλλ' οὐδὲ γυναικὸς ἐπίνοια τοὺς πάλαι διέλαθεν,

1 Midae obiter meminit Plut. in Poplic. c. 15.

Digitized by Google

ἀλλ᾽ οἷς εἶχέ τι σοφὸν, εἰκότως θαυμάζουσιν, καὶ τὸ θῆλυ τοῦ γένους φθόνον οὐ ποιοῦνται τοῦ θαύματος. ἦν γάρ τίς ποτε βασιλεὺς τὴν κλῆσιν μὲν ἕτερος, τὴν δὲ ψυχὴν Μίδας, καὶ τὴν γνώμην φιλόχρυσος. πολλῶν μὲν ἦρχε πόλεων, ἀλλ᾽ οὐχὶ καὶ φιλοχρηματίας ἄρχειν ἠπί- στατο. ἀλλὰ τῶν μὲν ἄλλων ἐκράτει τῷ μεγέθει τῆς 144 τύχης, μόνῳ δὲ τῷ πρὸς χρυσὸν ἐδούλευεν ἔρωτι, καὶ τἆλλα σωφρονῶν, τοῦτο μόνον, ὡς οὐκ ἔδει, νοσῶν ἀπη- λέγχετο. πάντως χρυσὸς ἦν αὐτῷ τὰ ἐνύπνια. χρυσοῦ καὶ νήφων ἦρα, καὶ μὴ νήφων χρυσὸν νυκτὸς ἐφαντά- ζετο. ἐντεῦθεν τί μὲν οὐκ ἔδρα τῶν ὁπόσα τὸ χρῆμα τοῦτο ποριζουσιν; ποῖος δὲ τρόπος εἰς πορισμὸν οὐκ ἐπε- νοεῖτο τοῦ χρήματος. φόροι δύσφοροι τοῖς ὑπηκόοις ἐπε- φορτίζοντο. καὶ τὰ μὲν οἷς εἶχον ἐπέφερον, τὰ δὲ προς- ετίθουν ἐκ γῆς μεταλλεύοντες. τὰ μὲν τὴν περιουσίαν ἐξήντλουν, τὰ δὲ τὸ σῶμα κατέτρυχον, καὶ μυρίον εἶδος χρηματισμοῦ προσεπινοοῦντες οὐκ ἔλιγον, ἀλλ᾽ ἦν καὶ 145 ἡ πᾶσα σπουδὴ τοῦ κρατοῦντος ἀποπλῆσαι τὸν ἔρωτα. ὁ δὲ εἶχεν ἄρα μετὰ τοῦ φιλοχρύσου καὶ τὸ φιλόθηρον. καί ποτε καὶ πρὸς τὴν ὕλην ἔξεισε, καὶ τοὺς κύνας ἐπι- συρόμενος. ἐνταῦθα ὁ μὲν ἐλάφοις ἐπέτρεχεν, καὶ λα- γωοῖς ἐφιππάζετο, καὶ τὸ κυνηγετικὸν ἐπεθώϋξεν. ἡ δὲ βασιλὶς ἑτέραν εἶχε σπουδὴν, ὅπως ὑφέλῃ τῆς ἐς τὸ χρηματίσασθαι πανταχόθεν ὁρμῆς, καί πως ἐπιὸν οὕτω κατὰ δαίμονα εἰς νοῦν λαμβάνει καὶ μάλα σοφῶς τι ἐν- θύμιον, ὡς εἰ μηδὲν εἰς τὸ ζῆν ἐκεῖνος γνοίη τὸν φί- λον χρυσὸν συμβαλλόμενον, τοῦ πάθους ἂν πάντως ἀπό- σχοιτο. τὸ δὲ ἦν, ὡς ἔξει μὲν αὐτὸς μετὰ κόρον τῆς 146 θήρας καὶ τὴν γαστέρα κορέσων· εὑρήσει δὲ τὸ δεῖπνον ἅπαν χρυσὸν, καὶ μικρόν τι λιμώξας ἐντεῦθεν τὸ τοῦ χρυσοῦ περιττὸν καταγνώσεται. ἐδόκει δὴ ταῦτα, καὶ τὸ δοκοῦν αὐτίκα ἐπράττετο· χρυσὸς μὲν ἦν μυρίοις τοῖς χρυσοχόοις ἐπὶ μέρος ἀναμετρούμενος. χεῖρες δὲ πολλαὶ

Digitized by Google

διετεχνῶντο τὸ καινὸν ἐκεῖνο καὶ χρυσοῦν ἄριστον. ἦν ἐκεῖσε καὶ χρυσήλατος τράπεζα, καὶ κρατῆρες, καὶ οἰνοχόαι, καὶ τὰ πάντα χρύσεα. καὶ ἦν ὁρᾶν ὅλον τὸ δεῖπνον χρυσὸν ἐπὶ χρυσῷ κείμενον· χρυσὸς μὲν ἦν ἡ τράπεζα, χρυσῷ δὲ καὶ τὰ κανᾶ διεσκεύαστο. ἐπὶ δὲ χρυ-
147 σοῖς τούτοις χρυσᾶ καὶ τὰ ὄψα ἐτίθεντο. πέρδικες ἐκ χρυσοῦ τοὺς ἀπὸ τῆς ὕλης μιμούμενοι. λαγωοὶ, ὄρνεις, καὶ πάντα ὡς ἀπὸ χρυσοῦ διελάμπετο, εἰχέ τι καὶ τοῖς ἐκ πυρὸς ὀπτωμένοις παρόμοιον. οἷς τὸ τοῦ χρυσοῦ ἄνθος εἰς τὸ πυρωπότερον δίκην ἀνθράκων ἐπέχρωζεν. ἐπεὶ δὲ καιρὸς ἦν, ὡς εἰς ἄριστον ἦκεν ὁ βασιλεὺς πολλοὺς τοὺς ἐκ τῆς Θήρας ἀποστάζων ἱδρῶτας, καὶ δὴ παρῆσαν οἱ θεράποντες χρυσῆν κομίζοντες τράπεζαν, καὶ ὁπόσα ὡς ἐπὶ τῆς τοιαύτης τραπέζης ἤμελλον κείσεσθαι. ὅ δὲ τῶν μὲν ὑπερεώρα, ἕτερα δὲ τὰ πρὸς τροφὴν ἐζητεῖτο. τί οὖν ἦν ἡ βασιλὶς ἅμα, καὶ ξύνοικος; ἔσθιέ, φησιν, ἀπὸ χρυσοῦ
148 βασιλεῦ, ἐπειδή σοι καὶ χρυσὸς τὸ φιλουμενον, χρυσὸς ἅπαν ἐστί σοι τὸ σπουδαζόμενον. ἀπὸ χρυσοῦ τοιγαροῦν καὶ κορέννυσο, ἵνα σοι καὶ ὑπὸ γαστέρα χρυσὸς θησαυρίζοντο, καί σοι καὶ τὸ σῶμα εἴη ὅλον ἐπίχρυσον. εἰ δ' οὐδὲν ὁ χρυσος εἰς τὸ σῶμά σου χρησιμον, ἀλλὰ θᾶττον ἀπὸ μόνου χρυσοῦ τις λιμώξεται, ἐς τί ἄρα σοι τὸ πολὺ τῆς σπουδῆς καταβάλλεται. ἤκουσε ταῦτα ὁ βασιλεύς, καὶ τὸ τῆς γυναικὸς σοφὸν μετὰ τοῦ δικαίου προσαιδεσθεὶς ἀνῆκε ταῖς πόλεσι μὲν τὸ πολὺ τοῦ φόρου, ἑαυτῷ δὲ τὸ ἐσάγαν χρυσομανές.

4. Τὸ κατὰ τὸν Ὀδυσσέα.

Εἶχεν Ἑλένην ἡ Τροία καὶ ἡ Ἑλλὰς ἐκεκίνητο, καὶ
149 Ὀδυσσεὺς εἰς ξυμμαχίαν καλούμενος μανίαν ἐπλάττετο καί ποτε δεῆσαν οὕτως ἱππάσασθαι, βοῦν ἵππῳ συπονεῖν ἐβιάζετο, καὶ πρὸς ἕνα ξυνῆγε ζυγὸν, ἃ μήτε φύσις συνῆψε, καὶ τέχνη διέστησε. καὶ δειλὸς εἶναι λα-

θεῖν

θεῖν πειρώμενος εἰς μανίαν ἐξέπιπτεν, ἀκουσίῳ δῆθεν κακῷ κακίαν ἐπικρύπτων αὐθαίρετον. ὁρᾷ τὸ πλάσμα ὁ Παλαμήδης, εἰς νοῦν βάλλεται τὸ μηχάνημα, καὶ γνοὺς ὅ τι καὶ βούλεται τὰ τοῦ δράματος, ἀντιμηχανᾶται σοφώτερον. ἁρπάζει τὸν παῖδα Τηλέμαχον, εἰς μέσον ἄγει τῆς ἱππηλατίας, καὶ δοκιμάζει τὸν πατέρα ἐλαύνοντα, ὡς ἐν τῷ παιδὶ πάντως ἐπαφήσει τὸ ἅρμα, οὐκ ἔστιν Ὀδυσσεὺς ἐκεῖνος καὶ μέμηνεν. εἰ δὲ γνωρίσει τὴν φύσιν, καὶ φείσεται τοῦ παιδὸς, ἐστὶν ἄρα Ὀδυσσεὺς ἐκεῖνος ὁ δόλιος, καὶ τὸν εἰς Τροίαν ἀπόπλουν ὀκνεῖ, καὶ παραπαίειν ἐσχηματίσατο, καὶ δὴ ξύμμαχον ἐπαγόμενος τὸ φιλότεκνον, ἀναῤῥιπίζει τὸ τῆς φύσεως πῦρ, ὑπεκκαίει τὰ σπλάγχνα, πολιορκεῖ τὴν ψυχὴν, καὶ τὸν νοῦν αὐτόμολον ὡς ἀπὸ τείχους ἐξάγει τοῦ πλάσματος. οὕτω Παλαμήδης Ὀδυσσέα κατεστρατήγησεν. οὕτω σοφῶς ἀργυρογνωμονήσας τὸν νοῦν ἐθηράσατο, καὶ καθαρὰν εἶναι μαθὼν ὡς ὑπὸ γνώμονι τῷ καιρῷ τούτῳ πυρὶ τοῖς λοιποῖς ἀρίστοις τῆς Ἑλλάδος ἐγκρίνει· οὐ γὰρ ἤνεγκε τὸ θέαμα Ὀδυσσεὺς, ἀλλ᾽ ὤκτειρε τὸν παῖδα, καὶ τὸν ἔλεγχον οὐ διέδρα, τὸ πατὴρ εἶναί τῶν ἐπὶ Τροίας πόνων ἀνταλλαξάμενος· καὶ ξυνεμάχει τοῖς Ἕλλησι τοῦ λοιποῦ, καὶ ψυχῇ πολυμηχάνῳ τοῖς Τρωσὶν ἐπεβούλευε, καὶ κατὰ Παλαμήδους ἤσκει τὸ δόλιον. 150 151

5. Τὸ κατὰ τὸν Δαίδαλον.

Δαίδαλον σοφία μὲν καὶ τέχνη περιεσώσατο. Μίνως δὲ, καὶ τοῦ παθεῖν ἐλπὶς καὶ τῆς πατρίδος ἀπήλασαν. οἷς ἔρωτος ἄθεσμον ἐσοφίσατο ξύμπνοιαν. καὶ σοφὸς ὢν ἐρωτικὴν ἀποσβέσαι πυρὰν, βασιλέως θυμὸν ὑπανάψας ἠγνόησεν· ἐπεὶ γὰρ Πασιφάη μὲν ἦρα παράνομα, καὶ Δαίδαλος δὲ τὸν ἐπὶ ταύρῳ Πασιφάης οἶστρον ἐπλήρωσε, πληροῦται Μίνως θυμοῦ, καὶ τῆς ἀνοίας μυσάττεται Δαίδαλον. ὑφορᾶται τὴν δίκην ἐπὶ τούτοις ὁ 152

Δαίδαλος, καὶ τρόπον φυγῆς ἐπινοεῖται παράδοξον. ὅλας ἀετῶν ἐπεσώρευσε πτέρυγας, καὶ κηρῷ τὰ πτίλα συνδήσας ταῖς χερσὶν ἐναρμόζεται. οὕτω καὶ τὸν παῖδα πτερωσάμενος Ἴκαρον τῆς Κρήτης ἀφίπταται. ἀλλὰ καὶ τῷ παιδὶ τὸν Μίνω ξυναποδρὰς οὐχὶ καὶ τὴν δίκην ἀπέδρασεν, ἀλλ᾽ οἷς τὸν ἀπὸ γῆς ὑπερίπτατο πόλεμον, ἄλλον τρόπον οὐρανόθεν αὖθις ἐβάλλετο. καὶ Μίνως μὲν οὐκ εἶχεν ὅπως ἀμύναιτο Δαίδαλον. Ἥλιος δὲ τοῖς πτεροῖς ἐπεβούλευε, καὶ ταῖς ἀκτῖσιν ὑπολυσάμενος τὸν κηρὸν, κατὰ πελάγους ἤφιει τὸν Ἴκαρον. καὶ δικαίως ἄρα Δαίδαλον εἰς παῖδα ἐζημίωσεν ἥλιος, οἷς ταύρῳ
153 τὴν Ἡλίου παῖδα Πασιφάην ἐζεύξατο. ἐντεῦθεν καὶ Δαίδαλος μὴ πάντη τέχνῃ θαῤῥεῖν ἐδιδάσκετο, καὶ Δαιδάλου παῖς Ἴκαρος μὴ πάνυ τι πιστεύειν Ἡλίῳ κηρὸν ἐπαμδεύετο.

6. Τὸ κατὰ Πασιφάην.

Ἔρως καὶ Πασιφάην εἰς ταῦρον οἰστρηλατεῖ, καὶ τὸν πόθον ἦν ἀγαγεῖν ἐς πέρας ἀμήχανον. ἄνθρωπος ἦρα βοὸς, καὶ γυναικὸς ἦν ταῦρος ἐρώμενος. ἔρως ἁπανταχόθεν ἀνόμοιος. ἡ μὲν ἴσως που μαλακὴν ἠφίει φωνήν. ὁ δὲ οὐδὲν ἐπαΐων, ὡς ταῦρος ὢν ἐμυκήσατο. λόγον ἀλογίᾳ ξυντρέχειν τὸ πάθος ἠνάγκαζεν καὶ γυναικὸς ὄψον
154 βοείᾳ μορφῇ συγκεράννυσθαι, καὶ ταύρῳ τὴν ἄνθρωπον ὑποζεύγνυσθαι, οὐκ εἶχε πείθειν οἷς θέλγουσιν ἄνθρωποι. ἂν ἐπαγωγόν τι προσεῖπεν, ὁ μὲν οὐκ ἠσθάνετο. ἂν ἐρωτικὸν ἐμειδίασεν, οὐ φιλομειδὴς ὁ ταῦρος ἐδείκνυτο. ἂν δῶρα πρὸς Ἀφροδίτην προὔτεινεν, ἄδωρον τὴν Ἀφροδίτην ἡ φύσις τὸν ταῦρον ἐδίδαξεν. ἔρως ἐντεῦθεν τῇ κόρῃ συνηγωνίζετο, καὶ φύσις αὖθις ἐκεῖθεν ἀντέκρουε. παρεῖχεν ἔρως, ἃ μὴ φύσις ἐβούλετο, καὶ φύσις ἐπεῖχεν, ἃ παρέχειν ἔρως παρεβιάζετο. συνῆγεν ἔρως, ἃ φύσις μακροῖς ὅροις διέστησε, καὶ ἡ φύσις οὐκ ἐδίδου

τα μὴ πεφυκότα συνάπτεσθαι. ἔσαινε τὴν Πασιφάην τὸ 155
κάλλος, ἀλλ' ἐλίπει τὸ τοῦ ἔρωτος ἔκφυλον. ὡς ἐπαφρόδιτον ἐρᾷν ἐγλίχετο καὶ ὡς θῆρα θυμικὸν ὑπεβλέπετο. ἠΰχετο καὶ βοῦς εἶναι δοκεῖν, ὡς ἂν τὸν ταῦρον ὑπέλθῃ τῷ σχήματι, ἀλλὰ θεοὶ μὲν οὐκ ἐπένευσαν, Δαίδαλος δὲ 5
τοῦτο χαρίζεται, καὶ γίνεται σοφώτερος ἔρωτος, φιλανθρωπότερος φύσεως. χαλκὸν εἰς βοῦν σχηματίζει, καὶ μιμεῖται τοῦ ταύρου τὴν θήλειαν, καὶ τὴν βοῦν ἔνδον ὑπογλυψάμενος ὑποβάλλει τὴν ἄνθρωπον. ἐφέλκεται τὸν ταῦρον ἡ τέχνη, καὶ δελεάζει αὐτὸν τὸ πρὸς τὸν βοῦν 10
ἐμφερὲς τοῦ χαλκοῦ, καὶ μυκησάμενος ἔρωτα τῆς Πασιφάης τὸν πόθον ἐπλήρωσε, καὶ τεραστίου γάμου τέρας ἀπογεννᾶται Μινώταυρος.

7. Τὸ κατὰ τὸν Ἴκαρον.

Ἐνόσει Πασιφάη παράλογον ἔρωτα, καὶ πανοστάδα πα- 156
ραλογωτέραν ἐπήξατο Δαίδαλος. ἐπὶ τούτοις ὀργίζεται 15
Μίνως, καὶ σπεύδει τὸν Πασιφάης καὶ ταύρου νυμφοστόλον αἰρεῖν, ἀλλ' ἦν ἄρα ἐκεῖνος καὶ πῦρ ἀφροδίσιον ἀποσβέσαι σοφὸς, καὶ βασιλέως ἀναφθέντα θυμὸν ἀποδράσαι σοφώτερος. οὐ γὰρ οὐκ εὐπόρει μηχανῆς καὶ πάλιν ὁ Δαίδαλος. ἀλλὰ κἀνταῦθα τέχνη τὴν φύσιν ὑπερεβάλλετο, καὶ ἃ φύσις οὐκ ἴσχυσε, Δαίδαλος ἐτεχνάσατο. καὶ τὴν φύσιν ἄνθρωπος ὢν, τὸν ὄρνιν ἐμηχανήσατο. ἐπτέρωσε τῇ σοφίᾳ καὶ τὸν παῖδα Ἴκαρον, ἵν' ὡς ἐκ 157
μιᾶς μηχανῆς καὶ τὸ πατὴρ εἶναι μὴ ζημιωθῇ, καὶ τὸ 25
περιεῖναι κερδάνῃ. φιλόστοργον γὰρ ὁ πατὴρ, καὶ τὸ παράπαν ἀπολιπέσθαι τοῦ παιδὸς οὐκ ἀνέχεται. ἵπταντο μὲν οὖν ἄμφω, καὶ τὸν Μίνω συναπεδίδρασκον. ἀλλ' ὁ μὲν ἅ τε σοφὸς, καὶ τὴν μηχανὴν εἰδὼς ἐφ' ὅσον ἂν καὶ πτερύξαιτο, σύμμετρον τῷ σοφίσματι ποιεῖται 30
τὴν πτῆσιν. ὁ δὲ ὑπὲρ τὰ πτίλα, καὶ τὸν κηρὸν, καὶ

Digitized by Google

τὴν τέχνην πτερύσσεται. καὶ περιφρονεῖ μὲν τὸν ἥλιον πιστεύει δὲ ταῖς ἀκτῖσι τὸν κηρὸν καὶ τρυφᾷν ἐθέλει μᾶλλον, ἢ πρὸς ἀσφάλειαν ἵπτασθαι. τοιοῦτον γάρ τι
158 χρῆμα νεότης, πρὸς ἡδονὰς ἀλόγιστα φέρεται, καὶ τῆς
ε χρείας ἐκφέρεται. οὐ φέρει περιρρονούμενος ἥλιος. ἐπιβάλλει τῷ κηρῷ τὰς ἀκτῖνας. ἀπελέγχει τὸν σοφιστήν. λύει τὸ σόφισμα, καὶ ῥίπτει κατὰ πελάγους τὸν Ἴκαρον, καὶ τοῦτο μιμεῖται Δαίδαλον ἥλιος. ἐκ τῆς ἡλίου παιδὸς Πασιφάης Μινώταυρον ἐκαινοτόμησε Δαίδαλος, καὶ
10 ἥλιος ἐξ Ἰκάρου τοῦ Δαιδάλου παιδὸς Ἰκάριον πέλαγος ἀνθρώποις ἐγνώρισεν.

8. Ἅλωσις τῆς Τροίας.

Ὁ τὴν ἅλωσιν τῆς Τροίας ἐπιζητῶν, ὅθεν γέγονεν, ἀνιστορείτω μοι τῆς Ἑλένης τὴν ἁρπαγήν. διὰ ταύτην
15 γὰρ τῶν ὅπλων παρασκευαὶ, στρατευμάτων συναγωγαὶ, νηῶν σύμπηξις, ἀχανοῦς πελάγους διαπεραίωσις, ἐν ἀλλο-
159 δαπῇ στρατοπέδευσις, ἐν βαρβαρικῇ κατασκήνωσις, τάφρων ὀρυγαὶ, σκολόπων παρορυγαὶ, ἐχθρῶν προσβολαὶ, ἑκατέρων μερῶν ἐξορμαὶ, ἀγωνιζομένων σφαγαὶ, αἱμά-
20 των πηγαὶ, δακρύων ῥοαὶ, λειψάνων ταφαὶ, καταδρομαὶ πόλεων, χρημάτων ἁρπαγαὶ, δεσμωτῶν οἰμωγαί. ὡς δὲ τὸ φρούριον ἀπόρθητον ἦν, ἐπλάσαντο τὴν διάζευξιν, καὶ Χερρόνησος εἶχε τοὺς Ἕλληνας. τεχνασάμενοι δ' ἵππον, ὑπογαστρίους ὁπλοφόρους ἄνδρας καὶ χαλκά-
25 σπιδας φέροντα, ἔδοξαν τοῦτον καταλιπεῖν, ὡς τῆς φάτνης ἀποσκιρτήσαντα. ἄρτι δὲ τοῦ ἡλίου ὑπὲρ γῆν ἀνακύψαντος, τὸν ἵππον ἰδόντες οἱ Τρῶες, ὡς μὲν εὐμεγέθη, ὡς δὲ περικαλλῆ τε καὶ πίονα, φριμασσόμενον,
160 χρεμετίζοντα, τῷ πόδε πρὸς ὕψος ἐπαίροντα, καὶ περι-
30 κυρτοῦντα πάλιν ὥσπερ ἐξ ἁρμογῆς, γαῦρον, καὶ ἀτιθάσσευτον τῶν τῆς πόλεως περιβόλων ἔνδον εἰσήγαγον· περὶ δὲ νύκτα μέσην οἱ ἐνεδρεύοντες ἐξορμήσαντες κατέ-

σχον τὴν πόλιν, καὶ τοὺς μὲν ἀνεῖλον, τοῖς δὲ δεσμοὺς περιέθεντο, καὶ πυρικαύστους τὰς οἰκίας εἰργάσαντο.

9. Τὸ κατὰ τὸν Θάμυριν.

Θάμυρις καλὸς μὲν ἦν καὶ τὴν ὄψιν, σοφὸς δὲ καὶ τὰ μουσικά. κάλλος μὲν οὖν εἶχε, καὶ πρὸς λύραν ᾄδειν ἠπίστατο, σωφρονεῖν δὲ ἄρα πρὸς θεοὺς οὐκ ἐγίνωσκεν. ᾠδούσας βλέπει τὰς Μούσας, καὶ τὸ 161 εὔμουσον εἰς ἀσέβειαν προσβάλλεται καὶ ὕβριν Μουσῶν. προκαλεῖται καὶ πρὸς ἀγῶνα τὰς θεάς. καὶ, ὦ Μοῦσαι, φησὶ, οὐκ ἄρα Διὸς θυγατέρες ὑμεῖς, οὐδὲ τὴν μουσικὴν Ἀπόλλων ὑμᾶς ἐδιδάξατο, ὅτι μηδὲν μελιχρὸν ὑπηχεῖτε τοῖς ᾄσμασιν. ὡς ἔτι ἔγωγε θνητὸς μέν εἰμι, νικῶ δὲ καὶ τὰς Μούσας ὑμᾶς, καὶ οὔτε μοι Ζεὺς πατὴρ, οὐδὲ μουσικῆς Ἀπόλλων διδάσκαλος. καὶ εἰ βούλεσθε, ἀγωνιζώμεθα. μόνον ἆθλον ἔστω μοι τῆς νίκης τὸ βούλημα. ἔστω καὶ ὑμῖν ἆθλον, ὅ τι καὶ βούλεσθε, καὶ νικῶσαι μὴ φείδεσθε τοῦ Θαμύριδος. ἀλγοῦσιν ἐπὶ τούτοις αἱ Μοῦσαι, καὶ τὴν πρόκλησιν δέχονται καὶ λοιπὸν περὶ μουσικῆς ἔρις ἦν Μουσῶν καὶ Θαμύριδος. μεταχειρίζεται τὴν κιθάραν ὁ Θάμυρις. καὶ μέλος 162 ᾄδει τερπνὸν μέν, καὶ οἷον ᾄδουσιν ἄνθρωποι. παύεται τῆς ἀγωνίας. καὶ τὴν νικῶσαν ἤδη θαρρεῖ. καὶ τὸ ἐντεῦθεν ὁ λοιπὸς ἀγὼν ἦν τῶν Μουσῶν. αἱ δὲ ᾄδουσιν, οἷον νικῆσαι μὲν Θάμυριν, ἐμφῆναι δὲ, ὡς μουσικῆς αὐταῖς Ἀπόλλων διδάσκαλος· κἀντεῦθεν ἐδυστύχησε Θάμυρις καὶ μουσικῆς ἀποβολὴν καὶ στέρησιν ὄψεως.

10. Τὸ κατὰ τὴν Δανάην.

Οὐδὲν ἄρα πατρὸς προμηθέστερον. ἀλλ' οὐδ' εἰς ἐπιβουλὴν σοφώτερον ἔρωτος. ἤθελε τὴν παῖδα Δανάην παρθενεύειν Ἀκρίσιος. καὶ μέγαν οὕτω λειμῶνα [1] κάλλους 163 ὁρῶν, ἐδεδίει τοὺς λάθρα τὸ τῆς παρθενίας ἄνθος ἀπο-

1 Allat. λιμῶνα. cfr. p. 440. εὐανθὴς ἦν τὸν τοῦ προσώπου λειμῶνα.

Digitized by Google

συλήσοντας. καὶ δὴ πρὸς φυλακὴν ἐπινοεῖται θριγγίον ἄλλο καινότερον, θάλαμον χάλκεον, ἀτειρές τι χρῆμα, τεῖχος ἀνάλωτον, ἀνδράσιν ἄβατον, ἀνεπιβούλευτον ἔρωτι. ἀλλ᾽ ὁρᾷ καὶ κρυπτομένην τὴν κόρην ὁ πάντα ἐφορῶν Ζεύς. καὶ δεινὸν ἡγεῖται τοσοῦτον κάλλος ἐγκατορώρυγμένον[1] τῷ χαλκῷ λανθάνειν, ὡς θησαυρὸν ὑπὸ γῆν, ὡς ἐν νυκτὶ σελήνην, ὡς ἐν κάλυκι ῥόδον, ὡς ἐν κόχλῳ πορφύραν, ὡς ἐν ὀστρέῳ μάργαρον· δίεισιν οὖν ἐπὶ τού-
164 τοις τὸν θάλαμον, καὶ περισκοπεῖται τὸν ὄροφον, καὶ χαλκὸν ἔχων πολέμιον, εἰς χρυσὸν μετασχηματίζεται. ἵν᾽ εἴη καὶ χαλκοῦ κρείττων χρυσὸς, καὶ θεὸς ἀνθρώπου σοφώτερος. καὶ χρυσῇ τὸ κάλλος παρθένῳ χρυσὸς ἐραστὴς γένοιτο. ἐγκολπίζεται τὸν θεὸν ὡς χρυσὸν ἡ παρθένος ἐξ ὀρόφου ῥυέντα. καὶ τὸ ἐντεῦθεν δρέπεται μὲν τῆς ὥρας εἰς κόρον ὁ Ζεύς. καὶ Λανάη δὲ δῶρον τοῦ χρυσοῦ, καὶ τοῦ γάμου Περσέα κομίζεται.

11. Τὸ καθ᾽ Ἡρακλέα.

Καὶ πρὸς ὕδραν ἀγωνιούμενος Ἡρακλῆς ὑπ᾽ Εὐρυσθέως ἐστέλλετο. ὁ δὲ ἅμα τε ἦκεν ἐπὶ τὴν θρεψαμένην τὸ θηρίον τοῦτο πηγὴν, καὶ τὸ ξίφος ἐκβαλὼν ἔργου
165 εἴχετο. ἀλλ᾽ ἦν ἀνίκητον τὸ κακὸν, καὶ ὁ ἆθλος ἀτέλεστος. ἡ μὲν τῶν κεφαλῶν ἐξετέμνετο. ἡ δ᾽ ἀνεφύετο. ἡ μὲν ὑπὸ τοῦ ξίφους ἔπιπτεν. ἡ δ᾽ ὑπὸ τῆς τομῆς ἀνεδίδοτο. ἔμενε τὸ θηρίον καὶ πρὸ τῆς τομῆς, καὶ μετὰ τὴν τομὴν πολυκέφαλον. μίαν ἀφῃρεῖτο κεφαλὴν, καὶ πλείους ἐλάμβανε, καὶ μιᾶς κεφαλῆς ἐκτομὴ πολλῶν ἐγένετο γένεσις. ὁ μὲν ἐξεθέριζε τὸ φυόμενον, αἱ δ᾽ οὐκ ἔληγον ἐκτεμνόμεναι. ὅλον κεφαλῶν ἀνεφύετο λήϊον, τοσούτῳ δὲ μᾶλλον εἰς τομὴν ἀπορώτερον, ὅσῳ μᾶλλον ἐτέμνετο. ἐπὶ τούτοις διαπορεῖται μὲν Ἡρακλῆς, προσκαλεῖται δὲ σύμμαχον ἑαυτῷ τὸν Ἰόλεων, τῷ δὲ ξίφει τὸ πῦρ. καὶ

1 Allat. ἐγκατωρωρυγμένον.

Digitized by Google

ὁ μὲν τὸ ξίφος ἐπέβαλλεν. ὁ δὲ ἐπετίθει τὸ πῦρ, οὔτε 166
τὸ ξίφος εἴα μένειν τῶν κεφαλῶν τὸ φαινόμενον, οὐθ' ὁ καυτὴρ ἀναδίδοσθαι τὸ φυόμενον. καὶ τὸ ἐντεῦθεν ὁ ἆθλος ἠνύετο.

12. Τὸ κατὰ τὴν Πλάτανον.

Ἡ Πλάτανος καλὴ μὲν ἦν, ὡς κόρη, μεγάλη δὲ, ὡς Ἀλωέως θυγάτηρ, καὶ τὸ μέγεθος τῶν ἀδελφῶν οὐκ ἐλείπετο. ἐπὶ δ' ἐκείνους κεραυνῷ βαλὼν ὁ Ζεὺς ἔπαυσε κατὰ τῶν θεῶν μαινομένους, οὐ φέρει τὴν συμφορὰν ἡ κόρη, καὶ τὴν φύσιν εἰς φυτὸν ἠλλάξατο. ἀλλ' ἔτι καὶ 10
τὸ κάλλος περισώζει, καὶ τὸ μέγεθος οὐκ ἀφῄρηται. τοῦτο τὸ φυτὸν καὶ ὁ Ξέρξης ποτὲ τῆς εὐφυΐας ἠγάσθη, 167
καὶ τὸ θαῦμα ἐκεῖνος ἐδήλου, χρυσῆν φιλοτεχνήσας πλάτανον.

13. Τὸ κατὰ τοὺς Ἀλωάδας.

Ὧτον καὶ Ἐφιάλτην Ἀλωεὺς παῖδας ηὐτύχησε, τὴν ἰσχὺν ὑπερφυεῖς, τὴν ἡλικίαν ὑπερνεφεῖς. ἀλλ' ἐκεῖνοι καὶ μείζω τῆς φύσεως φρονεῖν οὐκ ἠσχύνοντο. μικρὸν ἡγοῦντο κρατεῖν ἀνθρώπων, καὶ τηλικούτων σωμάτων ἀνάξιον. ἐπὶ τοὺς θεοὺς τὴν τόλμαν μετάγουσιν. ἐπὶ 20
τὸν οὐρανὸν ἀποχρῶνται τῇ ῥώμῃ καὶ τῷ μεγέθει. ἤδη κινοῦσι τὰ ἀκίνητα. ὅλα ὄρη ὄρεσιν ἐπεγείρουσιν, καὶ
τὴν εἰς θεοὺς πολιορκίαν ἐπισκευάζονται. ἀλλὰ κινεῖ 168
τοὺς πρηστῆρας ὁ Ζεύς. καὶ θνητὴν λάχοντες φύσιν, μηκέτι κατεπαίρεσθαι τῶν θεῶν ἐπαιδεύοντο. ζηλοῖ τὸν 25
ἀδελφὸν Δία καὶ Πλούτων, καὶ γενομένους ἐν Ἅιδου κολάζει. μεγάλους γύπας μεγάλοις σώμασιν ἐπιστήσας, οἳ καὶ τὰ τούτων σπλάγχνα πλέον τοῖς ῥάμφεσιν ὑπορύττουσιν, ἤπερ ἐκεῖνοι πάλαι τὴν Ὄσσαν. τοσοῦτον Ἀλωεῖδαι σωμάτων ἀλόγου μεγέθους ἀπώναντο, ὅσον ἐπὶ γῆς 30
μὲν πολλῆς γενέσθαι σποδὸς, ὑπὸ γῆν δὲ μεγάλη τράπεζα κεῖσθαι τοῖς τοῦ Πλούτωνος δαιτυμόσιν.

Digitized by Google

14. Τὸ κατὰ τὸν Νάρκισσον.

169 Νάρκισσος, ὁ νῦν διαπρέπων ἐν ἄνθεσιν, ἐν μειρακίοις πάλαι διέλαμπεν. εὐανθὴς ἦν τὸν τοῦ προσώπου λειμῶνα, καλὸς τὴν μορφὴν, ἄμαχος τὴν θέαν, τὸ κάλλος ἀνίκητος. ἐφείλκετο καὶ τοὺς τῶν ἄλλων ὀφθαλμούς. ἀλλ' εἶχεν αὐτὸς ἕτερον ἔρωτα, κύνας ἐπισύρεσθαι, καὶ πρὸς θῆρας ἱππάζεσθαι, καί ποτε πολλοὺς τοὺς ἐκ τῆς θήρας ἀποστάζων ἱδρῶτας περιΐσταταί τινα πηγὴν, διαφανῆ μὲν ἰδεῖν, ποτιμωτάτην δὲ πιεῖν, ἡ δὲ τὴν μὲν τῆς 10 δίψης φλόγα μαραίνει τῷ μειρακίῳ, ἕτερον δὲ πῦρ ἀνάπτει τὸν ἔρωτα. καὶ διψῶντα μὲν ὕδατος παύει, κάλλους δὲ διψᾷν αὖθις βιάζεται. γίνεται τῆς ἄρας κάτοπτρον. ὡς ἐν πίνακι τῷ ῥεύματι γράφει τὸν Νάρκισσον. 170 καὶ τοῖς αὐτοῦ κάλλεσι βάλλεται Νάρκισσος. καὶ ὃ πολ- 15 λοὺς πρότερον ἔδρασε, τοῦτο τηνικαῦτα παθὼν αὐτὸς ἔλαθε. Νάρκισσος ἐκ πηγῆς τὸ κάλλος ἀνέβλυζε, καὶ Νάρκισσος διψῶν οὐκ ἐμπίπλαται. Νάρκισσος ὑπερίσταται τῶν ναμάτων, καὶ Νάρκισσος ἕτερος ὑπὸ τὴν πηγὴν διεφαίνετο· ἐμειδία Νάρκισσος ἄνωθεν, καὶ κάτωθεν 20 αὖθις ἀντεμειδία τὸ κάλλος. ταῦτα ἦν ἀμφοῖν πάντα ὡς ἐν κατόπτρῳ διαφανεῖ τῇ πηγῇ. ἀλλ' εἶχέ τι καὶ θαύματος, οἷς διήλλαττε τὸ φαινόμενον. ὀφθαλμοὶ πρὸς τὴν ὄψιν ἐπεπήγεσαν, καὶ τὸ κάλλος ἐναπέστηκε τῇ πηγῇ· ἡ τῶν ὑδάτων φύσις θᾶσσον ἀπέρρει, καὶ τὸ ῥεῦ- 25 σαν ἐκ τῶν ὀφθαλμῶν ἐν οὐκ εἰδόσι μένειν ἐπεπήγει τοῖς ὕδασιν. ἐντεῦθεν ὁ ἔρως θερμότερον ἐπέζεσεν τῷ Ναρκίσ- 171 σῳ. ὁ δὲ μὴ φέρων τὸ πῦρ ἐπαφῆκεν ἑαυτὸν τοῖς ῥεύμασιν, ὡς ἂν καὶ τὸν δοκοῦντα περιπτύξαιτο Νάρκισσον, καὶ τὴν ἔρωτος πυρκαϊὰν ἀποσβέσειεν. ἀλλ' ἡ τῶν ὑδά- 30 των φύσις αὐτῷ κάλλει τὸν ἔρωτα ξυναπέσβεσε, τῷ ζῶντι Ναρκίσσῳ καὶ τὸν δοκοῦντα συναποκρύψασα. οὐ μιμεῖται τὴν πηγὴν ἡ γῆ, ἀλλ' οἰκτείρει τὴν συμφοράν, καὶ σοφίζεται τὴν μνήμην τοῦ πάθους, καὶ τοῦ καλοῦ

Digitized by Google

μειρακίου καλὸν ἄνθος ἀντιχαρίζεται Ναρκίσσῳ καὶ ἔρωτι. οὕτω καὶ μετὰ τελευτὴν περίεστι Νάρκισσος, καὶ αὖθις οὐδὲν ἧττον ἢ πρότερον εἰς κάλλος ἀνθεῖ.

15. Τὸ κατὰ τὸν Πολύδωρον. 172

Δέος εἶχε ποτὲ καὶ τὴν Τροίαν πεσεῖν, καὶ Πρίαμος τὴν ἅλωσιν ἐμαντεύετο, καὶ τὴν συμφορὰν ἐπιγνοὺς προνοεῖται τοῦ γένους, προμυθεῖται τῆς πόλεως σωτηρίαν παιδὸς, καὶ χρυσοῦ φυλακὴν, καὶ φιλίαν Θρᾳκὸς πρὸς τὴν τύχην ὥσπερ ἀντισοφίζεται. ὁρᾷ τὸν τῶν παίδων χορόν. καὶ τῶν μὲν τὴν ἀκμὴν τοῖς Ἕλλησιν ἀνθιστᾷ, καὶ πρὸς τὴν παροῦσαν τύχην μερίζεται. Πολυδώρου δὲ τὸ τῆς ἡλικίας ἀπόμαχον ἀποσπᾷ μὲν τοῦ πολέμου, ἐγχειρίζει δὲ Πολυμήστορι, καὶ πρὸς τὴν ἐπιοῦσαν τύχην παῖδα καὶ χρυσὸν ταμιεύεται, ἵν' ἐσύστερον καὶ Ἴλιος 173
ἔχῃ τὸν ἀνορθώσοντα, καὶ τὸ λοιπὸν τοῦ γένους τὸν ζωπυρήσοντα. δέχεται τὸν παῖδα ὁ Θρᾷξ, ὑποδέχεται καὶ τὸν χρυσὸν, καὶ τὸ τῆς μάχης ἀστάθμητον ὑφορώμενος ἀπέχει τέως τῆς γνώμης τὸ βάρβαρον. ὑποκρύπτεται τὶ φιλόχρυσον· σχηματίζεται τὸ φιλόφιλον. τοιοῦτον γάρ τοι χρῆμα βάρβαρος. καὶ τὴν δειλίαν οἰκονομῶν, ἔνθα πεφόβηται, καὶ τὸν φίλον πλαττόμενος, ἔνθα τὸ φανερῶς λυπεῖν οὐκ ηὐπόρησεν. ὡς γοῦν ἡ τύχη μετὰ καὶ τῶν Ἑλλήνων τῷ Πριάμῳ ἐπέθετο, καὶ ὁ Πολυμήστωρ αὐτῷ ξυνεπιτίθεται. καὶ κτείνει μὲν τὸν Πολύδωρον, καὶ τὸ σῶμα νεκρὸν ἐπαφῆκε πελάγιον. προσαφαιρεῖται δὲ τὸν χρυσὸν, καὶ παρανομεῖ τῆς φιλίας τριπλάσια, μήτε περιόντα τὸν παῖδα οἰκτείρας, καὶ μετὰ τὴν τελευ- 174
τὴν οὐ φεισάμενος, καὶ χρυσοῦ μελετήσας ἀφαίρεσιν, οὗ τὴν φυλακὴν ἐπιστεύετο, ἀλλ' ὅθεν ἠδίκει τὸν Φίλιον, ἐκεῖθεν αὖθις τὴν δίκην ἀπέτισε. χρυσὸς ἐκεῖνον ἀδικεῖν ἐδελέασε, χρυσὸ, καὶ πάλιν εἰς τὸ παθεῖν ὑπηγάγετο. ἔγνω τὸν τοῦ Θρᾳκὸς δόλον ἡ μήτηρ. ἐπέγνω τὸν τοῦ

Digitized by Google

παιδὸς φόνον, καὶ μηχανᾶται τὴν ἄμυναν· χρυσὸν καὶ πάλιν προβάλλεται· καὶ πιστεύει δῆθεν, ᾧ πάλαι καὶ χρυσὸν καὶ παῖδα ἐπίστευσεν. πείθεται τούτοις ὁ Θρᾷξ. οὐχ ὑποπτεύει τὴν ἐπιβουλήν. θαῤῥεῖ τὴν Ἑκάβην, εἴσεισι τὴν σκηνὴν καὶ θήραμα γίνεται γυναικῶν. καὶ
175 χρημάτων ἐλπίσιν ἁλώσιμος. οἷς μὲν γὰρ ἀδίκοις ὀφθαλμοῖς εἶδε χρυσὸν, τούτοις δικαίως τοὺς ὀφθαλμοὺς αὐτὸς ἐξορύττεται. οἷς δὲ τοῦ παιδὸς ἀπανθρώπως Ἑκάβην ἐστέρησε, τούτοις εἰκότως καὶ παίδων πρὸς Ἑκάβης αὐτὸς ἀπεστέρητο.

Cap. III.

Χρεία.

1. *Εὐεργετῶν νόμιζε μιμεῖσθαι θεόν.* [1]

Καὶ ἐξ ἄλλων μὲν πολλῶν ὁ πολὺς τὰ θεῖα καὶ μέγας Γρηγόριος ἐγνωρίζετο, ἡ δὲ σοφία ἦν αὐτῷ τὸ ἐπίσημον, οὐ μόνον ἡ κάτω καὶ συρομένη καὶ στροφαῖς λέξεων καὶ λόγοις ἀποκρότοις κατακηλοῦσα τὰς ἀκοὰς, ἀλλ' ὅση καὶ πρὸς οὐρανὸν ἀνάγει τὴν ἀνθρώπινον ψυχὴν καὶ τὸν κοσμοποιὸν ἐξαίρει, καὶ τὸν ἄῤῥητον πλοῦτον τῆς αὐτοῦ ἀγαθότητος ἐκφαντορικῶς ἡμῖν παριστᾷ, καὶ τὸ εὐσταλὲς καὶ κοῦφον καὶ εὔζωνον τῷ δεσπότῃ χαρίζεται νῷ, ὡς κατὰ τῆς σαρκὸς συμμαχοῦσα τῷ πνεύματι. Ὅσα μὲν οὖν οὗτος περί τε φυσιολογίαν πνευματικὴν, περί τε δογματολογίαν οὐράνιον καὶ περὶ τὰ χωριστὰ τῆς ὕλης ἐπόνησε, καὶ τὸ μέγα τῆς τριάδος μυστήριον, καὶ τὸ τῆς ἐν ἀνθρώποις τοῦ σωτῆρος ἀπόῤῥητον τὸ ἀπ' αἰώνων καὶ γενεῶν κατὰ τὸν θεῖον κεκρυμμένον ἀπόστολον, τίς ἂν παραστῆσαι λόγος ἐφίκοιτο·

[1] Cfr. apophthegma Aristotelis, quod est inter apophthegmata codicis Vaticani CLI. Ἀριστοτέλης ἐρωτώμενος, τί ἄνθρωπος ἔχει ὅμοιον θεῷ, τὸ εὐεργετεῖν, ἔφη.

Digitized by Google

ἀλλά γε πρὸς τὸ προκείμενον ἡμεῖς τὸν λόγον ἐθύνωμεν, καὶ θεωρητέον, τί περὶ τῆς εὐποιΐας ἡ τοῦ πνεύματος σάλπιγξ ἐσάλπισεν ἡ πάντα περιηχοῦσα τὰ πέρατα· μέγα γάρ τι κέρδος ἐντεῦθεν ἐμπορευσόμεθα. Ὁ τῶν καταδεεστέρων, φησὶν, ἐπιστρεφόμενος καὶ εὖ ποιῶν κατὰ διηνέκειαν μιμεῖται τὸν ἁπάντων δεσπόζοντα· καὶ ταῦτα μὲν τῆς θεηγόρου γλώττης τὰ ῥήματα· ὅτι δὲ καὶ πρὸς ἀκρίβειαν ἰαμβοκρότοις λόγοις ταῦτα εἴρηκεν, ἡ τῶν λόγων ἀνάπτυξίς τε καὶ μεταχείρησις τρανώσει σαφέστατα· πάντα γὰρ ὁ δημιουργὸς πρὸς εὐεργεσίαν τῶν ἀνθρώπων παρήγαγεν, ἥλιον πηγὴν τοῦ τῇδε φωτὸς ἠρέμα πως τῷ ἀέρι κεραννύμενον, καὶ προσηνῶς τοῖς ὄμμασι προσεμπίπτοντα, εἴτε ταῖς αὐγαῖς τοῦ πυρὸς καταπυρσεύουσαν τὸ περίγειον· γῆν χλοηφόρον μυρίοις περιπυκαζομένην τοῖς ἄνθεσι, καὶ καρποφόροις δένδροις βλαστάνουσαν μυρία ζῶα ἐκ θαλάσσης, ἐξ ἀέρος, ἐκ γῆς, πηγὰς ναούσας γλυκερὰ καὶ διειδέστατα νάματα· ὁ γοῦν πρὸς τοσαύτας καὶ τηλικαύτας εὐεργεσίας τῆς πηγαίας χρηστότητος ἀφορῶν, καὶ ἑαυτὸν πάντα προϊέμενος, καὶ ἐν ὑψηλῷ καὶ μεγάλῳ κηρύγματι προκαλούμενος, δεῦτε πάντες, ἐμὸν ἄρτον φάγετε, καὶ πίετε οἶνον ὃν ὑμῖν κεκέρακα, ἀπολαύσατε τῶν ἐμῶν, ἢ μᾶλλον εἰπεῖν τοῦ θεοῦ δωρεῶν, ἀργύρου, χρυσοῦ, μαργάρων, διαυγῶν λίθων πολυτελῶν, περιβλημάτων λαμπρῶν, οὐδὲν ἐμοὶ λέγων ἥδιστον, εἰ μὴ καὶ πρὸς κοινὴν ἀπόλαυσιν καὶ μετάληψιν πρόκειται· οὐ γὰρ τῆς τῶν ἑτέρων ζωῆς τὴν οἰκείαν αὐτὸς προτίθεμαι. ἄγαλμα τοῦ θεοῦ περικαλλὲς ἑαυτὸν περὶ τὸν χθόνιον τοῦτον χῶρον εἰργάσατο, καὶ παρ' αὐτοῦ παρηγμένος τῆς μὲν κατ' αὐτὸν οὐσίας διΐσταται, ἀπομιμεῖται δ' ὡς ἐφικτὸν κατά γε τὸ ἐπιστρεπτικὸν καὶ προνοητικὸν καὶ φιλάνθρωπον, ἅτε πᾶσι τὰ πρὸς χρείαν φιλοτιμούμενος· δοτὴρ ἀγαθῶν καὶ αὐτὸς μετὰ θεὸν καὶ ὢν καὶ θρυλούμενος πανταχοῦ· ὁ δὲ συνέχων καὶ κατορύττων τὰ κάτω

μένοντα καὶ ἄνθεσιν ἴσα ῥέοντα καὶ μὴ δεδυνημένα πρὸς ἑτέραν λῆξιν ἡμῖν ἐντεῦθεν χωροῦσιν ἐφέπεσθαι, τὸ κοινὸν ἀπαναινόμενος ἀγαθὸν καὶ τὸ φύσει κοινωνὸν, μὴ τῆς τῶν ὁμοφυῶν ἀπορίας ἐπιστρεφόμενος, μὴ τῆς ταλαιπωρίας τῶν ὁμογενῶν προθυμούμενος, μόνης δὲ τῆς σφετέρας ἐξεχόμενος ἀπολαύσεως, ἐκτρέχων τοῦ πρὸς ὃν ἀφορᾷν ἐπεχράπημεν, καὶ εἰς προχάραγμά τι καὶ προκέντημα ἀποδιΐσταται τῆς ὑπερβαλούσης τοῦ θεοῦ φιλανθρωπίας καὶ ἀγαθότητος· ἐγγίζει γὰρ ὁ θεὸς τοῖς ἐγγίζουσι, καὶ τῶν διϊσταμένων ἀφέστηκεν· ὅρα μοι τὸν φυτουργὸν τὸ τῆς φύσεως ἔργον ἀπομιμούμενον· ἐκείνη διὰ φλεβῶν ὡς διά τινων σωλήνων πρὸς τὰ τοῦ σώματος μόρια τὸ αἷμα διαπορθμεύουσα τρέφει, ζωογονεῖ, συνιστᾷ· οὗτος διά τινων συχνῶν ὀχετῶν τὸ ὕδωρ πρὸς τὰς ἀμάρας ὀχετηγῶν ποτίζει καὶ αὔξει καὶ τὰ βλαστήματα γόνιμα δείκνυσιν· ὡς οὖν οὗτος τὴν ἐπιτροπεύουσαν φύσιν ἀπομιμεῖται τῆς τῶν φυτῶν ἀρδείας ἐπιμελόμενος, τῆς τῶν δένδρων προνοίας κηδόμενος, οὕτω καὶ οὗτος τὸ ἐπιστρεπτικὸν καὶ προνοητικὸν τοῦ θεοῦ παραζηλῶν καὶ φιλάνθρωπον, μιμεῖται τὸν πάσης ὑπεριδρυμένον ὀντότητος Ἀβραὰμ καὶ Ἰωσὴφ καὶ οἱ φαιδροὶ τῆς ἐκκλησίας φωστῆρες ἱκανοὶ τῷ λόγῳ πρὸς ἔνδειξιν, τοσοῦτον φιλοξενίας καὶ πτωχοτροφίας φροντίσαντες, ὡς οὐδενὸς ἑτέρου τῶν ἀγαθῶν· ἀλλὰ καὶ σοφώτατος Σολομὼν καὶ Δαυὶδ ὁ προφήτης ἅμα καὶ βασιλεὺς μακαριστὸν ἡγοῦνται καὶ ἔργον θεοῦ ἐργαζόμενον τὸν εὖ ποιεῖν προελόμενον, καὶ τὸν ἱλαρὸν δοτῆρα καὶ μὴ ἀνώμαλον βλέποντα· διὰ ταῦτα καὶ ὁ θεοφορούμενος οὗτος πατὴρ τὸ σοφὸν τοῦτο καὶ συνέσεως πλῆρες ὑψηγόρησε λόγιον.

Digitized by Google

2. Χρεία· Χάρις[1] χάριν γὰρ ἐστὶν ἡ τίκτουσ' ἀεί.

Σοφοκλῆν ἐπαινέσαι προάγομαι, οἷς τοῦ μέτρου τὴν χάριν ἐτήρησε, καὶ γνωμολογεῖν οὐκ ἀπέλιπε· μοιχείαν μὲν γὰρ καὶ γυναικῶν ἁρπαγὴν καὶ τὴν ἄλλην ἐκ τοῦ μύθου φλυαρίαν ἀπέπτυσε, πρὸς μόνον δὲ τῆς ποιητικῆς εἶδε τὸ χρησιμώτατον, καὶ γλῶτταν ἀσκῶν εἰς εὐσέβειαν οὐ κατεπαίρεται θεῶν, οὐκ ἐκτραχηλίζει τὴν νεότητα πρὸς ἀσέλγειαν, ἀλλὰ τῶν ἄλλων μυθολογούντων, αὐτὸς τὸ τοῦ μύθου περιττὸν ἀποσκευασάμενος διέξεισι μέν, εἰ τύχοι, μοιχείας Αἰγίσθου, καὶ σφαγὴν Ἀγαμέμνονος, ἀλλ' οὐκ ἀφῆκε τὸν κακὸν ἀτιμώρητον, ἀλλ' εὐθὺς ἐπὶ σκηνὴν Ὀρέστης εἰσάγεται, καὶ πίπτει μετὰ μοιχείας Αἴγισθος, καὶ ὁ θεατὴς ὁρᾷ τὸ ξίφος ἐπανατεινόμενον ταῖς μοιχείαις, καὶ τὸ κακουργεῖν οὐκ ἐθάῤῥησε, σωφρονίζει παρ' αὐτοῦ καὶ μαινόμενος Αἴας τοὺς ὁμόφυλον ἐπὶ ψυχῆς μάχην ὠδίνοντας, ἔχει τι παραμύθιον παρ' αὐτῷ καὶ δυστυχῶν ἄνθρωπος· κἂν ἴδῃ τὴν Ἠλέκτραν πενθοῦσαν, οὐ μόνον πενθεῖν ὑπολήψεται, οὐδ' ἔξω φύσεως νομιεῖται τὴν συμφοράν· Ὀρέστου δ' ἐπανήκοντος κἀκείνῃ τὰ τοῦ πάθους οἰχήσεται, καὶ θεατὴς δυστυχῶν οὐκ ἀτελεύτητον γνώσεται τὸ κακόν· οὕτως ἐγὼ τὴν Σοφοκλέους τραγῳδίαν καὶ δήμιον ἔννομον τίθεμαι, καὶ τύχης ἀγνωμονούσης ὁρίζομαι παραμύθιον, καί μοι δοκεῖ[2] λέγειν ὡς ἀπὸ τῆς σκηνῆς· πενθεῖς, ἔλπιζέ ποτε καὶ χαιρήσειν, ὅτι καὶ Ἠλέκτρα μετεβεβλήκει τὸ δάκρυον. Πλουτεῖς καὶ ἐπὶ τούτῳ[3] μέγα φρονεῖς, μὴ θάῤῥει, τὰ τῆς τύχης μένειν οὐκ οἶδε ῥεύματα, ἀλλ' οἴχεται θᾶττον καὶ μεταῤῥεῖ, καὶ σωφρονιζέτω σε μετὰ βασιλέα ἐκπίπτων ἀλήτης Οἰδίπους· ἀλλ' ἐπιμαίνῃ τῷ κάλλει καὶ συγχέεις γονὴν καὶ πρὸς τὸ τῆς

1 Soph. Aj. 522. ubi Lobeck. cfr. Boisson. ad Nicet. p. 10. ad Anecd. Tom. III. p. 70. 2 Cod. δοκεῖν. 3 Cod. τοῦτο.

μοιχείας καταφέρει κακόν· ὅρα μοι τὸν Ὀρέστην μετὰ τοῦ ξίφους καὶ μήτρὸς οὐ φεισάμενον, τοιαῦτα τὴν Ἀθηναίων πόλιν ὁ καλὸς οὗτος ποιητὴς ἐσωφρόνιζεν, ἡλίκον μὲν τὸ πάθος ἐπὶ σκηνῆς ἐχορήγησεν· ὅσον δὲ τὸ ἦθος τοῖς δράμασι μετὰ γνωμολογίας ἐγκατέμιξε, καὶ τὸ τῆς γνώμης σοφὸν ἔργοις αὐτοῖς ἐβεβαίωσε, τοῦτο τοῖς περὶ τραγῳδίαν γενόμενος, ὃ τοῖς περὶ ποίησιν Ὅμηρος· ἀλλ' ὅσῳ τοὺς ὁμοτέχνους τῷ περιόντι τῆς σοφίας αὐτὸς ἀπεκρύψατο, τοσούτῳ καὶ τῶν λοιπῶν ἐκείνου γνωμῶν τὸ περὶ χάριτος γνωμολογηθὲν χαριέστατον· ἐκ τοῦ καλῶς, φησι, δρᾶν τὸ καλῶς παθεῖν περιγίνεται· καὶ πάνθ' ὁπόσα μήτηρ παιδί, καὶ χάρις ἀντὶ χάριτος γίνεται. Πρῶτον μὲν τὸν ποιητὴν ἐπαινῶ, οἷς καλῶς τὴν ἀνθρωπείαν φύσιν ἐσκέψατο, καὶ ὡς χαρίζεσθαι πεφύκαμεν ἄνθρωποι μετὰ τὸ λαβεῖν, καὶ δρῶμεν εὖ παθόντες· ἔπειτα καὶ τοὺς ἀγενεστέρους τῶν ἀνθρώπων ἀπέσκωψεν, εἰ στείραν οὕτως ἔχει τις τὴν ψυχὴν, ὡς τὸ τῆς χάριτος σπέρμα λαβοῦσαν μὴ τὸν τῆς εὐγνωμοσύνης ἀντιδιδόναι καρπόν· εἰ δὲ τὴν ἐπὶ τῶν ἔργων μαρτυρίαν προεπιθείημεν, πολὺ δικαιότερον τῆς γνώμης τὸν ποιητὴν θαυμασόμεθα. Τίς οὖν ἡ περὶ τῶν ἔργων ἐπιβεβαίωσις; οὐ πάντα πᾶσιν ἀρχῆθεν ἐφεύρηται; ἀλλ' ἕτερα μὲν Ἑλλήνων σοφίσματα, ἕτερα δὲ Φοινίκων ἐπίνοιαι, καὶ Περσῶν ἄλλα τεχνήματα. ἔχουσί τι καὶ Θρᾷκες οὔπω τοῖς ἄλλοις ἐλθὸν εἰς εὕρεσιν ἐπιδείξασθαι, καὶ τῶν ἐθνῶν ὡς ἕκαστα διῃρημένα τοῖς γένεσι καὶ ταῖς ἐπινοίαις διῄρηνται· ἀλλ' ἦκεν ἡ χάρις κοινωνικόν τι χρῆμα καὶ φίλιον, καὶ τὸ θηριῶδες ἐξελοῦσα τῆς γνώμης πρὸς τὸ ἀνθρωπικώτερον μετερρύθμισε, καὶ νῦν παρὰ τοῦτο τῶν θηρίων διενηνόχαμεν ἄνθρωποι· ἐκεῖθεν ἡμῖν ἦλθε καὶ τὸ συναγελαστικὸν, ἐκεῖθεν καὶ τὸ τῆς φιλίας ἔχομεν ὄνομα, καὶ τὸ τὴν ἔνδειαν ἀναπληροῦν οὐκ ἄλλοθεν ἡμῖν προσεγένετο· ἔχει μὲν Ἰν-

Digitized by Google

δὸς, εἰ τύχῃ, ἐλέφαντας, ὅπλα δὲ Λήμνιος, γράμματα Φοίνικες. οἱ δὲ ἐξ Ἀθηνῶν ἵππους ὑπὸ ζυγὸν ἀγαγεῖν ἐσοφίσαντο, ἀλλὰ πρὶν ἥκειν τὴν χάριν, οἷς οὐκ εἶχον πρὸς εὐδαιμονίαν ἐλείποντο· ἀλλ᾽ ἔγνωσαν ὅστις ὁ τρόπος τῆς χάριτος, καὶ οὔτε τῶν παρ᾽ αὐτῆς ἀπεστέρηντο, καὶ τὰ παρ᾽ ἑτέροις ἐλάμβανον· τεκτονεύειν τις εἰδὼς ἐδεῖτο μὲν τροφῆς τῆς ἡμέρου ταύτης ἀπὸ σίτου τῆς ἐκ σπερμάτων, καὶ πηξάμενος ἅμαξαν ἀπεδίδου τῷ περὶ γεωργίαν ἔχοντι, καὶ σῖτον τῆς τέχνης ἀντεκομίζετο. ἱππεύειν τις τὴν ἀρχὴν ἐπεβάλλετο, καὶ τὴν ἱππικὴν οὐκ ἦν ἐπιδείξασθαι, μὴ παρά του τὰ πρὸς ἱππικὴν ξυνεργὰ κομισάμενος· ἐντεῦθεν εἶχε τὸν χαλκὸν καταβαλὼν αὐτὸς πρότερον, ὅτου καὶ προσεδέησε· πλουτεῖς καὶ δεῖ σοι λαμπροτέρας οἰκίας· καταβαλέ τι τῶν χρημάτων τοῖς οἰκοδόμοις, καὶ προσευδαιμονίσεις καὶ τοῦτο τὸ μέρος· περίπλεων ἐθέλεις ἔχειν καὶ θάλατταν, ὁ ναυπηγὸς ἀντιδώσει τὸ ποθούμενον, εἰ πρότερον αὐτὸς παρὰ σοῦ λήψεται· οὕτω καὶ τὴν ἀρχὴν ἡ χάρις ἐκυφόρησε τὴν ἀντίχαριν, καὶ νῦν ἔτι τῆς καλῆς ταύτης κυφορίας οὐ παύεται· τοῦτο τὸ μέρος ἀγήρως ἡ φύσις οὐδὲν ἧττον ἢ περὶ γένεσιν· οὐ δέχεται παρακμὴν τὰ τῆς ἀντιδόσεως, ἀλλ᾽ ὅλας πόλεις ὁσημέραι γεννᾷ· πᾶσαν μὲν περιπλεῖ θάλασσαν, πᾶσαν δ᾽ ἐπέρχεται γῆν, καὶ παρὰ μέρος ἐστὶν οὐ πολλάκις ἐκλείπουσα· τὸ παντελὲς οὐκ ἐξέλιπεν, ἀμβλώσκει μὲν γὰρ ἔσθ᾽ ὅτε καὶ χάρις· καὶ τὸ βρέφος τὴν ἀντίχαριν οὐκ ἀρτίτοκον ἀποδίδωσιν, ἀλλὰ ψυχῆς ἀγόνου ταῦτα καὶ κύειν οὐκ εἰδυίας χάριν ἐστίν· ἀλλ᾽ οὐκ ἤδη τὸ τῆς χάριτος ἄνθος ἀπέρευσεν, ὅτι καὶ φύσις περὶ μὲν τήνδε ἢ τήνδε τῶν γυναικῶν οὐκ εὐστοχεῖ τὴν γένεσιν, ἐφ᾽ ἑτέρας δὲ τὸ γεννητὸν ἄρτιον ἐφυλάξατο· ὅσοις μὲν οὖν ἡ χάρις ξύνεστι, καὶ τὰ τῆς χάριτος οὐκ ἀμβλώσκεται, ἢ καὶ τὸ σπέρμα μὴ πρὸς ἄκανθαν μετατέτραπται· τούτοις δὲ κουροτρόφος

εἰρήνη περιχορεύει τὰς πόλεις, καὶ τὸ τοῦ μίσους δεινὸν ἐξωστράκισται, καὶ τὰ τῆς ἀπεχθείας ἀπέῳσται· ἐφ ὅσας δὲ τῶν πόλεων μὴ τὰ τῆς χάριτος γόνιμα, ὅσος μὲν ὁ φθόνος ὑφέρπει, ὅση δὲ ἡ ἀπέχθεια ἤδη καὶ πρὸς μάχην ἀνάπτεται, καὶ ὁ τῶν πόλεων ἀνδραποδισμὸς μὴ τικτούσης τῆς χάριτος, ἂν ἔχοι τὴν γένεσιν· ἀλλ᾽ οὐδὲ μάχης ἠκούσης εἰς τὸ παντελὲς ἐπιλέλοιπεν· ἀλλὰ πρὸς μὲν τοὺς πολεμίους οὐδ᾽ ἂν ἴχνος ἴδοι τις χάριτος· τὰ δὲ πρὸς ἀλλήλους ξυνδεῖ μὲν πρὸς ὁμόνοιαν, ἐπεγείρει δὲ εἰς συμμαχίαν· καὶ στρατιώτης τὸ στράτευμα μισθῷ τοὺς στρατιώτας εἰς ἀντίχαριν ἐπαγόμενος· τὰ δὲ ὅπλα πόθεν ἔσχον οἱ στρατευόμενοι; οὐκ ἀπὸ τῶν ὅσοι περὶ τὴν ὁπλοποιητικὴν ἐσπουδάκασι, πρότερον αὐτοὶ καταβαλλόμενοι χρήματα, τοῦτο δὲ τί ἂν εἴη ἕτερον ἢ πάντως ἀντίχαρις; καὶ σὺ, ὦ παῖ, εἰ μὴ πρότερον πόνους ἀντιδοίης πολλοὺς, οὐκ ἄν ποτε τὸ τῶν λόγων χρῆμα κερδήσεις· τί δεῖ με πολὺν τὸν ἔξω τοῦ λόγου κύκλον ποιεῖσθαι, καὶ μὴ ἀφ᾽ ἑστίας ἐπιχειρεῖν ἀπό γε τῆς φύσεως; εἰ γὰρ μὴ πρότερον ἡ φύσις τὸ σπέρμα λήψεται, οὐκ ἂν ἀποδοίη βοῦν ἢ ἵππον, ἢ ἄλλοτι τῶν εἰς ἕκαστα· εἰ γὰρ μὴ χάρις χάριν ἔτικτεν, οὐδ᾽ ἂν πόλεμον διεδέχετο πόλεμος, οὐδ᾽ ὕβρις ὕβριν μετήρχετο, ἀλλ᾽ εἶχεν ἄν τις ἐκ τῶν ἐναντίων τἀναντία καρπούμενος· ὡς γὰρ ὁ σῖτος σῖτον οἶδε γεννᾶν, καὶ ἵππος ἵππον, καὶ ἄνθρωπος ἄνθρωπον, οὕτω καὶ χάρις ἀντίχαριν. Ὅρα μοι τῶν Ἀθηναίων τὸν δῆμον, τὸν πλεῖστα τῆς Ἑλλάδος ἰσχύσαντα· ἐπειδὴ γὰρ ἔνδεια τροφῆς καὶ λιμὸς τὴν Ἀττικὴν ἐπεβόσκετο, πρὸς Αἰγυπτίους ἀπῆεσαν, καὶ κομισάμενοι τοῦτον κατὰ Περσῶν ξυμμαχίαν συνέθεντο, καὶ Πλαταιεῦσι τῆς ἐπὶ Μαραθῶνος σπουδῆς τὴν Ἀθήναζε πολιτείαν ἀντεχαρίσαντο· κοινὴ μὲν οὖν καὶ πρὸς ὅλας πόλεις οὕτω χάρις χάριν ἀντέτεκεν· ἰδίᾳ δὲ

δὲ καὶ κάλλιστα Ἕκτορα μὲν ὁ μέγας Αἴας τοῦ ξίφους ἠμείψατο, ζωστῆρα φοινικοῦν ἀντιδιδούς· Γλαῦκον δὲ τῆς πανοπλίας ὁ τοῦ Τυδέως, καὶ Τεῦκρον τῆς κατὰ τῶν Τρώων εὐστόχου τοξικῆς Ἀγαμέμνων ἐθαύμασε· καὶ τὸν αὐτοῦ Τεύκρου πάλιν ἀδελφὸν μετὰ τὴν πρὸς Ἕκτορα μονομαχίαν τῆς ἀριστείας τιμῶν ἐπὶ τοῦ δείπνου νώτοισι διηνεκέσι γέραιρε· τὰ μὲν οὖν ἔργα τοιαῦτα τὴν μαρτυρίαν, καὶ οὕτως ἐχόμενα τῆς τοῦ ποητοῦ γνώμης, δεῖ δὲ ἡμᾶς μηδὲ τῆς τῶν Μουσῶν ἀποσχέσθαι· εἴη δ' ἂν, οἶμαι, Μουσῶν, ὅσαπερ ἐπιπνοίᾳ Μουσῶν Ἡσίοδος ἀποφαίνεται, καὶ τί φησιν ἐκεῖνος ὁ Μούσαις κάτοχος γλῶτταν, μᾶλλον δὲ δι' ἐκείνου αἱ Μοῦσαι; τὸν δὲ δεδωκότα τίς ἠμείψατο; πρὸς δὲ τὸν οὐκ εἰδότα χαρίζεσθαι οὐδείς ποτε νοῦν ἔχων τὴν χάριν ἀνάλωσεν· πῶς δ' ἂν καὶ Πρόδικον τὸν σοφιστὴν παραλείποιμεν ἀξίως τῆς αὐτοῦ σοφίας ἀποφθεγγόμενον, δός τι καὶ λαβέ τι, καὶ τὸ τῆς ἀντιχάριτος καλὸν αὐτόθεν ἐπὶ τοῦ[4] συντρόφου σώματος παριστῶντα βεβαιότερον. ἃ δὲ χεὶρ τὴν χεῖρα νίζει,[5] καὶ ἡ εὐώνυμος τῇ δεξᾷ τῶν ἔργων ξυναίρεται· καὶ νῦν μὲν αὕτη πρὸς ἐκείνης, νῦν δὲ ἐκείνη πρὸς ταύτης τῶν πόνων ἐπικουφίζεται· οὐκοῦν ἀποδεκτέον τῆς μὲν γνώμης τὸν Σοφοκλέα, τοὺς δὲ χαριζομένους τῆς χάριτος· οὐ γὰρ ἔστιν ὅπως ἑτέρους ἀγαθοὺς φίλους πλουτήσαιμεν, εἰ μὴ τὰς χάριτας διαμειβοίμεθα χάρισιν.

Cap. IV.

Ἀναισχυντή.

Ὅτι οὐκ εἰκότα τὰ κατὰ Ἀταλάντην.

Οὐ ζηλῶ τοῦ ψεύδους τοὺς ποιητὰς, εἰ καὶ τῆς σοφίας τεθαύμακα· οἷς γὰρ οὕτω καλῷ χρήματι[1] μὴ πρὸς ἀλήθειαν ἀπεχρήσαντο, οὐ μᾶλλον ἂν εἶεν ἄξιοι θαύματος, ἢ κακῶς ἀκούειν δίκαιοι· ἐχρῆν γὰρ καὶ λόγους

4 Cod. τήν. 5 Cod. δονείζει. Notum Epicharmi apophthegma. v. Arsen. Viol. p. 19. 1 Cod. καλῶ χρήματα. scr. χρήματι, i. e. σοφίᾳ.

Digitized by Google

ὑποβαλέσθαι, πρέποντας σοφίᾳ καὶ Μούσαις, εἰ Μουσῶν ὡς ἀληθῶς εἶχον ἐπίπνοιαν, καὶ ἄσθμα δαιμόνιον· οἱ δὲ τὰ μὲν ἔξω καὶ δὴ Μουσῶν ἄξιοι, κἂν ἴδοις φράσιν καὶ σχῆμα, καὶ τερατείαν καὶ τὴν ἄλλην τῆς ἀκοῆς ἐπήρειαν, φαίην ἂν αὐτὰς δοκεῖν ᾄδειν τὰς Μούσας, καὶ τὴν γλῶτταν αὐτοῦ γε Ἀπόλλωνος οὐκ ἀποψηφιεῖ· τὰ δ' ἔνδον οὕτως εἰσὶ φαῦλοι, καὶ θεοῦ μηδ' ἴχνος ἐπιφερόμενοι, ὥσθ' ἡ μὲν γλῶττα αὐτοῖς ὑψηλὴ καὶ περιηχὴς, ὡς καὶ ἀπ' οὐρανοῦ φέρεται, τὴν δὲ διάνοιαν ἀναπτύξας εἴποις ἂν μὴ ὅτι τῶν ἐν οὐρανῷ διαιτωμένων θεῶν, ἀλλ' οὐδ' αὐτῶν ἀνθρώπων τῶν γε μετριωτέρων εἶναι τούτους τοὺς λόγους· αὐτίκα γὰρ περὶ τῆς Οἰνέως Ἀταλάντης ἠλίκον αὐτοῖς ἡ σοφία τῆς ἀληθείας ἐξέπεσε· γυναῖκα μὲν γὰρ πλάττουσι, τὰ δὲ τῆς γυναικὸς ἀφαιροῦνται· καὶ θήλειαν μὲν εἶναι συγχωροῦσιν, πρὸς δὲ τὰ τῶν ἀῤῥένων ἐπαίρουσι· καί τί φασιν οἱ σοφοὶ καὶ Μουσῶν ἔμπνοοι, καὶ πόθεν ἡμῖν τὰ τῆς ἀπιστίας; Ἀταλάντη μὲν γὰρ γεγένηται Οἰνέως, ἑλομένη δὲ παρθενεύειν προς ἀνδρίαν ἐτρέφετο, καὶ τὰ περὶ θήραν ἠσκεῖτο· καὶ τόξον ἔτεινε καὶ ζῆλον εἶχεν Ἀρτέμιδος· ἀλλ' ἦκεν ὥρα γάμου, καὶ δρόμον ἐτίθει τοῖς ἐρασταῖς, καὶ τῷ νικήσαντι ἑαυτὴν ἐδίδου τὸ ἆθλον· ἐκάλει πολλοὺς ἐπὶ τὸν ἀγῶνα τὸ κάλλος, ἀλλ' ἀπράκτους αὖθις ἠφίει τὸ τάχος· ἀλλ' ἦν Ἱππομένης καὶ τοῦ δρόμου καὶ τοῦ κάλλους ἡττώμενος, καὶ τοῖς ποσὶ μὴ θαῤῥῶν χρυσοῖς μήλοις τὴν νίκην σοφίζεται· ἐπεὶ δὲ καὶ εἶχεν ἄμφω τὸ στάδιον, ὁ μὲν ἤρχετο τοῦ σοφίσματος, καὶ τὸ μῆλον ἠφίει, ἡ δὲ μηδὲν ὑπειδομένη ξυνέλεγε· καὶ ὁ μὲν ξυνέβαινεν, ἡ δὲ περὶ τὴν ξυλλογὴν ὑπελείπετο· καὶ οὕτως Ἱππομένης σοφίᾳ μᾶλλον ἢ τάχει τῶν τῆς Ἀταλάντης ἔτυχε γάμων· τούτοις ἐκεῖνοι τὰς Μούσας ἐπιφημίζουσι, τούτοις αὐτὸς οὐ πείθομαι· εἰ γυναικείαν Ἀταλάντη φύσιν εἶχεν, ἐκ τῆς τροφῆς ἐπιγνώσομαι· εἰ παρθενεύειν εἵλετο καὶ θαλαμευο-

Digitized by Google

μένην ὄψομαι· εἰ δὲ τὰ γυναικῶν οὐκ ἐτρέφετο καὶ τὸ γένος παρήλλαττε· βεβαιοῖ γὰρ τὸ γένος ἡ τροφὴ, καὶ διαφόροις γένεσιν αἱ τροφαὶ παραπλησίως διάφοροι· πατέρα μοι λέγεις Ἀταλάντης Οἰνέα, καὶ δέχομαι· παρθένον ὑποτίθης καὶ πείθομαι· ἀπόδος καὶ τροφὴν παρθένοις προσήκουσαν, ὡς νῦν γε πλάττεις φύσιν μὲν θήλειαν, τρόπον δὲ ἄῤῥενα· καὶ τὸ τῆς τροφῆς παράδοξον ἀμφίβολον ποιεῖται τὴν γένεσιν· σκοπητέον γὰρ, τίνες γυναιξὶν αἱ τροφαὶ, καὶ ὅπως αἰδοῦς ἔχουσαι, καὶ τίς Ἀταλάντης ὁ τρόπος, καὶ ὅπως τὰ τῆς τροφῆς παραλλάττονται· οὐκοῦν ἅμα τίκτεται βρέφος γυνὴ, καὶ προῆλθεν εἰς φῶς ἅμα καὶ θάλαμον, καὶ μετὰ τὴν τεκοῦσαν νηδὺν οὐδὲν οἶδε πλέον θαλάμου· γυνὴ ἐπὶ τούτοις ὑπὸ ταῖς τῆς μητρὸς χερσὶν ἐκπαιδεύεται· τὰ παρθενικὰ αἰδεῖται μέχρι καὶ βλέμματος, εἰς ἀῤῥένων ὄψιν οὐκ ἔρχεται, ἐπὶ τοσοῦτον ἦλθεν αἰδοῦς τὸ τῶν παρθένων χρῆμα, ὡς μόνον οἶδε παρθενίας ἐξέχεσθαι· ὑπὸ τῇ τάλασίᾳ διαπονεῖται, περὶ τὴν γυναικωνῖτιν οἰκουρεῖ, ταῖς θεραπαινίσι συνεξετάζεται· ταῦτα γυναικὸς σωφρονούσης ἔργα, ταῦτα παρθένων παιδεύματα· τὴν δὲ τῶν ποιητῶν Ἀταλάντην ταύτην τόξον εἶχε καὶ λόφοι καὶ θῆραι, καὶ θῆλυς οὖσα τὴν φύσιν ἠνδρίζετο. Ἧπου καὶ περὶ τοξικὴν ἤριζε, καὶ τὸ παρθενικὸν οὐκ ἠσχύνετο, ὡς ἔγωγε οὐχ ὁρῶ, πῶς ἄν τις ταῦτα καὶ πείθοιτο, κἂν γὰρ τὴν κόρην ἔχειν οὕτω φύσεως δώσομεν, ἄλλ' ἦγε μήτηρ εἰ μὴ τὴν κλῆσιν ἐψεύδετο, πῶς ἂν ἀφῆκεν ἔξω τοῦ θαλάμου, καὶ προσαπέλυσε τῆς χειρὸς, ἣν μέχρι καὶ γάμων ἔδει παιδαγωγεῖν· κἂν ἡ μήτηρ τοῦτο τὸ μέρος οὐκ ἐφρόντισε τοῦ παιδὸς, ἀλλά γε πρὸς τοῦ πατρὸς ἤκουσεν ἂν, ὃ πᾶσα πρὸς Διὸς Ἀφροδίτη· οὔτι τοι πολεμήϊα ἔργα δέδοται· ἔπειτα θήλεια μὲν θεὸς πολέμου φέρει τὰ δεύτερα, καὶ θνητὴν οὐκ ἤνεγκε δεξαμένη πληγήν· Ἀταλάντη δ' ἐπεβάλετο πολεμεῖν καὶ θνητὴ θήλεια μεῖζον ἴσχυσεν

Ἀφροδίτης· μὴ γὰρ δὴ τὴν θήραν νομιστέον ἀπόλεμον, ἀλλ' εἰσὶ θῆρες ὁπλιτῶν φοβερώτεροι· αὐτίκα πρὸς ἕνα θῆρα μόλις Αἰτωλῶν πόλεις ὅλαι διήρκεσαν· κἂν θηρατικὴν εἶναι τὴν κόρην δοίη τις, ἄλλά γε τὸ καλὴν εἶναι πάντως ὑφείλετο· ἀγρότης ἦν, τὰ πολλὰ ἐν ὄρεσι διέτριβεν, ὑφ' ὑψηλῶν λόφων διῆγεν, ὑφ' ἡλίου ἐβάλλετο· τὸ δ' ἄρα καὶ μελαίνειν τὴν ὥραν καὶ τὸ πολὺ τοῦ κάλλους ἂν ἴσως παρείλετο· καὶ τὸ τῶν Αἰθιόπων γένος ἡλίου ἔργον ἂν εἴη βάλλοντος ἄκρατα· καὶ τῶν γυναικῶν λευκοτέρας ἴδοι ἄν τις τὰς ἀστυκὰς ἢπερ τὰς ὀροτροφουμένας, τὰς ἐν ἀγροῖς. ἀλλ' ἔστω καλὴ μὲν κόρη, πολεμικὴ δὲ, ὡς ἀνὴρ, πόθεν δὲ καὶ ταχυτῆτος ποδῶν τὸ γυναικῶν ἀλλοτριώτατον εὕρατο· εἰ γὰρ ὅτι καλοὺς διὰ τοῦτο καὶ τοὺς πόδας πτηνοὺς, ὥρα καὶ πᾶσαν εὐπρεπῆ κόρην εἰς τάχος ὑπερφέρειν τῶν ἄλλων· εἰ δὲ τῷ κάλλει καὶ ταχυτὴς ἕψεται, καὶ ταχὺς ἅπας ἂν εἴη καλός· εἰ δὲ πρὸς ἀνδρίαν τίθης καὶ τοῦτο, ἀλλ' οὐκ ἀνδρείᾳ τὸ τάχος συνέζευκται· πολλοὶ μὲν γὰρ τοὺς μὲν πόδας κοῦφοι, τὰς δὲ χεῖρας οὐ θαυμαστοί· κἂν γοῦν τὰ γυναικῶν ἐκβιάζεται, ἀλλ' εἰς ἀνδρὸς ἀρετὴν οὐκ ἂν τοὺς ἄνδρας ὑπερεβάλλετο· παρθένος ἠγωνίζετο καὶ ἀνὴρ ἀπελείπετο· ἀνδρῶν ἐκράτει γυνὴ, καὶ πρὸς γυναῖκα ἄνδρες ἠλέγχοντο· ὅλως δὲ τίνα λόγον εἶχεν ὁ τοῦ τάχους ἀγών; εἰ μὲν ἦλθεν εἰς ἔρωτα, τί μὴ τὸν ἐρώμενον ἤγετο; εἰ δ' οὔπω τὴν ψυχὴν ἐξ ἔρωτος ἔπαθε, τί μὴ τὸ παρθενεύειν ἐφύλαττεν, εἴτε τις ἐρῶσαν ταύτην ὑπόθοιτο, εἴτε μὴ ξυγχωροίη τὸ πάθος, οὐδένα λόγον εἶχεν ἡ πρόκλησις, οὐδ' ἐχρῆν ἀγωνίζεσθαι· ἀλλ' ἴδωμεν εἰ δοκεῖ καὶ τὸ κήρυγμα· κοινὸν ἀπεκήρυξε τὸν ἀγῶνα, οὐκ ἀπέκλεισεν οὐδενὶ τὸ στάδιον, πᾶσιν ἀνεπέτασε τὸ γυμνάσιον, κἂν φαῦλος τὴν ὄψιν ὑπερβαλεῖται, κἂν ἐνδεὴς ἀπὸ τύχης, κἂν ὑψηλὸς ἀπὸ γένους· μετὰ τὴν νίκην τὸ ἆθλον ἀποίσεται καί τι τῇ γυναικὶ μεῖζον τούτων εἰς

Digitized by Google

ὄνειδος, ἀλλ᾽ οὐχὶ κοινὸν, οὐδὲ πρὸς πάντας τὸν ἆθλον ἀνείλετο. Καὶ τίνα ταχυτῆτος εἶχε δόξαν τὸ μὴ πάντας ἐπίσης θαῤῥεῖν; ἀλλὰ τὸν μὲν ὡς νωθρὸν ὑποπτεύειν καὶ δέχεσθαι, τὸν δὲ τὸ τάχος ὑφορᾶσθαι καὶ τὸν ἀνταγωνιστὴν μὴ προσίεσθαι· τίς δ᾽ οὐκ ἂν τὴν κόρην ὑπώπτευσε, καὶ τῇ προτέρᾳ [2] τροφῇ ἐλογίσατο; ἀνδράσι συνδιῆγε καὶ τὸ χρῆμα παρθενίᾳ πολέμιον· ἅμα τις εἶδε παρθένον, καὶ πρὸς τὸ κάλλος ὅλους ἀφῆκε τοὺς ὀφθαλμούς· καὶ τὸ ἐντεῦθεν λόγος καὶ πεῖρα καὶ δῶρα πρὸς Ἀφροδίτην· ἔστιν οὗ καὶ βίας ἔρως ἐπήγαγε· τὸ γοῦν ἐπὶ τῇ τροφῇ πρὸς ἄνδρας ὁμιλίας τοῖς ἐρασταῖς διεβέβλητο, καὶ παρθένος οὐκ ἦν ἀνενδοίαστος, εἰ δ᾽ οὐκ ἔχει παρθενίαν ὁ γάμος ἀβέβαιος· εἰ δ᾽ οὖν τῇ κόρῃ τὸ παρθενεύειν ἀμφίβολον, πολλοὺς ἂν οὐκ εἶχε τοὺς ἐραστάς· εἰ δ᾽ οὐκ εἰς πλῆθος ἐπαφῆκε τὸν ἔρωτα, τί λοιπὸν ἔδει κηρύγματος; ἀλλὰ δεδόσθω καὶ πλῆθος ἐραστῶν καὶ κήρυκες δρόμου, καὶ γυναικὸς νίκη καὶ ὕβρις ἀνδρῶν· ὁ δὲ σοφὸς Ἱππομένης πόθεν εἰς νοῦν ἔβαλλε τὸ μηχάνημα, καὶ ὡς ἀπὸ χρυσοῦ τὰς ὀπώρας ἐσκεύαζε καὶ χρυσῷ τὴν κόρην ἀπατήσειν ἐνόμισε; διατί μὴ τὸν χρυσὸν ὡς ἔδρασεν ἐνόμισεν, εἰ δὲ χρυσὸν διδοὺς οὐκ ἔπειθε, πῶς ἡ κόρη μετὰ τῆς ἀπάτης ἐδέχετο, ἐξὸν καὶ πλείω τὰ ἔδνα λαβεῖν καὶ μὴ προσαπολαβεῖν ἧττταν καὶ γνώμης δόξαν οὐ σταθηρᾶς· πότερον δὲ πλείω τὰ μῆλα ὁ σοφιστὴς ἐκεῖνος εἴτουν ἐραστὴς ἐπεφέρετο, καὶ πῶς ἦν ἀγωνίσασθαι τυσοῦτο βάρος ἐπιφορτισάμενον, ὅπου καὶ τὰ περιττὰ τῶν χιτώνων ἐχρῆν ἀποδύσασθαι· εἰ δὲ μικρὸν ἦν εἰς ἀριθμὸν τὸ σόφισμα, βραχὺν ἂν ἡ κόρη χρόνον εἰς συλλογὴν ἀπησχόληται, καὶ τὸν χρυσὸν ἂν ἐκεῖνος προσαπολωλέκει, μηδὲν τῆς σοφίας προσαπο-

2 Cod. τῇ προτέραν τροφήν. Saepe ν ortum est ex ι adscripto. cfr. epist. crit. p. 28.

νάμενος· τί δὲ προήλλαττε τὴν ἀρχὴν καὶ τῆς κόρης μᾶλλον εἰς δρόμον προέκοπτε, καὶ τί λοιπὸν ἐδεῖτο τῶν μήλων καὶ τὴν νίκην ὑπέκλεπτεν, εἰ τοῖς ποσὶν εἶχε κρατεῖν καὶ δίχα σοφίσματος; ἀλλ᾽ ἐξ αὐτῆς τῆς βαλβίδος τὸ τάχος λειπόμενος ἐπὶ τὸ σόφισμα ἔβλεψε καὶ περὶ τὴν ἀρχὴν ἡ κόρη προέβαινε, καὶ πῶς εἶδε τὰ μῆλα ῥιπτόμενα· συλλέγειν οὐκ ἦν εἰ μὴ βλέπειν εἶχε βαλλόμενα, οὐ γὰρ δήπου πάντως τὴν κόρην ἠκροβολίζετο· ταῦτα καὶ λέγειν οὐκ ἀληθῆ καὶ πιστεύειν οὐ δίκαια· τό τε γὰρ ψευδολογεῖν οὐκ ἐπαινετὸν, καὶ τὸ πάντα πείθεσθαι πρὸς ἀνδρὸς οὐκ ἔχοντος νοῦν.

Cap. V.

Κατασκευὴ

ὅτι εἰκότα[1] τὰ κατὰ Ἀταλάντην.

Εἰ μᾶλλον τῶν ἄλλων ἀνθρώποις γε οὖσι περιποιητέον ἀλήθειαν, πρὸ τῶν ἄλλων αὐτὴν ἐπαινετέον τὴν ποίησιν· Μούσαις μὲν γὰρ ἐπιπνεῖται, Μουσῶν δὲ ἄξια φθέγγεται, καὶ γλώττῃ θνητῇ τὰ θεῶν εἰς ἡμᾶς τὸ τῶν ποιητῶν γένος μετοχετεύει· καὶ Μουσῶν γενόμενοι κάτοχοι, τὰ Μουσῶν ἀναφαίνουσι· θεῶν δὲ πάντων καὶ Μουσῶν αὐτῶν τἀληθῆ λέγειν· οἷς δὲ χρῶσι τὰ Μουσῶν ποιηταὶ, καὶ τὸ πρὸς ἀλήθειαν ἄδειν ἐφέλκονται· ἀλλ᾽ ὅμως εἰσί τινες, οἳ πρὸς τοσοῦτο μανίας ἥκουσιν, ὡς προσχήματι μὲν κατηγορεῖν τῶν ποιητῶν, τῇ δ᾽ ἀληθείᾳ Μουσῶν· καὶ τὸ τῆς ποιήσεως προσωπεῖον περιῤῥηγνύντες λελήθασιν εἰς αὐτὰς τὰς ὑβριζομένας θεὰς τὴν ὕβριν προσάγοντες· τῆς οὖν τούτων ὕβρεως καὶ τῆς πρὸς πάντας δυσπιστίας καὶ Ἀταλάντη μετὰ Μουσῶν ἀπώνατο· οὐ γάρ φασι[2] τοιαύτην γεγενῆσθαι τὴν Οἰνέως, οἵαν ἡ ποίησις[2] βούλεται, ἀλλ᾽ εἶναι πάντα μῦθον καὶ πλάσ-

1 ὅτι εἰκότα Cod. non habet. 2 Cod. φησι. 3 Cod. βούλησις

ματα οὕτως ἁπλᾶ ῥήματα, οὐ περιοπτέον οὖν ἂν εἴη καὶ ποιητὰς κατηγορουμένους καὶ Μούσας περιυβριζομένας, ἀλλ' ὑπερμαχητέον τῆς ἀληθείας ὡς οἷόν τε· τί γὰρ ἄπιστον, εἰ πατὴρ ἤκουσεν Ἀταλάντης Οἰνεὺς τοῦ γάμου ταύτην ἔχοντος φύσιν· εἰ δὲ καὶ κάλλος εἶχεν ἡ παῖς, θεῶν ἦν ἀπόγονος, καὶ θειοτέραν εἶχε μορφήν, καὶ τὴν τοῦ προσώπου ὀπώραν ἔβαλε μὲν πυρωδέστερον ἥλιος, ὁπότε φοιτῴη πρὸς θήραν, οὐκ ἀπέφλεγεν, ὅτι καὶ Ἀχιλλεὺς περί που τὸ Πήλιον ἐθήρα μέν, τὸ δέ γε τῆς ὄψεως ἄνθος οὐδὲν ἧττον αὖθις ἐπέλαμπεν· ἀλλὰ πρὸς ἀνδρίαν ἐτρέφετο, καὶ τὴν οἰκουρὸν ἀπολείπουσα τροφὴν τὰ παρὰ φύσιν ἠλαζονεύετο· καὶ τί κατηγόρημα φύσεως; εἰ δὲ καὶ πρὸς γυναῖκά ποτε γέγονεν ἀνδρίας φιλότιμος. πρῶτον μὲν γὰρ οὐ πανταχῆ τὸ θῆλυ τοῦ γένους τόγε εἰς ῥώμην ἦκον ἀποδοκιμαστέον, κἂν εἰς τοὺς θῆρας ἐξιχνεύσῃς καὶ θήλειον ὄψει δύσμαχον, καὶ μᾶλλον, εἰ τύχοι, θαῤῥήσειας τοῦ ἄῤῥενος. Ἔπειτα εἰ τοῖς ἀνθρώποις ὁ πρὸς τὰ θηρία δέδοται πόλεμος, εἴη ἂν καὶ τὴν Οἰνέως οὖσαν ἄνθρωπον τὰ πρὸς θήραν ἀσκήσασθαι· εἰ δὲ τῆς ἀνδρείας τὸ γυναικεῖον φῦλον ἀπέκλεισας, ὅρα καὶ τῶν ἀνδρῶν μηδένα λέγειν ἀπόλεμον· εἰ δ' ἔστιν οὗ καὶ τὸ ἄῤῥεν εἰς ἀνδρίαν ἐμέμψω καὶ τὸ θῆλυ πρὸς ἀνδρίαν θαυμάσειν· εἰ μὲν γὰρ ἁπάσας γυναῖκας ἡ ποίησις ὅπλισιν, εἶχεν ἂν λόγον δυσπιστεῖν τὸ παράλογον· εἰ δὲ τὸ χρῆμα σπάνιον, οὐκ ἄπιστα τὰ τοῦ θαύματος· ἀκούεις δὲ καὶ τὰς Ἀμαζόνας γυναῖκας, ὅλον ἔθνος, ὅπως ἔργον εἶχον τὸν πόλεμον καὶ ἄνδρας ὄντας οὐκ ἐδεδίεσαν Ἕλληνας, οὓς οἱ περὶ Τροίαν ἄνδρες ὄντες οὐκ ἔφερον. Πενθεσίλεια δὲ καὶ τὴν Ἀχιλλέως μελίαν ἐπιοῦσαν οὐκ ἔτρεσε, καὶ ὁ ἥρως τὴν ἀπὸ γυναικὸς μάχην μᾶλλον ὑπώπτευσεν Ἕκτορος· εἰ δ' ἐκείνας τίθης ἐξ Ἄρεος, καὶ τὴν Ἀταλάντην ἐκ Διὸς ἐγὼ, πρὸς ὃν τὸ γένος ἀνέφερεν· οὐ δὴ πατέρα μὲν λογιστέον τὸν

Ἄρην φιλότιμον, τὸν δὲ Δία πρόγονον ἀφιλοτιμότερον θετέον τοῦ Ἄρεος· ἤρως ἦν ὁ πατὴρ, τὸ δὲ τῶν ἡρώων γένος οἶσθα ὡς ἔφθασε πρὸς αὐτὸ τὸ τῆς ἀνδρείας ἔσχατον· εἰ γοῦν Ἀταλάντη καὶ πλέον τι παρὰ τὰς ἄλλας ἴσχυσε, τοῦ πατρὸς ἦν ἡ παῖς κατὰ τὴν παροιμίαν, καὶ τοῖς ἔργοις ἐδήλου τὸν φύσαντα· ἀνδρῶν ἐκράτει πατὴρ καὶ παῖς παρὰ τὰς ἄλλας ἠνδρίζετο· εἰ δ' ὁ πατὴρ οὐκ ἐδίδου τῷ θαλάμῳ τὴν παῖδα, καὶ πρὸς θήραν ἔχειν ἐπέτρεπε, Δία πρόγονον ἐμιμήσατο, καὶ πρὸς τὸν τῆς ἐκείνου παιδὸς ζῆλον Ἀθηνᾶς καὶ αὐτὸς τὴν παῖδα ὥπλιζεν· οὔτε Ζεὺς Ἀθηνᾶν τὸ, οὔτι σοι τέκνον πολεμήϊα ἔργα δέδοται, προσαπέσκωψεν, οὐδ' ὁ τοῦ Διὸς Οἰνεὺς ἀνδριζομένην τὴν παῖδα ἐπέπληξε· μὴ θαυμάσῃς εἰ τὴν παῖδα ὄρεσι καὶ λόφοις ἐπίστευσεν· οὐδὲ γὰρ ἤδη καὶ παρῆκεν ἀπαιδαγώγητον, ἀλλ' ὡς μὲν ἀῤῥενωπὸν τὴν ἀνδρίαν εἰς θήραν ἐστέλλετο· ὡς δὲ χαρωπὸν τὴν ὄψιν παιδαγωγοῦ ἐφυλάττετο, οὐ γὰρ δῆθεν βαιλέως γε οὖσαν παῖδα τὴν πρέπουσαν παρθένοις φυλακὴν ἀφαιρήσομεν· ἀλλ' εἶχε πολλοὺς τοὺς ἑπομένους τοῖς αὐτοῦ, καὶ πρὸς θήραν μελετῶν καὶ πρὸς ὥρας φυλακήν· ἤδει πρὸς τούτοις ὁ πατὴρ, ὡς ὀρειφοιτᾷ μὲν καὶ Ἄρτεμις, ἀλλ' οὔτ' αὐτὸς ὁ Πὰν, οὔτ' ἄλλος τῶν δαιμόνων τῆς θεοῦ τὴν βίαν ἐθάῤῥησεν· εἴτις ἐπέθετο, τὸ τόξον ἥρκει πρὸς ἄμυναν· παρῆν καὶ νικωμένην ἱππάσασθαι καὶ τὴν βίαν διαφυγεῖν, τὸ δ' αὐτὴν εἰς ἔρωτα πεσεῖν, τοῦτο δὴ γνώμης φαυλοτέρας ἐνόμισε, καὶ ἅμα τοῦ γένους ἀνάξιον, τὴν ἐξ Οἰνέως, τὴν ἀπὸ Διὸς ἄτιμον ἀνθελέσθαι γάμον, καὶ καταισχύναι γένος ὑψηλὸν οὕτω καὶ μέχρι θεῶν ἀναγόμενον, ἐπ' αὐτῇ δὲ ἦν, κἂν ἔπαθέ τι τοιοῦτον, πρὸς τὸ τοῦ γάμου σεμνὸν, ὅτε καὶ βούλοιτο, μετασκευάσαι· οἷς οὖν καιρὸν εἶχε τοῦ γάμου τὴν βούλησιν, ἔρως καιρὸν οὐκ ἐδέχετο· εἰ γὰρ δὴ μὴ τοιαύτην εἶναι δώσομεν, κἂν ἐπ'

οἴκου τὸ κακὸν οὐκ ἀπώκνησεν, ἀλλ᾽ ἔλαθεν ἂν καὶ μητρὸς ὀφθαλμούς· καὶ τῶν Θεραπαινίδων τὰς Θαλαμηπόλους ῥᾳδίως ἂν ἠπάτησεν· ὥστε τί πλέον ἂν ἴσχυσεν εἰς φυλακὴν θάλαμος; ἔστιν ἄρα καὶ θαλαμευομένην οὐ σώφρονα κόρην ἐξ Ἀφροδίτης παθεῖν, καὶ πρὸς Θήραν ἐξιοῦσαν τήν γε σωφρονοῦσαν φυλάξασθαι· τὸ δὲ τῶν ποδῶν τάχος οὐχὶ θαυμάζειν· ὡς ἐπίπαν μὲν γὰρ ἕπεται τῷ τάχει καὶ κάλλος· καὶ τοῦτ᾽ ἂν εἴη φύσεως εὐστοχία καὶ κόσμος ἐπιπλεκόμενος· οὐ γὰρ δὴ τὸ κάλλος ἔδοξε τῇ φύσει ἀρκεῖν, ἀλλὰ καὶ δρόμον προσεχαρίσατο· ἔδει γὰρ ὡς τὰς χεῖρας τῶν ἄλλων διέφερεν, οὕτω καὶ τοὺς πόδας ἔχειν τι πλέον φιλοτιμήσασθαι· ἀνδρεῖος ἦν Ἀχιλλεὺς, ἀλλὰ καὶ ταχὺς οἷος δοκεῖν ἱππάσασθαι. καλὸς ἦν Ἀντίλοχος, ἀλλ᾽ εἶχε καὶ ποδῶν ὀξύτητα, πρὸς μάχην ἕτοιμος ὁ Λοκρὸς, ἀλλὰ δραμεῖν ἑτοιμότερος· ὡς τὰ πολλὰ μὲν οὖν ἡ φύσις ἀρετὴν ἀρετῇ παραζεύγνυσι, καί τις καλὸς εἶναι δοκῶν εἰς τὸ τάχος οὐ λείπεται· εἴη δ᾽ ἂν παιδευτικὸν δρόμου καὶ τὸ γυμνάσιον· ἡ δὲ πρὸς Θήραν εἶχε τὸ στάδιον, καὶ τοὺς πόδας τοῖς ὁσημέραι δρόμοις ἐκούφιζεν· ἢ γὰρ πόθεν ἡ τοῦ μύθου χελώνη τὸν ἵππον ὑπερεβάλλετο, οὐκ ἀπὸ μελέτης, οὐκ ἀπὸ γυμνασίου, ἤγουν φύσεως; φιλοτιμίαν καὶ τοῦτο λογιστέον ἢ θετίον εἰς ἄσκησιν· ἀλλ᾽ ἦκεν ὁ τοῦ γάμου καιρὸς, ἡ δὲ οὕτω τοι πρὸς ἀρετὴν ἤσκητο, ὥστε ἔδνων μὲν ὀλίγα ἐφρόντιζε, γένους δὲ οὐ περιείχετο, μορφῆς δὲ λόγον ἐποιεῖτο βραχὺν, πρὸς μόνον δὲ τὸ τάχος ἔβλεψε· τοῦτο μὲν ὡς ἀπὸ τῆς Θήρας θαυμάζουσα, κἀκεῖ γὰρ ἑώρα τὸ χρῆμα τοῦτο ὁπόσα ξυναίρεται, τοῦτο δὲ καὶ ἀπὸ τῶν ποδῶν τὰς χεῖρας φιλοκρινήσασα, ἢ καὶ πρὸς αὐτὸν ἔρωτα πτηνὸν ὄντα· πτηνοὺς καὶ αὐτὴ τοὺς πόδας ἀντεπεδείκνυτο, ἴσως δὲ καὶ παρθενεύειν ἑλομένη μέχρι παντὸς οὕτω σοφῶς τὸν γάμον ἤλπιζε φεύξεσθαι. Σὺ δὲ τί ποιεῖν ἐβούλου τὴν ἐξ Οἰνέως, τὴν

Digitized by Google

ἀπὸ Διός; ὡς μίαν τῶν ἄλλων ἄγεσθαι, ἀλλ' οὐκ ἦν ἁπλῶς παρθένος· ἀλλ' ἔδνα δέχεσθαι; κόρης ἂν ἦν ταῦτα σκιατραφουμένης, μὴ πρὸς ἀνδρίαν τραφείσης· ἢ τοὺς μὲν ἐραστὰς ἀγωνίζεσθαι, τὴν δ' ἑστάναι καὶ μένειν, ὅστις αὐτὴν [4] εἰς ἆθλον μετὰ τὴν νίκην ἄξεται; ὥσπερ εἰ μὴ χεῖρες ἦσαν αὐτῇ καὶ πόδες παρ' οὐδὲν ἐκείνων λειπόμενοι· ἀλλὰ κηρύττειν τὸν ἀγῶνα καὶ ἅμα αὐτὴν ἆθλον εἶναι καὶ ξύναθλον, καὶ μὴν τοῦτο ποιεῖν [5] καὶ αὐτὴν καὶ ἀποδύσασθαι μὲν εἰς πάλην οὐκ ἐδοκίμαζεν, ἀπρεπὲς γὰρ, ἐλθεῖν εἰς χεῖρας ἐν ὅπλοις οὐκ ἠβουλεύετο, ἀῤῥενοπώτερον γὰρ, ἄλλως τε καὶ φονικὰ ταῦτα καὶ Ἐριννύος μᾶλλον ἢ κόρης ἔργα ἐνόμισεν, εἰ τοὺς ἐραστὰς αὐτὴ μὲν ἀξίφους δέχεται, καὶ φόνον ποιεῖται τὴν γάμου ὑπόθεσιν, καὶ τοῦ καλλίστου πρὸς φιλίαν κτήματος τὸ δεινότατον εἰς ἀπέχθειαν προβάλλεται πόλεμον· οἷς μὲν οὖν ἔτι παρθένος ἦν τὰ παρθένων δηλαδὴ τὸν γάμον ἐκήρυττεν, οἷς δὲ τῶν ἡρωΐδων ἦν τὸ κεφάλαιον, καὶ τῆς ἀνδρίας ἀδελφὸν ἐζήλου Μελέαγρον, καὶ τὸν ἐς τάχος ἀγῶνα τῷ κηρύγματι προσεπέθηκε, μικροῦ καὶ τοιαῦτα λέγειν ὡς ἀπὸ τοῦ κηρύγματος τὴν παρθένον μαντεύομαι. Οἰνέως εἰμὶ παῖς, εἰς αὐτὸν ἀναφέρω Δία τὸ γένος, ἀδελφὸν ἔχω Μελέαγρον, πρὸς ἀνδρίαν ἐτράφην, καὶ φέρω τρόπον ἄῤῥενα κἂν τὴν φύσιν ἔχω θήλειαν, καὶ δεῖ με λοιπὸν ὡς γυναῖκα τὰ γυναικῶν ὑποίσειν, ὅτι καὶ φύσις τοῦτο βούλεται, καὶ ὡς κατ' ἄνδρα τραφεῖσαν καὶ γάμον λαβεῖν ἀνδρικώτερον· οὕτω νομίζω τὴν ἡρωΐδα ταύτην ξυλλογίσασθαι· καὶ ἡ ἐπὶ τῷ τάχει πρόκλησις τῶν ξυλλελογισμένων τούτων ἂν εἴη συμπέρασμα· ἐπὶ τούτοις ἤδει καὶ τὴν ἀδελφὴν Δηϊάνειραν, ὡς πλείους εἶχε τοὺς ἐραστὰς, καὶ ἡ μὲν ἆθλον ἐτίθετο· οἱ δὲ τῶν ἄθλων μείζους Ἀχελῷος καὶ Ἡρακλῆς ὡς ἐπ' ἄθλῳ τῇ κόρῃ διεπυκτεύοντο· ταύτην οἶμαι τὴν

4 Cod. ἂν τήν. 5 Cod. ποιεῖ. et paullo post: εἰς πάλιν.

ἀδελφὴν καὶ Ἀταλάντῃ τοῦ ἄθλου μὲν ἐζήλωσε· τὸ δ' ὡς ἆθλον κεῖσθαι τοῦ ἀγῶνος οὐκ ἐδοκίμασεν, ἀλλ' αὐτὴ καὶ ἆθλον εἶναι καὶ ἀθλητὴς ἐβούλετο, καὶ τὸν ἀγῶνα τοῦτο τὸ μέρος πρὸς τὴν ἀδελφὴν διηλλάττετο, ὅτι καὶ τὴν τροφὴν πρότερον. εἰ δὲ καὶ κοινὴν ἀκούεις τὴν πρόκλησιν, συλλόγισαι ὡς κοινὴ μὲν ἦν, ἀλλὰ πρὸς βασιλεῖς, ἀλλὰ πρὸς ἥρωας, ἀλλὰ πρὸς τοὺς ἀπὸ Διός, οἳ καὶ τύχης ἱκανῶς εἶχον, καὶ πρὸς τὸ ἀνδρεῖον θεοὺς προγόνους ἔχοντες οὐκ ἐλείποντο· περιῆν δὲ αὐτοῖς καὶ κάλλους, οἷον καὶ θεοὺς προγόνους ἐμφῆναι, ὥστ' εἶχον ἂν καὶ τῆς κλήσεως τὸ θεοείκελον· πρὸς τούτοις κοινὰ τὰ τῆς προκλήσεως λόγισαι, εἰ γὰρ μὴ τὸ γένος εἶχον ἀπὸ Διός, εἰ μὴ παῖδες ἦσαν κρατούντων, εἰ μὴ τοῦ τῆς κόρης κάλλους ἄξιοι, τούτοις οὐδ' ἂν τὴν ἀρχὴν οὐδ' ἐπὶ σμικρὸν ὑπανεώγη τὸ στάδιον· τότε γὰρ τὴν ἀπὸ Διὸς τοὺς κάτω τῶν ἀνθρώπων ὑπερβάλλειν οὐκ εἶχέ τι θαύματος, καὶ τὸ ἡττηθῆναι μέγα πρὸς ὄνειδος· καὶ δὴ τῶν ἄλλων μὲν ἐκράτει τῷ τάχει· μόνος δὲ ταύτην Ἱππομένης παρῆλθε σοφίαν τῷ δρόμῳ συγκαταμίξας· οἷς μὲν γὰρ τοῦ κάλλους ἐάλω, τὸν ἀγῶνα δέχεται, οἷς δ' οὐκ ἐπίστευε τοῖς ποσὶ, τὴν νίκην σοφίζεται· εὖ μὲν γὰρ ἐπεφύκει τοὺς πόδας, ἀλλ' ἦν ἔτι τὴν τοῦ κρατεῖν ἐλπίδα ἀμφίβολος, ἐξ ὧν τὸ κρατεῖν ἡ κόρη τοὺς ἄλλους παρείλετο· οὐκοῦν σοφία τὸ τοῦ τάχους λειπόμενον ἀνορθοῖ, καὶ γίνεται σοφὸς ἐραστής· ὁρᾷ τὴν παῖδα, ἱκετεύει ἔρωτα, ζητεῖ τὴν ἐπικουρίαν καὶ τὸ ἐντεῦθεν ἐπιπνεύσαντος ἔρωτος εἰς νοῦν λαμβάνει τὸ σόφισμα, καὶ χρυσὸν λαβὼν εἰς ὀπώρας μετασκευάζει, καὶ ὀπώρα ἔρωτος ξύμβολον, Ἀφροδίτης ἀνάθημα· ταύτην δὴ τὴν χρυσῆν ὀπώραν τὰ μῆλα λαβὼν προκαλεῖται τὴν κόρην εἰς δρόμον καὶ ἅμα ἐξήλλοντο καὶ τῶν χρυσῶν μήλων Ἱππομένης ἠφίει, ἡ δὲ κόρη τὸ καινὸν τῆς μηχανῆς οὐκ ἔχουσα ξυνιδεῖν ξυνελέγετο μέντοι καὶ τοῦ

Digitized by Google

ξυναθλοῦντος ἴσως ποιουμένη κατάγελων, εἰ χρυσὸν οὕτως ἐπιῤῥίπτει δέον τοῖς ποσὶν ἀγωνίσασθαι, τόδε τι θαῤῥοῦσα καὶ μετὰ τὴν συλλογὴν προφθῆναι καὶ δρέψασθαι νίκην χρυσῆν· ᾤετο γὰρ ἂν οὕτω διάδηλα μᾶλλον τὰ τοῦ τάχους ἔσεσθαι, εἰ καὶ παραδράμῃ ξυλλέγουσα· ἐντεῦθεν ἠφίει μὲν Ἱππομένης, ἡ δὲ κόρη ξυνέλεγε, καὶ πρὸς τὸ συλλέγειν ἀποτείνουσα τὸν λογισμὸν Ἱππομένους [6] ἐλείπετο· ἦκεν ἡ κόρη πάλιν ἐγγύτερον, ὁ δὲ τὸν δόλον προεβάλλετο, κἀκείνη πρὸς συλλογὴν ἀπεσχόλητο, ἀλλ' ἐπέτεινεν αὖθις ἐκείνη τοὺς πόδας, καὶ ὁ Ἱππομένης τὰ χρυσᾶ μῆλα κατὰ γῆς αὖθις ἔβαλλεν, ἡ δ' ἀπετρέπετο τῆς ἀπάτης καὶ τοῦ χρυσοῦ· οὔτε γὰρ πάντας τοὺς πόνους Ἱππομένης ὑστέριζε, καὶ τὸ ταχὺ τῆς κόρης ὁ δόλος ἐπεῖχεν ἐντεῦθεν, οὔτε τὰ τῆς ἐπινοίας ἀνόνητα, οὐ γὰρ ἂν ἐς τέλος ἡ ταχύτης ἐπήρκεσεν, οὔτ' αὖθις ἔδει τὴν κόρην ἀκροβολίζεσθαι. ἀλλ' ἅμα τῆς βαλβίδος ἐξήλλοντο. καὶ ἡ μὲν ξυνέλεγεν, ὁ δὲ προέβαινεν, καὶ τῆς κόρης ἠκούσης ἔγγιον ὁ μὲν αὖθις ἐπιῤῥίπτει τῶν μήλων μικρὸν τὴν δεξιὰν προτεινάμενος, ἡ δὲ καὶ πάλιν ξυνέλεγεν· οὕτω καὶ Μήδειαν λαβεῖν Αἰήτης οὐκ ἴσχυσε· τοῦ γὰρ παιδὸς Ἀψύρτου τὰ μέλη προσέῤῥιπτε [7] τῷ πατρὶ κατόπιν ἥκοντι· ὁ δ' ἐπεκλᾶτο πρὸς τῆς φύσεως, καὶ τῶν μελῶν περιείχετο, καὶ τοῦτο πολλάκις γινόμενον τὸν μὲν ὑστερίζειν ἐποίει, τὴν δ' οἴχεσθαι δραπετεύουσαν· ὃ γοῦν ἀνὴρ πρὸς γυναικὸς εἰς δόλον ἡλίσκετο, τοῦτο γυνὴ πρὸς ἀνδρὸς αὖθις ἠπάτηται· καὶ μή μοι λεγέτω μηδεὶς, ὡς εἰ τῇ κόρῃ χρυσὸς ἦν τὸ ποθούμενον, τί μὴ τὰ ἔδνα ἐδέχετο; ἀπάτη γὰρ ἦν οὐ πόθος ἡ συλλογὴ καὶ κόμπος εἰς τάχους ὑπερβολὴν οὐκ ἔργον χρυσοῦ· εἰ δὲ καὶ τῶν χρυσῶν μήλων ἥττηται, τὴν ἥτταν οὐκ ἂν ἐδυσχέραινεν, ἀλλ' ἔχαιρε παρ' Ἱππομένους ὡς Ἀφροδίτῃ πρὸς Ἀλέξανδρον τὴν χρυσῆν

6 Cod. Ἱππομένης. 7 Cod. προσεῤῥίπτει.

ὀπόρευν δεχομένη κάλλους ἔπαθλον· ἔγνω δ' ἂν ἴσως καὶ θερμότερον ἐραστὴν, ὡς μετ' Ἀφροδίτην αὐτῇ τὸ καλὴ δοκεῖν ψηφιζόμενον· εἰ δὲ καὶ τῇ καλῇ τὸ μῆλον ἐκεῖνος ἐπέγραψε τοῦ τάχους ἂν τὴν κόρην ἐξέλυσε, πολλοὶ γὰρ, οἷς πρὸς ἔριν οὐ λείπονται, τούτοις πρὸς χάριν ὑπείκουσι θαυμαζόμενοι· κόρη δὲ καὶ μᾶλλον ἐπαίνοις εὐάλωτος, κἂν εἰς κάλλος θαυμάσῃς, ἠπάτησας· τί δ' ἂν Ἀφροδίτης ἐπιτερπέστερον ὄνομα; ἢ τί πρὸς εὐφημίαν κόρης μᾶλλον ἁλώσιμον· ταῦτα Μουσῶν ἐπίπνοίας ἄξια τίθεμαι, καὶ τούς γε μὴ θαυμάζοντας τῆς τῶν ῥημάτων ἁπλότητος τῆς παρὰ τὸ προσῆκον ἀπειθείας αὐτοὺς οὐκ ἐθαύμασα· ἀλλ' ἰσχυρισαίμην ἂν ταῦτα τοῖς μαινομένοις νοσεῖν· οἱ καὶ πρὸς αὐτὴν αἴσθησιν ἀπομάχονται, φλέγειν, οὐ τρέφειν τὸν ἄρτον ἰσχυριζόμενοι.

Cap. VI.

Γ ν ώ μ η.

Ἐχρῆν δ' εὐθὺς εἶναι τήνδε τοῖς πᾶσιν δίκην,
Ὅστις πέρα τι τῶν νόμων πράσσειν θέλει·
Κτείνειν, τὸ γὰρ κακοῦργον οὐκ ἂν ἦν πολύ.

Ἐμὲ δὲ, εἴ τις ἔροιτο, τίνα δεῖ νομίζειν τὴν τραγῳδίαν, κοινὴν ἂν εἴποιμι παιδαγωγίαν, καὶ τούς γε ταύτην μετιόντας ἰατροὺς ἂν φαίην ἂν ἔγωγε πόλεων. Ταύτην δὴ τὴν ἰατρικὴν ὑπὲρ τοὺς ἄλλους ἐπησκήσατο Σοφοκλῆς· ὅσα μὲν προφυλακτικὰ τοῦ καλοῦ καὶ τῆς ἀρετῆς ξυνεκεράσατο φάρμακα, ὅσα δ' ὑπὸ φαυλότητος πεπονηκυῖαν ψυχὴν αὖθις ἀνεκαλέσατο· αὐτίκα τὸ περὶ τῆς τῶν κακούργων ἐκτομῆς, ὅσην ἐφ' ἑκάτερον κέκτηται τὴν ῥοπήν· ἐπεὶ γὰρ αὐξανόμενον ἑώρα τὸ κακὸν, καὶ πάντα κακούργων μεστὰ καὶ δέος οὐδὲν τοῖς κακουργοῦσιν ἐπῆν, ἠγανάκτησε τῆς ὀλιγωρίας τῶν νόμων, ᾤκτειρε τῆς ἀτοπίας τὰς πόλεις, ὑπερήλγησε τοῦ κακοῦ

καὶ τῆς δίκης, καὶ μέρος τι τῶν ἐν μύθοις ᾀδομένων ἀπολαβὼν ὑφηγεῖται τὸ φάρμακον· Αἰγίσθου διηγεῖται μοιχείαν, καὶ βασιλέως σφαγὴν, εἶτ' ἐπιφέρει τὸν τοῦ πεσόντος παῖδα Ὀρέστην, καὶ τιμωρεῖται μὲν τῆς μοιχείας Αἴγισθον, κολάζει δὲ Κλυταιμνήστραν τῆς ὕβρεως· καὶ παράδειγμα καλὸν ἀποδοὺς οἷς ἔδρασεν ἐπὶ τῆς σκηνῆς, ἀποδίδωσι λόγον ξυνᾴδοντα τοῖς εἰργασμένοις· εἰ γάρ φησι τοὺς καθ' ἕκαστα κακοὺς ὡς νῦν ἐνταῦθα τὸν Αἴγισθον μετὰ τὴν κακουργίαν εὐθὺς τὸ ξίφος ἐδέχετο, οὐκ ἂν αἱ πόλεις οὕτω μικροῦ δεῖν κακουργούντων πόλεις ἐγίνοντο, οὐδ' ἂν τὰ θεοῖς καὶ νόμοις ἀνειμένα χῶρος ἀσεβῶν ἐδόκει καὶ τὸ φαῦλον εἶχεν ἐπίδοσιν. Ἐπαινετέος μὲν οὖν ὁ ἀνὴρ καὶ τῆς ἐπ' Αἰγίσθῳ δίκης καὶ τῆς ἐπὶ Κλυταιμνήστρας σφαγῆς, ἀλλ' οὐδὲν ἧττον τοῦ καλοῦ τούτου παραδείγματος δίκαιον ἄγασθαι· καὶ οἷς ὅπως δεῖ ἐκτέμνειν τὸ κακὸν οὐκ ἐσίγησεν· εἰ γὰρ ἀνεῖλε μὲν Αἴγισθον, ἐσιώπησε δὲ τὴν κοινὴν τῆς κακίας τομὴν ἐπὶ μόνην ἂν ἐδόκει μοιχείαν ὁπλίζειν τὸν δήμιον· νῦν δ' εἰς μέρος μὲν τὸν τῆς θεραπείας ἐπεδείξατο τρόπον, τὴν δὲ τούτου τοῦ φαρμάκου δύναμιν κατὰ πάσης ἄγει φαυλότητος, καὶ ὅσον ἔχει τὸ δραστήριον ἐπιδείκνυται, μόνον οὐ καὶ ταῦτα προσεπιλέγων· γέμουσι κακῶν αἱ πόλεις, καὶ νοσοῦσιν ἀθεράπευτα καὶ κάμνουσι μὴ παυόμενα. καὶ δεῖ τοῦ φαρμάκοις στήσοντος τὸ δεινὸν, ἀλλ' οἶδα τὴν θεραπείαν ἐγώ· πρὸς γὰρ τῆς σοφίας τοῦτο τὸ καλὸν ἀπωνάμην, κἂν οἱ τῶν πόλεων ἐπιστατοῦντες ἐθέλοιτε μαθεῖν, οὐ φθονήσω τῆς θεραπείας, οὐ καθέξω τὸ φάρμακον· ἐγγὺς τὸ παράδειγμα· βαλλόμενος Αἴγισθος καὶ πίπτουσα Κλυταιμνήστρα· οὗτος ἡμῖν τῆς δίκης ἔστω κανών; καὶ τοῦτον τῆς ὑγείας ὅρον τίθεσθε, εἰ μοιχείας τις ἑάλω, μετ' Αἰγίσθου πιπτέτω, εἴ τις θεῷ χεῖρας ἐπέβαλε, κἀκείνῳ τὸ ξίφος ὁ δήμιος· ἔφθασέ τις καὶ πρὸς τὸ τῆς ἀνδροφονίας δεινὸν, αὐτὸ τιμω-

ρὸν ἐχέτω τὸ ξίφος, ὃ μηδὲν ἐγκαλεῖν ἔχων ἐπέσεισεν· ἦλθέ τις καὶ ἐπὶ προδοσίαν πόλεως, ὡς κοινὸς ἀναιρείσθω πολέμιος· λάμβανε καὶ κλοπῆς τιμωρίαν ὁ τοῖς νόμοις ἐφεστηκώς, κόλαζε καὶ τὸν ἐπ' ἀργύρῳ πρεσβείας ποιούμενον, καὶ μὴ διαφυγέτω τὸν δήμιον μηδ' ὁ πρὸς χάριν ἐκκλησίας φθεγγόμενος· ἀλλ' ὅπως τάχιον τὰ τῆς δίκης ἕψεται· μηδὲν ὁ παρὰ τὴν τιμωρίαν διάμελλε,[1] μηδ' ἀνάβαλε τὴν ἐκτομήν, δεῖ σοι καὶ τάχους εἰς ἀναίρεσιν, ἐκφοβήσει καὶ τοῦτο τοὺς κακουργοῦντας οὐχ ἥκιστα, καὶ εἴγε λάθοις ἀναβαλλόμενος, ἔλαθες[2] καὶ τὸ κακὸν τιθεὶς γονιμώτερον. Τοιούτους χρὴ τοῦ ποιητοῦ νομίζειν εἶναι τοὺς λόγους, τὸ γὰρ εὐθὺς τάχος ὑφεῖται καὶ προεπισπεύδει τὴν ἐκτομήν· τί δ' ἂν ἄλλο καὶ τὸ θέλειν[3] ἐπαγόμενον φαίη τις βούλεσθαι· ἐμοὶ δοκεῖ τῇ βουλήσει μετρεῖν τὴν ἀναίρεσιν, κἂν οἷόν τέ φησι ξυνεῖναι τῆς ἐπιβουλῆς πρὶν εἰς ἔργον ἐλθεῖν, ἐκθέριζε τὸ κακόν· φιλοκρινοίη δ' ἄν τις καὶ οὕτω τὴν τοῦ φαρμάκου φύσιν· τῶν φαρμάκων τὰ μὲν προφυλάττει τὴν ὑγείαν, καὶ μέλλουσαν τὴν νόσον φυλάττεται, τὰ δ' ἐπαναλαμβάνεται μεταπεσοῦσαν τὴν φύσιν, καὶ γίνεται τῆς προφυλακῆς ἀπελεγχομένης ἀνόρθωσις· ὁ δὲ τοῦ καλοῦ τούτου ποιητὴς καὶ τῆς ἐκείνου γνώμης καυτὴρ νεύει καὶ πρὸς ἑκάτερον, καὶ προφυλάττει μὲν τὸ μὴ παθεῖν, οἷς οὐδὲν οὔπω τὴν ψυχὴν ἐλυμήνατο· ἀνορθοῖ δὲ τὴν δίκην καὶ πεσοῦσαν ἐπανακαλεῖται, καὶ δέει τοῦ μὴ παθεῖν τοὺς γε τὸν νοῦν ἔτι μὴ καὶ τὴν χεῖρα κλάπεντας ὑπὸ κακίας φυλάξασθαι τὴν ἀπάτην ἠνάγκασε, καὶ ὅπως ἐντεῦθεν ἂν εἴη μαθεῖν, ἔπεσεν ὁ μοιχός, ἤκουσεν ὁ δεῖνα, καὶ τὴν πληγὴν ὑφορώμενος τὰ κακουργεῖν ἐφυλάξατο· ὁ ταῖς ὁδοῖς ἐφεδρεύων ἑάλω καὶ πέπτωκεν, εἶδεν ἕτερος ἐφεστὼς καὶ τὸν νοῦν αὐτὸν πεφόβηται

1 Cod. διάμελε. 2 Cod. ἔλαθε. 3 Cod. θε

μετὰ καὶ τῆς δεξιᾶς, κἂν ἔφθασέ τις αἵματος ἀνθρωπείου τὴν δεξιὰν γεῦσαι, κἂν ἀθέμιτον χεῖρα τοῖς ἱεροῖς ἐπέβαλλε, κἂν ἄλλο τι τῶν οὐχ ὁσίων ἐτόλμησε, καὶ τὸν τῆς δίκης ποίνιμον [4] ἔλαθεν ὀφθαλμόν, ἀλλ' ἐντεῦθεν διδάσκεται, μηκέτι θηριώδη τόλμην τρέφειν ἄνθρωπος κατὰ ἀνθρώπου, μηδὲ θνητὸς ἀθανάτων κατεπαίρεσθαι, μηδ' ἄλλο τι σκαιωρεῖν ἐθέλειν παράλογον. ταχεῖαν οὕτω τὴν δίκην ἐφαλλομένην ὁρῶν, καὶ μέχρι τοῦ θέλειν τὸ ξίφος ἀνατεινόμενον· οὕτω πρὸς πάντας τὸ τοῦ Σοφοκλέους τοῦτο σοφὸν ἴσον φέρει τὸ δέος καὶ ἡ πόλις εὐνομεῖται, καὶ τὴν δίκην ἔχει ξυνέστιον, εἰ δὲ μὴ μέχρι τοῦ θέλειν ἐπέθηγε τὸ ξίφος πῶς ἂν ἐκολάζετο τύραννος μετὰ τὴν τῶν νόμων κατάλυσιν καὶ πόλεως δουλείαν καὶ ἀκροπόλεως ἅλωσιν· καλῶς ἄν τὰ τῆς τιμωρίας ἐλάμβανεν, οὐκ ὀλίγης τῆς τῶν δορυφόρων ὑπούσης φρουρᾶς· καὶ τίς οὐκ οἶδεν, ὡς τυραννίδος σκηπτοῦ δίκην ἐπεισπεσούσης ἐξ ἀκροπόλεως ἐλευθερία μὲν οἴχεται, τὰ δὲ τῆς δημηγορίας ἔφθαρται καὶ διαλέλυται, νόμων δὲ καὶ δίκης οὐδ' ἴχνος τὸ παράπαν περίεστι· τί δὲ ὁ τὴν θρεψαμένην καταπροέμενος ἀποίσεται τὴν ἀξίαν τῆς ἐπιβουλῆς εἰς ἔργον ἠκούσης, καὶ πῶς ὑπὸ τοῖς ἐχθροῖς γινομένης τῆς πόλεως ἐγὰ μὲν οὐκ ἂν εἴποιμι· εἰ δὲ ταῦθ' οὕτως ἔχει, δῆλον ὅτι καὶ πρὸς αὐτὴν ἀντιτακτέον τῆς κακίας τὴν γένεσιν, καὶ μηδὲ τὸ θέλειν ἔστω τοῖς παρανομοῦσιν ἀνεύθυνον, ἀλλ' ἐκτέμνεσθαι καὶ βούλησιν πονηρὰν, καὶ τάχ' ἂν οὕτω καὶ τὸ ἔργον συντμηθήσεται· εἰ δ' ἐάσεις τὴν ἀρχὴν τῆς κακουργίας ἀκόλαστον, ἥξει ποτὲ καιρὸς, καὶ τομὴν οὐ δέξεται τὸ πανούργευμα τῶν νόμων αὐτῇ πόλει συνεκτριβέντων αὐτῷ βήματι· τίς δ' ἂν ἔτι τὰ μοιχῶν οὐχ ὁρῶν εὐθυνόμενα, οὐ συγχέῃ γονὴν, οὐ καταισχύνῃ μὴ προσήκουσαν

---

4 Cod. *πίνοιμον*. De *δίκης ὀφθαλμῷ* vide ad Arsen. Viol. p. 180.

σαν εὐνὴν, ἢ ποῖον τὸν νυκτὸς τοῖς ἱεροῖς ἐπιθέμενον μὴ παραχρῆμα τὴν ἀξίαν δεδωκότα μαθὼν οὐ καταφρονήσει μὲν θεῶν, ὑπερφρονήσει δὲ νόμων, καὶ μετὰ πλείονα αὐτὸς ἐπιθήσεται τῆς σπουδῆς, οὐδ' ἂν ὁ τυμβωρύχος ἀμελήσῃς κατὰ τῶν κειμένων ἀνδριζόμενος, εἰ μηδεὶς εἴη τῆς τόλμης ὑφέξων, οὐδ' ἂν ἀνδροφόνος, οὐδ' ἂν οἱ καθ' ἕκαστα κακουργοῦντες, εἰ μήτις ὑπείργῃ [5] τὸ τῆς κακουργίας ῥεῦμα δίκη καὶ νόμος [6] ἐμφράξων κατὰ τραχοῦς οὕτω φερόμενον, δεῖ γὰρ τὴν τῶν κακῶν ἀρχὴν καὶ τομῆς ἀρχὴν ποιεῖσθαι, καὶ ἅμα ἐκλάμπειν τῆς γνώμης τὸ φαῦλον, καὶ παραυτίκα τὸ τῆς εὐνομίας πῦρ ὑπονέμεσθαι τὰ φυόμενα· οὕτω καὶ γεωργὸς ἐκκαθαίρει τὸ λῄϊον ἔτι φυομένας τὰς ἀκάνθας ἐκριζῶν, πρὶν ἢ κατὰ γῆς ἐρριζῶσθαι καὶ χειρὸς ἀδροτέρας δεηθῆναι τὴν ἐκφοράν· εἶδον ἐγὼ καὶ ἰατρὸν οὐκ ἀδόκιμον, ὃ δ' ἅμα τι τῶν μελῶν ἔθνησκε καὶ τὸν σίδηρον αὐτὸς ἐπῆγε, συνθνήσκειν οὐκ ἐῶν τὰ λειπόμενα, καὶ φυτουργὸς, εἰ κλάδον ὑπαίσθοιτο μαραινόμενον, τὸ πρὸς λύμην ἀφείλετο, δεδιὼς μὴ λάθοι τὸ κακὸν καὶ πρὸς τοὺς τῶν κλάδων ὑγιεστέρους ἐνσκῆψαν καὶ ὅλον τὸ δένδρον ἀντικατοικήσεται· ἔστιν οὗ καὶ κυβερνήτης ὑφείλετό τι τῶν πρωτόνων, καὶ τὰ ἱστία διέῤῥηξεν, εἰ τὸ πνεῦμα βιαιότερον ἐπεισφρήσει, καὶ καταδυομένην ἤδη τὴν ναῦν αὐτοῖς ἀνδράσιν ἐσώσατο· οὐ δὴ καὶ κακουργοῦντος, οὔκουν οὐδαμῶς ἀφεκτέον, εἰ μέλλοι τὸ λοιπὸν τῆς πόλεως σώζεσθαι, ἀλλ' ἐκκαθαρτέον τῆς τῶν ἐνοικούντων λύμης, καὶ τοῦτο τὸ ἔμψυχον λῄϊον· μὴ γάρ μοι μόνον χρησιμευέτω σίδηρος εἰς ἀναίρεσιν ἀκανθῶν, ἀλλὰ καὶ πρὸς αὐτῆς τῆς πόλεως ἀνακάθαρσιν· ἴδε μοι τὴν προὔχουσαν τῆς Ἑλλάδος πόλιν τοὺς Λάκωνας. Παυσανίας παυσάμενος λακωνίζειν παρ' αὐτοῖς ἔπιπτε, καὶ ὁ τοὺς

5 in Cod. scriptum potius videtur ὑπείκῃ. 6 Cod. νόμων.

Digitized by Google

Μήδους καθελὼν, ὅτε τὰ Μήδων ἐφρόνησε, τὰ Μήδων ὑφίσταται· τούτῳ φαρμάκῳ χρησαμένην οἶδα πρὸς θεραπείαν καὶ τὴν τῶν Ἀθηναίων πόλιν· παρεῖδον οἱ στρατηγοὶ τὸν ἐπὶ τοῖς πεπτωκόσι νόμον, καὶ ὁ δῆμος τῶν στρατηγῶν οὐκ ἐφείσατο, ἀλλ᾽ οἷς οὐκ ἀνείλοντο τοὺς πεσόντας, δικαίως αὐτοὶ πρὸς τοῦ δήμου τὸ παθεῖν ἐδυστύχησαν· τί δεῖ λέγειν Αἴγισθον ὡς μοιχὸν ἀναιρούμενον, καὶ Παλαμήδην ὡς προδότην λιθολευστούμενον; οὐκ ἐναριθμῶ τούτοις τὸν Σίσυφον, οὐ λέγω τὸν Τάνταλον, παρίημι τὸν Τιτυὸν, οὓς ὁ μῦθος ἐκόλασε, δέος ἡμῖν ἐντιθεὶς καὶ μετὰ τὴν ἐνθένδε ἀνάλυσιν· καὶ τοῦ κακουργεῖν ὥσπερ ἐντεῦθεν ἐκκρούων· νοῦν δὲ ἐχόντων ἂν εἴη καὶ τὸν σοφὸν Εὐριπίδην ἀγάσαι, οὐ δεινὸν εἶναι τὸ τοὶς εἰργασμένους [7] παθεῖν ψηφισάμενον. Ἐπαινέτεος τῆς σοφίας καὶ Πυθαγόρας, εἰ γὰρ ἅ, φησὶν, εἴργασται [8] πείσεται, τοῦτ᾽ ἂν εἴη νόμων θεσμὸς καὶ δίκης ἀντιταλάντωσις, τί μὴ θαυμάζω κἀκεῖνον τὸν Λάκωνα, ὃς οὐ παντάπασι τὴν πονηρίαν ἀπεδοκίμαθεν, ἀλλὰ πρός γε τοὺς πονηροὺς καὶ ταύτην ἔκρινεν εἶναι τῶν ὅπλων τὸ χρησιμώτατον. Περιαιρετέον ἂν εἴη τῶν πόλεων ἅπαν ὅσον κακοῦργον, καὶ τὸν ποιητὴν ἐπαινετέον τῆς γνώμης, οἷς οὕτω κακίαν δεόντως ἐκόλασεν.

Cap. VII.

Ἡ Θ ο π ο ι ΐ α.

1. *Τίνας ἂν εἴποι λόγους ὁ Ἅιδης τετραημέρου τοῦ Λαζάρου ἀνεγερθέντος.*

Ὦ πάντα πρότερον ἰδεῖν τε καὶ παθεῖν ἐλπίσας ἐγὼ ἢ νεκρὸν ἀφαιρεθῆναι, καὶ κατὰ τὴν ἐκφορὰν ἔπαθον

7 Hec. 1229. *Πολυμ. ὑφέξω τοῖς κακίοσιν δίκην. Ἀγαμ. Οὔκουν δικαίως, εἴπερ εἰργάσω κακά;* 8 Cod. εἴργασθαι.

τὰ ἀνέλπιστα· εἶδον τὰ ἀπροσδόκητα, περιήρημαι τοὺς ἐπὶ τοῖς οἰχομένοις θεσμούς· ὦ μάτην ὑπὸ γῆν κρατοῦντες ἡμεῖς, τίνα ταύτην ἀρχὴν ἄρξομεν, εἰ κατὰ τὸ λαβεῖν ἀφαιρούμεθα, καὶ κατέχοντες εἰς τέλος οὐκ ἔχομεν· ψυχὴν ἀπέσπασα σώματος, καὶ τὸ κρατεῖν ἤδη θαῤῥῶν παρ' αὐτὴν ἤδη τοῦ κρατεῖν ἀκμὴν τὸ κράτος ἀποσεσύλημαι, καὶ νεκρῶν ἔχων τὴν ἀρχὴν τοῖς γε περιοῦσιν ἔτι περιυβρίζομαι· πόθεν ὁ καινὸς οὗτος ἡμῖν ὁ πόλεμος; τίς θνητὴν ἔχων φύσιν θανάτου κατηλαζονεύσατο; τίς ἐς Ἅιδου μέλλων ἐλθεῖν αὐτὸν Ἅιδην ἀπήλεγξεν, ἀλλ' οἶδα, πόθεν ὁ πόλεμος, ἤδη ξυνῆκα τοῦ βάλλοντος· ἐξ Ἰουδαίων αὖθις βάλλομαι, ἐκεῖθεν αὖθις ἔχω τὸν πόλεμον· Ἑλλήνων ἄρχω, Ἀσσυρίων ἐκράτησα, ἐμοὶ καὶ Περσῶν ὀφρὺς καταβέβληται, καὶ Μῆδος ἀλαζὼν οὐκ ἀντέτεινε· τί μὴ λέγω τῶν ἐθνῶν ὡς ἕκαστα πάντα οἴδασι τοὺς κατὰ γῆν νόμους καὶ δέχονται· καὶ κατὰ τὸ θανεῖν οὐκ ἔστιν ὅστις ἐκείνων παρεβιάσατο, ἀλλ' εἰς τὴν γένεσιν ἐλθόντες ὑποπτεύουσι τὴν ἀνάλυσιν, καὶ προσιούσης οὐκ ἀντιτείνουσι· μόνοι τῶν ἁπάντων Ἰουδαῖοι βιοῦσι καὶ θνήσκοντες· τοῦτο τὸ γένος ἔχω πολέμιον· ὑπὸ τούτων ὁ μάτην ἐγὼ αὐχῶν τῶν ὑπὸ γῆν κρατεῖν ἀπελέγχομαι· ἦκε παρὰ τὸν βίον Ἐλισσαῖος προφήτης, Ἰουδαῖος ἄνθρωπος, καὶ θνήσκοντας, ὡς εἰπεῖν, λόγῳ μόνῳ ἀφύπνιζε· τὸ δὲ δὴ μεῖζον καὶ παρ' αὐτὴν τελευτὴν κατεγέλασε τελευτῆς· ἅπνους ἥψατο παρακειμένου νεκροῦ, καί μου τῶν χειρῶν μέσων ἀπέσπασεν, ὃν ἐγὼ τοῦ σώματος πρότερον οἶδα καὶ τὸν ἐκείνου διδάσκαλον, καὶ κατεγέλα μου τῆς ἀρχῆς, καὶ τελευτῶν ἔφυγε τελευτὴν, ἣν ἅπας εἶδε γενόμενος· τούτων ἀπόγονος ὁ νῦν οὗτω πολέμιος, οὗτός μου τὴν ἀρχὴν παρεσάλευσεν, οὗτος ὑπὲρ τοὺς ἄλλους ἀνέλυσε τὴν ἀνάλυσιν καὶ κειμένους οὐκ ἐᾷ, καὶ πεσεῖν μέλλοντας οὐκ ἀφίησεν· ἐπαφίημι πρὸς τελευτὴν τὸ βέλος ἐγὼ, καὶ ὁ

Digitized by Google

τρωθεὶς ἀλγεῖ τὰ ἔσχατα· ὁ δ' εὐθὺς ἐπαπειλεῖται τῇ νόσῳ, καὶ παραχρῆμα οἴχεται δραπετεύουσα· εἰς βάθος ἕτερον βέβληκα, ὁ δὲ πάλιν τῆς ὁρμῆς τὸ βέλος ἐξέκρουσεν· ἤδη τις ἐβλήθη καὶ πέπτωκεν; ὁ δ' ἀντετάξατο, καὶ τελευτὴν ἔφυγε νόμους ὁ δεξάμενος τελευτήν. καὶ φῶς εἶδε κατὰ φωτὸς ἀποβολὴν καὶ στέρησιν σώματος· οὗτός με καὶ νῦν βάλλει καὶ τέτρωμαι, καὶ τῆς βολῆς ὁ τρόπος ὡς ἄῤῥητος οὐκ ἐπὶ κλίνης κείμενον ἤγειρεν, οὐ παραπαίοντα ἐσωφρόνισεν, οὐχ ἁπλῶς ἄνθρωπον τεθνηξαντα ἐζώωσεν, ἀλλ' ἄνθρωπον οἶμοι νεκρὸν ἐν Ἅιδου χρονίσαντα· ἔβαλλον τὰ καίρια καὶ πέπτωκα· ἀπέσπασα τοῦ σώματος, ὁ δ' οὐκ ἀντέτεινεν· ξύμμαχον ἥκειν ἔφασκε καὶ πληγάς μοι προσαπεμαντεύετο· ἐγὼ δὲ ἐποιούμην κατάγελων· καὶ λήρους οὖν πάντας ἐνόμιζον· ἐπυθόμην καὶ τίς ὁ ξύμμαχος. ὁ δὲ τὸν Ἰησοῦν ἔλεγεν, ἤκουσα καὶ μόνον τὴν κλῆσιν καὶ τὸ ἐντεῦθεν ὑπώπτευον τὴν ἀφαίρεσιν· παρῆλθεν ἡ πρώτη καὶ ὁ μὲν ἐθαύμαζε τὴν ἀναβολὴν, ἐμοὶ δὲ πάλιν τῆς ὑποψίας οὐκ ἔλιγεν· ἦκεν ἡ μετ' αὐτὴν, καὶ ὁ μὲν εἰς ἐλπίδα ἦν τὸν φίλον ἥξειν ποτὲ καὶ βιώσειν, τὸ δεύτερον ἰσχυρίζετο καὶ πάλιν ἐμὲ τὸ δέρος ἐλάμβανε· μικροῦ τέτταρας ἡλίους [1] οὐκ εἶδεν ὑπὸ γῆν καταδὺς καὶ προσεδόκει τὴν ἀναβίωσιν· ἤδη τι καὶ τοῦ σώματος ὄδωδεν καὶ τὰς τῶν μελῶν ἁρμονίας ὁ χρόνος διέσπασεν· ὅλος φύσεως δεσμὸς διελύετο· ἐντεῦθεν τὴν εἰς τὸ σῶμα δευτέραν μετοικίαν ἐπέγνων ἐγω, καὶ τέλος τὴν ἐπαγγελίαν οὐκ ἤλπιζον δέξασθαι· ἀλλ' ὦ τῆς ἀθρόας ἐπιβουλῆς, ὦ τῆς ἐξαίφνης ἐπιθέσεως, ἦκεν, ἐδάκρυσε καὶ δάκρυον ἰδὼν τὸ πάθος ἀνθρώπινον καὶ τὸ μηδέν τι παθεῖν ὁ δείλαιος ἐντεῦθεν ἐθάῤῥησα· ὁ τάφος ἀνέῳγεν, ἐγὼ δὲ οὐκ εἰς νοῦν ἔτι τὴν μάχην ἐλάμβανον, τὸ γὰρ ἤδη λελύσθαι τὸ σῶμα κἀμὲ

1 Cod. ἡλίου.

τοῦ δέους ἐξέλυε καὶ θαῤῥεῖν ἐποίει μηκέτι ψυχὴν καθέξειν δυνήσεσθαι· ἐλογιζόμην τοὺς ὅσοι κατὰ τελευτὴν βεβιώκασι, καὶ μετὰ πρώτην ἡμέραν εἰς τὸ παντελὲς κειμένους ἅπαντας εὕρισκον· ὁ δὲ, ἃ γῆς καὶ Ἅιδου νόμοι καὶ θεσμοὶ φύσεως, ἀνεβρίξατο,[2] ἐπέταξεν, ἐπηπείλησεν, καὶ τὴν ἀπειλὴν οὐχ ὑπήνεγκα· ὁ δέ μου τῶν χειρῶν ἀπέπτη, καὶ τὸ σῶμα ἐνέδυ, καὶ ὁ πολὺς ἐκεῖνος χρόνος ἐλέγχετο, καὶ τὸ τοῦ σώματος παρειμένον καὶ αὖθις ἐδέχετο σύνδεσμον, ἆρα δέξομαί ποτε τὸν πολέμιον τοῦτον εἰς χεῖρας ἐγώ; ἀρά ποτε κρατήσω τοῦ βάλλοντος; μανθάνω τοὺς λοιποὺς Ἰουδαίους ὁπλίζεσθαι καὶ τάχα τοῦτο τὸ μέρος οὐκ ἀτυχήσομαι· πολλοὶ γὰρ τὴν ἀρχὴν ἐθρασύνοντο μὲν καθ' ἡμῶν, ἀλλ' ὕστερον ἥττηνται καὶ πεπτώκασιν, ἀλλ' οἷμοι πάλιν ὑποπτεύω τὸ μέλλον, δέδοικα μὴ καὶ θεὸς ᾖ, κἂν θνητὸς τὸ φαινόμενον· οὕτως ἐγὼ θαῤῥῶ τὸ φαινόμενον καὶ τρέμω τὸ κηρυττόμενον.

2. *Τίνας ἂν εἴποι λόγους εἰς τάχος ἀπολειφθεῖσα Ἀταλάντη[1] ὑπὸ τοῦ Ἱππομένους χρυσῶν μήλων ἀπάτῃ καὶ προσαγομένη.*

Δέχομαι τὴν ἥτταν μεθ' ἡδονῆς, οὐ δυσχεραίνω τὸν γάμον Ἱππομένους, μετ' Ἀφροδίτης τοὺς πόδας πεπέδημαι, οὐ ῥόδῳ μὲν ἐμπαγεῖσα, μήλων δὲ χρυσῶν ἡττηθεῖσα· μετὰ Δανάης ὑπὸ χρυσοῦ τὸ παρθενεύειν ἀφῄρημαι, χρυσὸς εἶλεν ἐκείνην διὰ τοῦ ὀρόφου ῥυεὶς, χρυσὸς εἶλε κἀμὲ διὰ τοῦ σταδίου ἐπαφεθεὶς, αὐτοῦ Διὸς τοῦτο τὸ σόφισμα, οὐ σὸν, Ἱππόμενες, τὸ μηχάνημα, Ζεύς με πρῶτον εἶλεν, εἶτα χρυσὸς, σὺ δὲ τρίτος μετὰ Δία, μετὰ χρυσόν· ἀπὸ Διὸς ἔχω τὸ γένος, τοιγαροῦν

2 Fort. *ἀνεβράξατο*, vel *ἀνεβρυχήσατο*.

1 Cod. *Δανάη*, error natus sine dubio ex verbis, quae paullo post initium leguntur: *μετὰ Δανάης ὑπὸ χρυσοῦ τὸ παρθενεύειν ἀφῄρημαι.*

Digitized by Google

ἀπὸ Διὸς καὶ νενίκημαι· Ζεύς με πρόγονος εἰς γάμον ἄγει καὶ κομίζει τὰ ἔδνα χρυσᾶ, δεῖ με λοιπὸν πείθεσθαι, ἅλις ἔχω παρθενίαν, ἐφ' ἱκανὸν Ἀρτέμιδι ξυνεθήρευσα, [2] μετατάξομαι καὶ πρὸς Ἀφροδίτην καὶ ξυνθαλαμεύσομαι, ἐπεθώυξα τὰ κυνηγητικὰ, ᾄσομαι καὶ τὰ ἐπιθαλάμια· ὑπὸ πλάτανον ἢ πίτυν ἀνεκείμην ὀρειτροφουμένην· ὑπὸ παστάδος νῦν ἀνακείσομαι, σκηνὴν Ἀφροδίτης ἔρωτος ὄροφον, οὐχ ὑμνήσω τόξον Ἀρτέμιδος, ἀλλ' ἔχω τόξον ἕτερον ἔρωτος· οὐ παντελῶς τὴν τοξικὴν περιῄρημαι, ἔχω καὶ πάλιν τοξότην θεόν, τούτου τὰ βέλη τιμήσω· τοίτῳ καὶ συστρατεύσομαι· ἤσκημαι τοὺς πόδας εἰς δρόμον, οὐκοῦν πτερωτὸν ἔχω καθηγητὴν τὸν μέγαν δυνάστην τὸν ἔρωτα· πεπείραμαι τῶν τούτου βελῶν, εἶδον τὸ τάχος, οὐκ ἀγνοῶ τὸ πτερὸν, ταχεῖα μὲν ἐγὼ καὶ τοὺς πόδας τούτους δὴ τοὺς ἐμοὺς οὐ λαγωὺς ὑπερεβάλλετο, οὐ παρέδραμεν ἔλαφος, ἄνδρας δὲ πολλοὺς μὲν ἐκάλει πρὸς ἀγῶνα τὸ κάλλος, ἀλλ' ἀπράκτους αὖθις ἠφίει τὸ τάχος· παριππεύειν ἁπλῶς ἐδόκουν τοὺς παραθέοντας, ἀλλ' ἦκεν ἔρως Ἱππομένει συστράτηγος, καὶ παραυτίκα κατεστρατήγημαι· αἰσθάνομαι τῆς ξυμμαχίας, ξυνῆκα τῶν βελῶν, χρυσῆς Ἀφροδίτης παῖς ὁ ἔρως, καὶ χρυσοῖς ἔβαλλεν μήλοις· ταῦτα γὰρ ἔρωτος βέλη, τάχα που καὶ τοῖς πτεροῖς Ἱππομένει συνανεκούφιζεν· ὦ σόφισμα σύνθετον καὶ πανταχόθεν ἀφροδίσιον, μῆλον ὡς ὀπώρα ἔρωτος, χρυσὸς ὡς θεοῦ χρυσοῦν ἀνάθημα· πόθεν οὕτω καλὸν ἔδρεψας μῆλον Ἱππόμενες; ποῖον σοὶ φυτὸν τὴν χρυσῆν ὀπώραν ταύτην ἐδρέψατο; μήπω σοι τὸ τῆς μητρὸς ἐκεῖνο μῆλον ὑφελόμενος ὁ παῖς ἔρως ἢ Ἄϊδρα ἐκόμισε. γνώσομαι εἰ τῇ καλῇ τὸ μῆλον ἐπιγέγραπται, ἀλλὰ τί δεῖ μοι σκιᾶς καὶ γραμμάτων; αὐτόθι ἐγὼ καλή σοι δοκῶ, καὶ τὸ ἆθλον τοῦ κάλλους ἔχω, ὡς Ἀφροδίτη πάλαι πρὸς Ἀλεξάνδρου· τοιγαροῦν ἦκέ μοι

2 Cod. ξυνετήρευσα.

δεῦρο πρὸς θάλαμον, ὡς ἐκεῖνος εἰς Λακεδαίμονα, καὶ λάμβανε παρά μου τὴν εὐνὴν, ὡς πρὸς Ἀφροδίτης τὴν Ἑλένην Ἀλέξανδρος.

3 Τίνας ἂν εἴπῃ λόγους ὁ Ἡρακλῆς χρησμὸν λαβὼν ἐκ Διὸς, ὡς ὑπὸ νεκροῦ μέλλει ἀναιρεθῆναι.

Τί φῃς, ὦ πάτερ πρόμαντι Ζεῦ, νεκρός με δείξει νεκρὸν, πρὸς ἀνδρὸς ἤδη κειμένου βαλλόμενος κείσομαι; περιὼν ἑστὼς καὶ χεῖρας ἔχων ἐγὰ τὸν μηκέτ' ὄντα φοβήσομαι; ἀξύνετον τὸ μέλλον· ἀπίθανος ὁ χρησμός· πρὶν ἢ πυθέσθαι Διὸς ἠγνόουν τὴν τελευτήν· νυνὶ δὲ μαθὼν ἀγνώστερος γέγονα· καὶ δεῖ μοι πάλιν ἑτέρου χρησμοῦ· λοξὰ γάρ μοι πάντα καὶ μαντείας δεῖται· δευτέρας μήπου πεπλάνημαι, καὶ πρὸς Ἀπόλλωνος ἥκων ἐκ Διὸς ἦκειν δοκῶ· Ἀπόλλωνος ἐγὼ ταύτην λοξίου τίθεμαι, οὕτω πολλὴ νὺξ ἐπικέχυται τῷ χρησμῷ· τοσοῦτον ἐπιφέρεται γνόφον ἡ πρόρρησις, τίς μοι τὴν νύκτα ταύτην περιαυγάσει; τίς ὑπαναπτύξει τὸ αἴνιγμα; πόθεν ἡ καινὴ παράταξις αὕτη; τίς ὁ παράδοξος οὗτω πόλεμος; ἀγνοῶ τὸν τρόπον τῆς μάχης, οὐ ξυμβάλλομαι τὸν πολέμιον, κατασυστάδην μαχεῖται νεκρὸς, ἐπιόντα δέξεται δόρατι, ἀλλ' ἀπὸ τόξου ποιήσεται τὴν παράταξιν· ἀναφανδὸν ἐπιθήσεται, ἀλλ' ἐξ ἐνέδρας ἐπεισπεσεῖται, καὶ δόλῳ περιέσται καὶ τὴν νίκην σοφίσεται; ποίοις ταῦτα λογισμοῖς, ποίαις χερσὶ, Ζεῦ καὶ χρησμὲ καὶ δρὺς μαντικὴ, ει χεῖρας εἶχεν οὐκ ἂν ἠπίστευσα τὴν παράταξιν, εἰ πόδας ἐδεξάμην ἂν καὶ τὴν ἔφοδον, εἰ δὲ μὴ καὶ φρενῶν αὐτῶν ἀπεστέρηται, δόλον ἂν προσυπώπτευσα, νῦν δ' ἀλλὰ ταῦτα πάντα μάχης μὲν ὄργανα καὶ νίκης ἐχέγγυα· τῷ δὲ νίκη μὲν ἔσται, τὰ δὲ τῆς νίκης ἐπιλελοίπασι, καὶ μὴ φέρων ὅπλα κρατήσει, καὶ κείμενος ἀντιτάξεται· τίς ποτε νεκρὸν ἐπτόηται, τίς εἶδε πολέμιον ἄψυχον, ἠγωνισάμην πρὸς γίγαντας, καὶ μετὰ τὸ

Digitized by Google

πεσεῖν μηδεὶς ἀντετάξατο· ἀπέκτεινα λέοντα καὶ πεσὼν οὐκ ἐφόβησεν· ἅπασαν ἐκάθηρα γῆν, καὶ μετὰ τὸ πεσεῖν τὸ πολέμιον ὁ πόλεμος ἔπιπτε· νῦν δ᾽ ἀλλ᾽ ἕτερος ἀγὼν οὗτος καινότερος, καὶ τὸ τοῦ πολέμου τέλος ἐφ᾽ ἅπασι· νῦν ἔσται μοι μάχης ἑτέρας ἀρχὴ, καὶ τοῦτό με διαθήσει νεκρὸν, ὃ μηδεὶς τῶν ἔτι περιόντων ἴσχυσεν· ὦ χεῖρες καὶ τόξον καὶ βέλη, ὦ πολέμιος οὗτος βάλλων καὶ κείμενος· ὁ νεκρὸς οὗτος ἀήττητος ποῖ ποτε γῆς ἔτι περιὼν ἐλάνθανεν, ὅτε τὴν γῆν ἐξεκάθαιρον· εἰ δ᾽ ἔφθης ὑπὸ γῆν οἰκεῖν παρὰ τῷ Πλούτωνι, τί μὴ περὶ τὴν ἐμὴν εἰς Ἅιδου κάθοδον τὴν ἰσχὺν ἐπεδείκνυσο· καὶ νεκρὸς ἐχαρίζου τῷ κρατοῦντι νεκρῶν, καὶ παρ᾽ αὐτὴν βαλλόμενος τὴν μάχην ἐπήμυνας· οὐκ ὤμην ἐγὼ ξίφος ἔτι καὶ δεξιᾶς ἔργον κήδεσθαι μετὰ τοὺς ἐν σπαργάνοις δράκοντας, μετὰ τὸν Νεμεέα [1] λέοντα, μετὰ τὴν ὕδραν ἐκείνην, μετὰ τοὺς κενταύρους, μετὰ τοὺς γίγαντας, μετὰ τὴν τῆς ὅλης γῆς ἀνακάθαρσιν, ἀλλ᾽ αὐτὸν οὐρανὸν ἀλλάξασθαι τῆς κάτω διατριβῆς, καὶ τοῦ λοιποῦ ξύνοικον εἶναι θεοῖς. ἀλλ᾽ ὁ χρησμὸς μετὰ καὶ τοῦ Διὸς ἀπονεκροῖ μου τὰς ἐλπίδας, οἷς νεκρὸν ἐπεγείρει πολέμιον. ὑπὸ γῆν ἦλθον, αὐτὸν Ἅιδην ἐχειρωσάμην, εἷλον τὸν Κέρβερον, γῆς ξυνέμιξα [2] πέρασιν, ὅλα θαλάττης ἐξέκοψα δείματα, μάχην τοῖς ἄνω ξυνῆψα θεοῖς· εἶδε ταυτηνὶ τὴν δεξιὰν Ἄρης ὁπόσα παρὰ τὴν μάχην δεδύνημαι· ἐγεύσατο καὶ Ἥρα τούτων τῶν βελῶν, καὶ σὺ δὲ, ὦ πάτερ, ἀπεπειράσω μου τῶν χειρῶν, καὶ τῆς ἀλκῆς τὸν παῖδα οὐκ ἐμέμψω· ἔπειτα καθελεῖ τὸν σὸν Ἡρακλέα νεκρὸς καὶ τεθνεὼς ἀπελέγξει τὸν καὶ θεῶν ἀθανάτων κρατήσαντα, τὸν ἐκ Διὸς τριέσπερον [3] ὁ τὸ πᾶν ἐξ Ἅιδου καὶ τῶν ἐκεῖθεν νόμων ἐσπέριος, ὁ τὴν τύχην ἀλαμπὴς καὶ τὸν γνόφον οἰκεῖν λαχὼν μὴ παυόμε-

1 Cod. νομέα. 2 Cod. ξυνέμμιξα. 3 Vide ad Georg. Pachym. Progymn. c. 6.

Digitized by Google

νον τὸν ἐξ οὐρανοῦ καὶ τῆς ἐκεῖθεν αἴγλης τὴν τῆς γονῆς ἀπορρόην εἰσδεξάμενον· οὐ δέχομαι ταῦτα, οὐ πείθομαι· ἦπου, Ζεῦ πάτερ, εἰρωνεία ταῦτα καὶ γέλως πλατύς· καὶ παιδὸς εἰς παῖδα σωφρονισμός, ἵνα μικρόν μοι τῆς ὀφρύος ὑφέλῃς καὶ μὴ δόξω πάντα κρατεῖν οἷς μέχρι καὶ θεῶν τὴν μάχην ἐθάρρησα, ἀλλ' οὕπω κοῦφος ἐγὼ καὶ φρονῶ τὰ ὑπέροχα· σοῦ, πάτερ, ἐπεγραφόμην τὰ τρόπαια· μετὰ τῆς ἀδελφῆς Ἀθηνᾶς ἐτέλουν τοὺς ἄθλους, πατρόθεν ἔχω τὸ καλλίνικον, διόθεν μοι καὶ τὸ ἀλεξίκακον, οὐδὲν ἐπῆρέ μοι τὴν ὀφρῦν, μᾶλλον μὲν οὖν καὶ τοῦ γένους πάντα τίθεμαι δεύτερα, ἤ τί σοι καὶ βούλεται τὸ χρησμῴδημα, νεκρὸς ἄψυχος, νεκρὸς ἀληθῶς μένει πολέμιος, ἢ νεκρὸς οὐκ ἐκεῖνος ἔσται καὶ περιών· ἄτε τὰς χεῖρας ἀπόλεμος, ἀμφοτέρωθεν ἀμήχανος ἡ τελευτή, εὔπορος ὁ χρησμός, γένοιτο δέ μοι, ὦ Ζεῦ πάτερ καὶ ἀδελφὴ πρόμαχος Ἀθηνᾶ, εἰς καλὸν ἐκβῆναι τῆς τύχης, καὶ δεξαίμην καὶ τελευτὴν ἀξίαν μὲν τοῦ γένους, ἀξίαν δὲ τῶν τροπαίων.

4. *Τίνας ἂν εἴποι λόγους ὁ Αἴας ἰδὼν ἐν Ἅιδῃ τὸν Ὀδυσσέα μετὰ σώματος.*

Ὀδυσσεὺς οὗτος ἐνταῦθα μετὰ σώματος, ἢ διέστραπταί μοι τὰ τῆς ὄψεως αὖθις καὶ μαίνομαι; καὶ μὴν οὐκ ἔστι νοσεῖν, ὅτε μὴ τὸ σῶμα περίεστιν· ἐγὼ δὲ καὶ περιὼν ἔτι τοὺς λογισμοὺς ἀπέβαλον, καὶ πρὸς καιρὸν τῷ ξίφει χρησάμενος τῆς αἰσχύνης ἐμαυτὸν αὐτῷ σώματι προσαπέλυσα· οὐκ ἔστι ταῦτα οὐκ ἔστι μανία καὶ φρενῶν παραφορὰ, οὐκ ὀφθαλμῶν διαστροφαὶ, οὐ πολέμιος Ἀθηνᾶ, Ὀδυσσεὺς οὗτος ἀληθῶς, Ὀδυσσεὺς ὁ θεοῖς ἐχθρὸς, ὁ πανοῦργος, ὃν ἐγώ ποτε μέσων ξιφῶν ἁφήρπασα Τρωϊκῶν· τοιγαροῦν αὐτὸς εἰς ξίφος ἔπεσον· τοιαῦτά μοι τὰ λύτρα ἀπέδωκεν· ἀλλὰ πῶς ἐν Ἅιδου μετὰ σώματος παράδοξος ἡ κάθοδος, ἦπου δόλῳ παρῆλθε

τὸν Κέρβερον, ἧπου τὸν Ἑρμῆν παρεκρούσατο, ἂν τοῖς δόλοις αὐτὸς ἐπεγράφετο· ὦ τῆς ἀπάτης καθηγητὰ καὶ δόλων πάτερ Ἑρμῆ, ὁ σὸς παρῆλθέ σε μύστης· ὅλον σου τὸ δόλιον ἀπεσύλησεν, ἀμήχανον κακὸν Ὀδυσσεὺς μικρὸν εἰς ἀπάτην ἐλεῖν ἄνδρας ἐνόμισεν· οὐκοῦν ἐπ' αὐτόν σε τὸν διδάσκαλον μεταφέρει τὸ σόφισμα· παρῆλθέ σου τὴν ῥάβδον, παρῆλθε τὸν Κέρβερον, οὐχ ὑπώπτευσε τὸν Αἰακὸν, καὶ νῦν ἐν Ἅιδου διάγει καὶ πολυπραγμονεῖ τὰ ὑπὸ γῆν, ὧ πάντα δόλον πράττων ἄνθρωπε, κινδυνεύω μηκέτι δυσχεραίνειν τὴν κρίσιν, μηκέτι μέμφεσθαι τοὺς Ἀτρείδας, ἔργον σοι τῆς ἀπάτης κἀκεῖνοι γεγόνασι καὶ πρὶν ἢ τῶν ὅπλων ἐμὲ τῆς δίκης ἐκείνους ἐκβέβληκας· ἀλλ' οἶμοι καὶ τὰ ὅπλα ἐπενδέδυται, καὶ φέρει ξίφος ἐν χερσὶν, ἐφ' ᾧ κατὰ τῆς πλευρᾶς ξίφος ἕτερον ὤθησα· τί μοι τὸ ξίφος ἐνταῦθα ἐπισείεις, τί τὰ τῆς ἀνδρείας ἐν νεκροῖς ἐπιδείκνυσαι, εἰ χεῖρας ἱκανὰς εἶχες ἀποχρῆσθαι τῷ ξίφει, τί μὴ μετὰ τὴν ἄδικον ψῆφον ἐκείνην ἔτι μου περιόντος τὴν ὄψιν ἐθάρρεις, καὶ τὸ ξίφος ἐπέσειες· τάχα που καθ' ἡμῶν καὶ τοῦτό σοι μεμηχάνηται, ἵνα καὶ σώματος λυπήσῃς γυμνὸν, ὃν ἔτι λυπεῖν οὐκ εἶχες ἐν σώματι, καὶ θεάσομαί σε τοῖς ἐμοῖς ὅπλοις ἐν Ἅιδου κοσμούμενον, ὃν ἔτι περιὼν ἄνω βλέπειν οὐκ ἔφερον· Παλάμηδες, Ὀδυσσεὺς ἐνταῦθα, ὁ κοινὸς ἐχθρὸς, νόθος ἐν νεκροῖς ὑποδύεται, λαβὲ δίκας τῶν λίθων, οὓς σοι δι' αὐτῶν πολλοὺς ἐπαφῆκε. τὸ στράτευμα πάρελθε, διαμήνυσον Αἰακῷ τὴν ἐπιβουλὴν, προσκάλεσαι Μίνω Ῥαδάμανθυν. καὶ τάχα καὶ λίθον ὡς ἄλλος Τάνταλος λήψεται τῶν πολλῶν ἐκείνων λίθων ἀντίποινον· συγχέει καὶ ταράττει τοὺς κάτω δεσμοὺς, ἤδη πρὸς φῶς ἄξει πάντα τὰ ὑπὸ γῆν, κοινώσεται τὰ ἀπόῤῥητα, καὶ τοῦτο γενήσεται τοῖς κάτω θεοῖς, ὅ τοῖς ἐν οὐρανῷ Τάνταλος, δέδοικα μὴ προσαπειλῆσαι τὸν Κέρβερον· τὰ τοῦ Ταντάλου τετόλμηκε· τοι-

Digitized by Google

γαροῦν ἐπὶ κεφαλῆς ἐχέτω τὸ ἄχθος Ταντάλειον, τὰ Σισύφου πεπανούργευκεν, οὐκοῦν παρὰ τῷ Σισύφῳ δεδέσθω, γενέσθω τὴν δίκην ὡς καὶ τὸν δόλον ἕτερος Σίσυφος· ἀλλ' εὖγε ξυνῆκα τῆς τόλμης ξυνορῶν τὸ μηχάνημα· Σισύφου παῖς ἐστιν Ὀδυσσεύς, Σισύφου παῖς ἀληθῶς, πρὸς ἐκεῖνον ἄγει τὸν ζῆλον, αἰσχύνεται τοῦ πατρὸς ἐπὶ δόλοις φέρειν τὰ δευτερεῖα, καὶ δεύτερα εἰς ἀπάτην τῶν κάτω θεῶν· ὥρμησε μετὰ τὸν πατέρα ὁ παῖς, μετὰ τὸν Σίσυφον Ὀδυσσεύς· πρὸς πατρὸς καὶ παιδὸς ἀμφοτέρωθεν Ἅιδης ἠδίκηται, πατρὸς ψυχὴν ἐκ μέσου κευθμῶνος ἀποβαλὼν καὶ παῖδα μήπω τὸ σῶμα ἐκδύντα δεξάμενος· ὁ μὲν περὶ τὴν ἄνοδον ἐκακούργησεν, ὁ δὲ περὶ τὴν κάθοδον αὖθις ἠσέβησεν· Ἡράκλεις ὑβρίζει σου τὸ τρόπαιον, μεθ' Ἡρακλέα τὸν Διὸς παῖδα ὁ Σισύφου παῖς Ὀδυσσεὺς παρῆλθε τὸν Κέρβερον· προσεπιφέρεται καὶ ξίφος ὡς αὐτὸς τότε τὸ ῥόπαλον, ὡς τάχα καὶ πλήξων, εἰ δείσει, τὸν Πλούτωνα· ὦ πάντα δυστυχὴς ἐγώ. ὅτε τὸ τόξον ἐλάμβανον ἔχαιρον, ὡς μηκέτι Ὀδυσσέα ὀψόμενος, ἀλλ' οὔτε μὴν τῆς μανίας, οὔτε τῶν ὅπλων ᾤμην εἰσέτι με μνήσασθαι· τὸ γὰρ τῆς λήθης πόμα ταῦτα προσαφελέσθαι παρασκευάζει· νῦν δ' ἀλλὰ καὶ πάλιν τῇ μνήμῃ τῶν προτέρων ἀλγῶ καὶ γίνομαι καὶ νεκρὸς δυστυχής· οὐ φέρω τὸν ἐμὸν αὐτόχειρα βλέπειν, δι' ὃν τὸ ξίφος ὤθισα διὰ τῆς πλευρᾶς· οὐ φέρω τὴν ἐμὴν πανοπλίαν ὁρᾶν, ἧς πεσόντα τὸν ὁπλίτην ὕβρεως ἐξήρπασα Τρωϊκῆς. καὶ τελευτῶν αὐτὸς εἰς ὕβριν ἐξέπεσον· πορεύσομαι περί που τοὺς Ἅιδου μυχούς, γένοιτο δή μοι, ὦ Πλούτων καὶ Αἰακὲ καὶ πάντες ὑπὸ γῆν θεοί, μήτε τὰ ὅπλα καὶ τὴν ἐπ' ἐκείνοις μανίαν εἰς νοῦν αὖθις λαβεῖν, μήτ' αὐτὸν ἰδεῖν Ὀδυσσέα· ἢ δείσει μοι καὶ τὸν Ἅιδην ἀπολιπεῖν, ὡς πάλαι τὴν γῆν, καὶ καταδῦναι πάλιν ἐνθένδε εἰς τάρταρον.

Digitized by Google

5. *Τίνας ἂν εἴποι λόγους ἡ Δανάη ὑπὸ Διὸς εἰς χρυσὸν μεταβληθέντος διαπαρθενευθεῖσα.*

Ὦ πάτερ Ἀκρίσιε καὶ χάλκεος παρθενὼν καὶ σωφροσύνης προμήθεια, οὐδὲν ἡμῖν εἰς φυλακὴν ἐπηρκέσατε, χρυσός με τυραννεῖ, χρυσὸς με βιάζεται· ὦ χρυσὸς κάλλους ἐπίβουλος, ὦ χρυσὸς φιλοπάρθενος, μηκέτι κόσμου χάριν ὦ παρθένοι χρυσῷ τὸ σῶμα πιστεύετε· ὡς χρυσὸς ἐπυραύγησεν ὅτε τὴν ἀρχὴν ἐξ ὀρόφου ἐῤῥύη, καὶ νῦν ὡς ἐραστὴς ἐκ κόλπου θερμὸς περικέχυται· ἤδη καὶ χρυσῆς Ἀφροδίτης γεύομαι, ἀλλὰ πόθεν ἐκείνη τὸν χρυσὸν τοῦτον ἐμεταλλεύσατο· ἐκ Μυκήνης ταύτης τῆς ἐκ γειτόνων τῆς πολυχρύσου· ἀλλ' ἐκ Πακτωλοῦ ποταμοῦ χρυσοδίνου τὸν χρυσὸν ἡμῖν ἐπωχέτευσεν· [1] ἀλλ' οὐκ ἔστιν ἐπὶ γῆς οὐκ ἔστιν θνητὸς, ἀλλ' οὐρανόθεν τὸν χρυσὸν ἡμῖν ἐπεψέκασεν· ἀλλ' οὐκ Ἀθηνᾶς ταῦτα γοναὶ καὶ βωμὸς ἄπυρος, καὶ Ῥόδος ὅλη πόλις ἐπ' Ἀθηνᾷ χαίροντες· χρυσοῦν καὶ τὸ τῶν θεῶν δάπεδον· ἀλλ' ὁ χρυσὸς οὗτος κἀκείνου στιλπνότερος, τίς χρυσογνώμων οὕτω τὸν χρυσὸν ἐξεπύρωσε; Δία τὸν χρυσὸν εἶναι μαντεύομαι, καὶ πολὺς ὁ ἔρως ἐξέκαυσε· μάτην ἄρα, ὦ πάτερ, τὴν παῖδα ἐφρούρεις, μάτην ἐν κόχλῃ πορφύρας τῷ χαλκῷ τὴν ὥραν ἐκάλυπτες· μάτην ὡς αἱμασιὰν τὸν χαλκὸν τῆς ἐμῆς ῥοδωνιᾶς [2] προὐβέβλησαι· οὐκ ἦν ἀτειρὴς ὁ χαλκὸς, ὑπεῖξεν, ἐμαλθακίσθη, προὔδωκε κλέπτοντι χρυσῷ τὴν εἴσοδον, οὐκ ἀντέτεινεν, ὅτι σὺ τὸν χαλκὸν εἰς παστάδα ἐφιλοτέχνεις, ἔρως εἰς χρυσὸν ἐμεταλλούργει τὸν Δία, οἷα νέφος σελήνην τὴν σὴν παῖδα ἐπεσκίαζε χαλκὸς, ἀλλ' ὁ Ζεὺς ἐμελέτα πάλαι τὴν ξύνοδον, ἥλιος καὶ τὸ ἐπιπροσθοῦν ἀναῤῥήγνυται· ἔρως ἐπείθε-

1 Cod. ἐπωχεύτευσεν. 2 Cod. ῥοδονιᾶς.

το[3] τῷ Διΐ· ὅλους καμίνους ὑφῆψεν ἱμέρου, τὸ δέ γε πῦρ ταῖς ἐμαῖς ἐξεπύριζε[4] παρειαῖς καὶ παρθένου θνητῆς ἐρύθημα τὸν[5] τῶν θεῶν ὕπατον ἔκαυσεν· ὅλην ἀφροδισίων πυρὶ κατηνθράκωσε, τὸν ἀστέκτῳ πυρὶ καὶ Τιτᾶνας κοιμήσαντα· ὁ δὲ ὡς δαλὸς ἐκπυροῦται καὶ χρυσὸς ἀστερωπὸς γίνεται, ὡς ἐν νυκτὶ τὸν χαλκὸν πῦρ αἰθόμενον περιηύγασε, καὶ ἕσπερος ἐν οὐρανῷ κυανῷ τῷ χαλκῷ περιήστραψεν· ὦ Ζεῦ ὕπατε θεῶν καὶ παίγνιον ἔρωτος, ὦ πάντων ἀνδρῶν κρατῶν καὶ παρθένῳ νικώμενος, πάλαι σε ὡς ὄρνιν ἔρως ἐπτέρωσε, καὶ ὡς κύκνον ᾄδειν ἔπεισε, πάλαι ὡς βοῦν ὁπλαῖς τοὺς πόδας ὤπλισε καὶ ὡς ταῦρον μυκᾶσθαι παρεβιάσατο, καὶ νῦν ὡς χρυσὸν ἐπέχρωσε καὶ ὡς ἔδνον ἐπέδωκεν. ὡς Δία προσκυνῶ, ὡς χρυσὸν φιλῶ, ὡς ἐραστὴν περιπτύσσομαι, εἴη δέ μοι καὶ λαμπρᾶς ἀπόνασθαι τῆς γονῆς, καὶ κρατοίη τῶν ἄλλων ὁ παῖς, ὡς θεῶν Ζεύς, ὡς τῶν μετάλλων χρυσός.

6. Τίνας ἂν εἴπῃ λόγους ὁ Ζεὺς ἰδὼν τὴν Ἰνὼ μεταβληθεῖσαν εἰς βοῦν.

Ἀφροδίτης καὶ τῶν Ἀφροδίτης κατηγορήσω βελῶν, ἢ τὴν Ἥραν καὶ τὸ τῆς Ἥρας ζηλότυπον μέμψομαι; βάλλει μέν με παῖς Ἀφροδίτης, Ἥρα δὲ ξύνοικος ἐπέχει τὸ φάρμακον, ἡ μὲν τῶν ἐρώτων ὑπεκκαίει πυρὶ, ἡ δὲ διψῶντι φθονεῖται τῆς πηγῆς, ἡ μὲν ὡς λειμῶνα τὸ κάλλος ἀναπετάννυσιν, ἡ δ' οὐ συγχωρεῖ τῆς ὥρας ὡς ὀπώρας δρέπεσθαι, ὡς ἐκ καλύκων ῥόδον τῶν χειλέων ἀστράπτει τὸ χαρίεν, ἡ δ' ὡς κέντρον ἐπανατείνεται τὸ βαρύζηλον·[1] ὦ δυστυχὴς ἐραστὴς ἐγὼ καὶ δύσερως, ὦ

---

3 Cod. ἔρρως ἐπήσθετο. 4 Cod. ἐξεπυρ νιζε, scripsi ἐξεπύριζε. ut nr. 6. καὶ που τις ἀπανθρακοῦται διπλῷ τῷ πυρί. 5 Cod. ἐρυθήματον τὸν θεῶν. 1 Cod. βαρύζηλον.

καὶ πρὸς τῆς παιδὸς βαλλόμενος καὶ πρὸς τῆς ξυνοίκου φθονούμενος· ἐπαθύρει μὲν ἔρως ὁ παῖς, καὶ δέχομαι τὴν παιδιὰν ὁ πατήρ· ἐπιτείνει τὸ τόξον καὶ βάλλειν καθ' ἡμῶν ἀπειλεῖ, καὶ χαίρω ταῖς βολαῖς οὐκ οἶδ' ὅπως ἐγώ· ὑποκύπτω μειδιῶντα τοξότην ἂν ὡς τοξότης ἀλγύνει με, ὡς μειδιῶν περισαίνει με· ὅσα μοι κατὰ τῶν ὀφθαλμῶν ἐπαφῆκε τὰ βέλη, καὶ πάντα βάπτει πρῶτον ἱμέρῳ, οὐδὲν ἐτόξευσεν ὃ μὴ πρότερον ὑπεφάρμαξεν, οὐδ' ἠπείλησεν ὃ μάτην ἐκόμπασε· παίζων ἐγώ ποτε τῶν πτερῶν ἐδραξάμην, ὁ δ' ἐπαθύρας μικρὸν ἐμειδίασε, καὶ πτερωτὸς ὁ πατὴρ ἄφνω γίνομαι καὶ τὰ κύκνων μουσουργεῖν οὐκ αἰσχύνομαι, ἀλλ' οὐ πρότερον ἔρως ἀνῆκε, πρὶν ἂν θέλξαι μὲν τὴν ἐρωμένην ἐπὶ ζεφυρίαις ᾠδαῖς ᾄσαι ὕμνους εἰς ἔρωτα· ἐμυκησάμην ποτὲ καὶ ὡς βοῦς διὰ τὸ παιδίον τὸν ἔρωτα· ὁ δ' ἐπεκερτόμει καὶ βουπλῆγας τὰ μέλη ὠνόμαζεν· ἠπείλει καὶ θύειν μικροῦ, καὶ ὡς ἐπιβώμιον πῦρ ἐφῆπτέ μοι τὸ λαμπάδιον. κατὰ παντὸς γένους ἔρως ἐκόμπασε, καὶ θνητοῖς ἐφυβρίζει καὶ θεῶν κατεπαίρεται, καὶ ἰχθύας ἐφ' ὅτῳ [1] πολὺς τῇ θαλάττῃ φλέγει, καὶ πτηνῶν ἀγέλας εἰς ἀέρα φθάνει· οὐκ ἔστιν ὃ μὴ γέγονεν ἔρωτος ἄθυρμα· ἄμπελον οἱ φυτεύει καὶ μέθην σοφίζεται, βότρυν οὐ γεωργεῖ καὶ βαρὺν τὸν κῶμον ἐργάζεται. μικρὸν ὡς βότρυν τὴν καρδίαν ἔρως ἔθλιψε, μικρὸν κατὰ σπλάγχνων ἐληνοβάτησε, καὶ σπᾷ τις τοῦ κρατῆρος καὶ μέμηνε, μικρὸν μεθύσκειν οἶνος ἐδίδαξε, μικρὸν βακχεύειν οἶδε Διόνυσος· ἀδελφὸς μὲν Διόνυσος ἔρωτος, ἀλλ' ἥττων, ἀλλ' ὑποστράτηγος, ὅλους κρατῆρας ἐπισπένδων πυρὸς, καὶ προσαναῤῥιπίζει [2] πῦρ φιλοτήσιον, καί που τις ἀπανθρακοῦται διπλῷ τῷ πυρὶ, καὶ μέγαν ὑμνεῖ δυνάστην τὸν ἔρωτα· προσκυνεῖ καὶ Διόνυσον, ἀλλ' ὡς Ἀφροδίτης

1 Cod. οὕτω. 2 Cod. προσαναριππίζει.

ξύμμαχον, ἀλλ᾽ ὡς Χαρίτων ὑπασπιστὴν, ἀλλ᾽ ὡς θεράποντα ἔρωτος. στρατεύουσιν ἄμφω καὶ χοροὶ γυναικῶν τὰ στρατόπεδα. ἀλλ᾽ ὁ μὲν Ἰνδοὺς αἱρεῖ καὶ θῆρας ἀναβακχεύει καὶ Τυρρηνοὺς ἐπί τι ἄγει καὶ φέρει τῷ βλέμματι, ἔρως οὐκ ὀλίγον καὶ τὸν ἀδελφὸν Διόνυσον ἐδουλώσατο, ἱμέρῳ τῆς Ἀριάδνης ἔχρισέ ποτε παρειὰς, καὶ προσίεται τὸ βέλος ὁ Βάκχος καὶ προσκυνεῖ τὸν ἀδελφὸν ἔρωτα, καὶ κόρης αἰχμάλωτος γίνεται, καὶ κατ᾽ αὐτῆς Ἀφροδίτης ὁ παῖς ἔρως νεανιεύεται, καὶ τὸν ἀδελφὸν οὐκ ᾤκτειρε, καὶ τοῦ πατρὸς οὐκ ἐφείσατο· Ἀργόθεν μοι τὸ τῆς Ἰνοῦς ἐπήστραψε κάλλος, καὶ τἄνδον εὐθὺς ὑποσμύχομαι, ἀλλὰ τίς κόχλῳ τῆς πορφύρας ἐπέχρωσε, τίς ἐλύτρῳ τὸν μάργαρον ἐπεκάλυψε· οἴμοι καὶ πάλιν Ἥρα ζηλοτυπεῖ, καὶ πάλιν ὡς ἐραστὴν ὑποβλέπεται· τὴν ἐρωμένην εἰς βοῦν ἐμορφώσατο, καὶ πάλιν ὅσην προβάλλεται τὴν εἰδέχθειαν· ἀλλ᾽ ὦ καὶ βοῦς εὐπρεπὴς καὶ παρθένος οὐκ ἄμορφος, κοινωνεῖς τῷ Διῒ τῆς τύχης καὶ τῆς μορφῆς, καὶ καρτέρει μετὰ Διὸς νικωμένη, εὐφραίνεις μᾶλλον τὸν ἐραστὴν οἷς τὴν μορφὴν εἰς ταῦρον ἠλλάξατο, ἵνα ζυγὸν ἄμφω τὸν ἔρωτος ἕλκωμεν. οἶστρος τὴν ἐμὴν ἔπληξε βοῦν, καὶ πολλὴν μὲν ὅσην ἐπῆλθες ἤπειρον, οὐκ ὀλίγα δὲ διεμετρήσω κύματα. οἶστρος κἀμὲ τὸν θεῶν ὕπατον ἔτρωσε, καὶ γέγονα ταῦρος μυκώμενος. κατέπτην ἐξ οὐρανοῦ, διέδραμον γῆν, κατέδυν εἰς θάλατταν, κἂν τοῖς Διὸς νώτοις κόρη θνητὴ καθιππάσατο· ἐγώ σε καὶ ὡς βοῶπιν ἀποθαυμάζω καὶ ὡς σελήνην φιλῶ· ἡλίκον εἰς κύκλον τὸ κέρας ἐλίσσεται, κἂν ὡς νέφος τὸ τῆς μορφῆς εὐπρόσωπον ὑπεζόφωσεν, ἀλλ᾽ ὡς φῶς ἥλιος ἐγώ σοι τὸ κάλλος ἀποχαρίσομαι. Βοῦς εἶ τὴν μορφὴν, καὶ τὸ χρῆμα πανταχόθεν ὅσιον εἰς θεοὺς ἀφωσίωται, εἰς βωμὸν ἀφιέρωται· σὲ δὲ τὴν ἐμὴν φίλην βοῦν στέφουσι μὲν ἔρωτες, κανηφορήσουσι[3]

3 Cod. κανηφορ.

δὲ Χάριτες, ἱερεύσει δὲ Ἀφροδίτη, καὶ Ζεὺς ὑποπτεύσει τὸ καλλιέρημα, δεινὸς ὁ βουκόλος, καὶ πολλοῖς φρουρεῖ σε ὀφθαλμοῖς, ἀλλὰ δεινὸς ὑποκλέπτειν Ἑρμῆς, καὶ κρεῖττον αὐλεῖ πολλῶν ὀμμάτων τὸ δόλιον· ἔχει ῥάβδον οὐκ ἀνθρώπων μόνον ὀφθαλμοὺς θέλγουσαν, ἀλλὰ καὶ βουκόλον ἐπιστήσω κριτὴν, καὶ παρ' Ἀλεξάνδρου κάλλους εὐτυχήσει τὰ δεύτερα. τί γάρ σοι βουκόλον πανόπτην παρέστησε, τί δ' οὕτω καλὴν μορφὴν ἀπηγλάϊσεν· οὕτως ἐπιτεχνάσομαί σοι τὸ βουλητόν· οὕτω πεσούσης μοι τῆς βοὸς καὶ σίβλον ἀναφανήσεται μέλιτος· δεῖ γάρ σε εἰς ἄνθρωπον αὖθις ἐπανελθεῖν, ἐμὲ δ' ὀψέ ποτε καὶ τῶν Ἀφροδίτης χαρίτων γεύσασθαι καὶ γλυκὺν ἐπιγνῶναι τὸν ἔρωτα.

7. *Τίνας*[1] *ἂν εἶπε λόγους ὁ Σαμψὼν, ὅτε παρὰ τῶν ἀλλοφύλων ἐτυφλώθη.*

Ὦ χεῖρες, εἰς οἷον ἡμῖν πέρας ἥκει τὰ τῆς ἀνδρείας; Μύλων ἡμᾶς διεδέξατο, καὶ δουλεία πρὸς ὕβριν, καὶ ὄνων ἔργα νῦν ὑπέχετε, ἃς ὄνου σιαγὼν ὤπλιζε πρότερον, καὶ τῶν ἀτυχημάτων μείζων ἐφ' ἡμῖν ὁ κατάγελως· ὁ πρὶν γενναῖος ἐκεῖνος ἐγὼ, ὁ καὶ γυμνὸς ὁπλίτας φοβῶν καὶ πολλοὺς εἷς ἀναιρῶν αἰχμάλωτος γέγονα γυναικός· καὶ νῦν γέλως πρόκειμαι τοῖς ἐχθροῖς καὶ δουλεύω τὰ ἀτιμότατα· ὦ γυναικῶν γένος ἐπάρατον, ὃν ἐφίλει περιειργάζετο, καὶ ὃν τῆς ῥώμης ἐθαύμαζε, τοῦτον τὰ ὅπλα παρείλετο· ὦ κακῶς ἰδόντες ὀφθαλμοὶ, καὶ περὶ τοῦτο νῦν ἐπιβλέπειν οὐκ ἔχοντες· οὐκ εἰς καλὸν ἀπεχρήσασθε τῷ βλέπειν, τοιγαροῦν δικαίως ἀφήρησθε· ὦ τῆς πρώην σωφροσύνης ἐκείνης, ὦ τῶν ἀπὸ ταύτης ἀριστευμάτων· ἐσωφρόνουν καὶ προὔβαινέ μοι τὰ

---

1 Ethopoïae sequentes in cod. Fol. 137. sqq. iis, quas Allatius edidit, immixtae sunt.

Digitized by Google

τὰ τῆς ἀνδρείας, ἐφυλαττόμην μέθην καὶ λέων ἡλίσκετο· οὐκ ἠσέλγαινον καὶ δυσμενεῖς ἐπεφρίκεσαν· ἐτήρουν τὰ τῆς ἐπαγγελίας, καὶ χρυσῆν κόμην ἐπὶ κεφαλῆς εἶχον ὅπλον ἀσίδηρον· ἐκράτουν σταγόνος, καὶ πλησμονῆς ἀλόγου, καὶ σιαγὼν ὄνου τὰ τῶν ὅπλων ἐπλήρουμοι· τὸ δὲ δὴ μεῖζον καὶ δίψαν ἴστη καὶ τρόπαιον· τὸ μὲν ὅτε τοὺς πολεμίους συνέθλιβε, τὸ δ' ὅτε συνθλιβομένῳ μετὰ τὴν μάχην ὕδωρ ἐπήγαγεν· ἀλλ' ἐξέπεσον εἰς ὕβριν, τοιγαροῦν περιίβρισμαι τὰ δεινότατα, αὐτὸς ἐμαυτῷ τὴν συμφορὰν ταύτην ἐπήγειρα, αὐτὸς κατὰ τῶν ὀφθαλμῶν μόνον οὐκ ἐπήνεγκα τὸ σιδήριον, οὐκ ἔξωθεν ἀλλ' οἰκοθεν βέβλημαι· παρεῖδον τὴν ἐκ παιδὸς σωφροσύνην, παρέβην τὰ τῆς ἐπαγγελίας, ἐφ' ᾗ γεγένημαι, εἰς ἓν μοι τὰ τῆς ἰσχύος ἔκειτο, εἰς τρυφὴν ὑπήχθην, κάλλος ἐθαύμασα, γυναικὸς ἑάλων, τῇ δὲ καὶ γνώμη καὶ γένος καὶ τὰ πάντα ἀλλόφυλα· εἰς τοσοῦτον ἐμαυτὸν ὤθησά τὸ κακὸν, τοιγαροῦν ἑάλων καὶ δίκας ἔδωκα τῆς πρώην ἀνδρείας. ἅμα καὶ τῆς εἰσέπειτα παροινίας ἐκεῖνο τοῖς ἀλλοφύλοις, ὧν τοὺς τραυματίας ἐπλήθυνα, τοῦτο θεῷ τῷ πατρίῳ· θεὸν γὰρ ἠθέτουν, ὅτε τὰ τῆς ἐπαγγελίας ἤσχυνον· ἀλλ' οἴμοι τὰ τῶν προγόνων δυστυχῶ καὶ βεβαιῶ τὸ γένος τῇ συγγενείᾳ τῆς συμφορᾶς· Μαδιανίτας ἐπόρθουν καὶ τὴν ἐκείνων ἰσχὺν ἔφερεν οὐδὲν, ἀλλ' ἔπιπτον αὐτοῖς ὁπλίταις αἱ πόλεις, καὶ ἦν τὸ δεινὸν ὡς ἀμήχανον· ἀλλ' ἦκε τοῖς πολεμίοις οὐκ οἶδ' ὅθεν εἰς νοῦν, καὶ κάλλος γυναικῶν ἐφοπλίζουσι, καὶ οἱ προτοῦ βάλλοντες ἔπιπτον καὶ γυναικῶν γεγόνασιν ἔργον, οὓς πρότερον ἄνδρες οὐκ ἔφερον· ταύτην δίδωμι τῆς ἀσελγίας δίκην κἀγὼ, ἀπὸ τοιαύτης ἁλίσκομαι παρατάσεως, τοιοῦτον ἥττημαι πόλεμον· ἐπίστευσα ἐμαυτὸν ἔρωτι· προὔδωκα τὰ τιμιώτατα γυναικὸς πόθῳ καὶ ἀσελγίας ὑπερβολῇ· ὦ πάντα ἁπλοῦς ἐγὼ καὶ μηδὲν ὀκνῶν πάντα χαρίζεσθαι πρὸς ἔρωτα· ἤρετό μου τὴν

ἰσχὺν, ἐγὼ δ' ὑπέκρυπτον, καλῶς γε τὰ πρῶτα ἐσχηματίζετο λύπην καὶ πάλιν ἠπάτησα, ἡ δ' ἀπεπειρᾶτό μου τῶν χειρῶν, καὶ γνοῦσα τὴν ἀπάτην αὖθις ἤσχαλλεν, ἐδυσφόρει, καὶ ἅμα δακρύειν ἐπλάττετο, ἐντεῦθεν ἐμαλακίσθην ὁ γενναῖος ἐγὼ, καὶ δακρύουσαν οὐκ ἤνεγκα κόρην· τοιγαροῦν δακρύειν μοι παραλείπεται· ἐπέδειξα τὸ χρυσοῦν ἐπὶ κεφαλῆς ὅπλον, ἡ δ' οὐκ ἐφείσατο, ἀλλ' ἅμα τε τὸν βόστρυχον ἐκείνη καὶ τοὺς ὀφθαλμοὺς ἐξέκοπτον οἱ πολέμιοι· ἅμα τὰ τῆς ἐπαγγελίας παρεώραται, καὶ σίδηρος ἐπὶ τὴν δυστυχῆ ταυτηνὶ κεφαλὴν ἀναβέβηκε, καὶ πρὸς τοὺς ὀφθαλμοὺς ἔφθασε τὸ δεινόν· ὢ τοῦ γέλωτος, ὢ τῆς ὕβρεως, χεὶρ ἀπήλεγξε γυναικὸς χεῖρας ἐκείνας, ὑφ' ὧν λέων ἔπιπτε, καὶ πολλαὶ χεῖρες ὁπλιτῶν ἀπηλέγχοντο, [2] οἱ δὲ, ἀλλ' ὢ τῆς παροινίας, εἰς τοὺς ὀφθαλμοὺς εὐθὺς ἔβλεψαν, ἐπ' αὐτοὺς ὅλον ἐξεκένωσαν τὸν θυμὸν, ἵν' ἔτι [3] μᾶλλον ἐφυβρίζειν ἔχοιεν, καὶ δοῦλος ἀλλοφύλων βιώσομαι, ἀλλ' εἰς καιρὸν ἡμῖν ἐπανῆκε τὸ ὅπλον, ἤδη μοι τῆς ἀνδρείας ὁ στάχυς ἀνέβλαστεν, αἰσθάνομαι τῆς ῥώμης ἐπανθούσης· Σαμψὼν ἐκεῖνος ἐγὼ πάλιν ὁ πρότερον, οὐκέτι μοι καθ' ἕνα τὰ τῆς ἰσχύος, ἀλλ' ἐξέφυ τῆς κεφαλῆς ὡς ἀπὸ ῥίζης ὁ βόστρυχος· καὶ χεῖρας ἔχω ἀρκούσας πρὸς ὅλον στρατόπεδον, μικροῦ καὶ χάριν οἶδα τοῖς ἀλλοφύλοις, ὅτι μου τοὺς ὀφθαλμοὺς, οὐ τὰς χεῖρας ἐξέκοψαν, ὡς νῦν γε καιρὸς ἀμύνασθαι τοὺς ἐχθροὺς, οἱ δέ που χαίρουσι τὰ ἐπινίκια, καὶ προσεντρυφῶσι τῇ καθελούσῃ τὸν πολέμιον κόρῃ, τάχα με καὶ προσεπισκώπτουσιν, ὅπως ἐμαυτὸν ἀλλοφύλῳ προΰδωκα γυναικὶ, καὶ τὸν ὄντως ἔκφυλον ἐθάῤῥησα πόλεμον, οἶμαι δ' ὅτι μετά γε τὸν πότον καὶ τὴν πολλὴν μέθην προσεπικαλέσονται καὶ τὸν Σαμψὼν ἐμὲ καὶ προσεπιχλευάσουσιν, ἐγὼ δὲ ἅλις ἔχω

2 Cod. ἀπηλέγχετο. 3 Cod. ἐπι. scr. ἔτι. de qua permutatione dixi in epist. crit. init. cfr. Boisson. ad Marin. p. 94.

Digitized by Google

τοῦ γέλωτος,[4] οὐκ ἀνέξομαι πολεμίας φωνῆς προεπιταττούσης καὶ προεπορχεῖσθαι τοῖς σκώμμασιν, ἀλλ' εὖγε τῆς ἑορτῆς, εὖγε τῶν ἐπινικίων, καιρὸν ἔχει μοι τὰ τῆς ἐπιβουλῆς, οἱ μὲν ἄνω που τρυφῶσιν ἀθρόοι παρὰ τὰ μετέωρα, ἐγὼ δὲ κάτω πρὸς αὐτὰ τὰ τὴν οἰκίαν ἑδράζοντα· ἄγε περιήγησαί μοι, ὦ παῖ, γενοῦ μοι πρὸς μικρὸν ἀντὶ τῶν ὀφθαλμῶν, ἀναπλήρωσον ταῖς χερσὶ τὸ λειπόμενον, ἐπίδειξον μόνον τοὺς κίονας ταῖς χερσὶ, τὸ δ' ἀπὸ τοῦδε τῆς οἰκίας ἔξιθι, δεῖ γάρ σε ζῆν ἔτι καὶ περιεῖναι, ὅτι διὰ σοῖ μοι δώσουσι δίκας οἱ δυσμενεῖς, ἐγὼ συντεθνήξομαι καλῶς τοῖς ἐχθροῖς, ἐπεὶ τὸ σὺν ἡδονῇ ζῆν ἀφῄρημαι.

8. *Τίνας ἂν εἴποι λόγους ὁ Ζαχαρίας μετὰ τὸ γεννηθῆναι τὸν πρόδρομον τῆς ἀφωνίας ἀπολυθείς.*

Ἐπανῆκέ μοι μετὰ τοῦ παιδὸς ἡ φωνὴ, καὶ τὰ τῆς ἐπαγγελίας οὐ διέψευσται· ἄγγελος μὲν ἐπηγγείλατο τὴν φωνὴν, ἐγὼ δ' ἐνεδοίαζον, γῆρας ἐγὼ προὐβαλλόμην καὶ στείρωσιν γυναικὸς, ὁ δ' αὖθις τὰ τῆς ἐπαγγελίας ἐπέτεινεν· ἀκούσῃ, φησὶ, καὶ μετὰ γῆρας πατὴρ, καὶ στεῖραν ὄψῃ μητέρα, τὰ γὰρ τῆς στειρώσεως λέλυται, ὃ δέ σοι παῖς οὐκ ἐπιγνοίη τρυφήν· οὐ πίεται σίκερα ἐξ αὐτῆς γονῆς, πνεύματος ἁγίου καὶ σοφίας πλησθήσεται· ταῦτα ὁ μὲν ἔλεγεν, ἐγὼ δ' ἠπίστουν, σημεῖον ᾔτουν, ὁ δ' ἐπένευεν, οὐκ εἰς καιρὸν ἐχρησάμην τῇ φωνῇ· τοιγαροῦν εἰς τὴν φωνὴν ἐζημίωμαι· καὶ λέγειν οὐκ εἰδὼς καίρια κατεκρινόμην σιγὴν, τί γὰρ οὐκ ἐπειθόμην ἀπόγονος εἶναι τῆς Σάρρας αὐχῶν, ταύτην δίδωμι τῆς ἀπειθείας δίκην· τοῦτο λαμβάνω τῆς ἐπαγγελίας ἐνέχυρον, καὶ τὸ ἐντεῦθεν ἐνεκυμονεῖτο μὲν ὁ παῖς ὑπὸ τῇ μητρὶ, ἐγὼ δ' ἐσίγων, ἀλλ' ἅμα τε τὸ

4 Ad marg. *γρ.* καταγελώμενος.

Digitized by Google

βρέφος ἀνῆκεν εἰς φῶς ἐκείνῃ, καὶ παρ' ἐμοὶ αὐτίκα ὁ λόγος ἐπέλαμπε· λέλυται τῇ μητρὶ τὰ τῆς ὠδῖνος, κἀμοὶ τὰ τῆς ἀφωνίας λέλυται, ἀποδίδωμι τὸν εὐχαριστήριον· ὑπεραγάλλομαι τῷ παιδὶ, ᾐσθόμην ἤδη καὶ πνεύματος, ἐμπνεῖ μοι τὰ μέλλοντα, συνίημι τῆς ἐπὶ τῷ βρέφει χάριτος, ὑπὲρ τὸν Σαμψὼν διαγωνιεῖται πρὸς τρυφήν· ὑπὲρ τὸν Σαμουὴλ ἡγήσεται τοῦ λαοῦ, ὦ παῖ, προφήτης ὑψίστου κληθήσῃ καὶ σὺ καὶ λαὸν προσάξεις θεῷ· ἐπέρχεταί μοι τὸ μεῖζον εἰπεῖν· ἑτοιμάσεις κυρίῳ τὴν πρόοδον, κηρύξεις τὸν προσδοκώμενον, ἤδη ξυνῆκα καὶ τῆς σιωπῆς, ξυμβάλλομαι τὴν ἀφωνίαν ἐκείνην, μανθάνω τί βούλεται δεσμῶν τὴν φωνὴν ἄγγελος, φωνῆς ἔμελλον κληθῆναι πατὴρ, τοιγαροῦν ἔδει με τὴν φωνὴν ἐγκυμονῆσαι [5] πρότερον, καὶ σιγᾷν μέχρι καὶ τόκου· ὡς ἔδει καὶ τοῦ λόγου προδραμεῖν τὴν φωνὴν, καὶ πρὶν ἢ παρθένον τεκεῖν στεῖραν ἀκοῦσαι μητέρα, τὸ δ' ἀπ' τοῦδε σὺ μὲν ὁ παῖς ἡ μεγάλη φωνὴ τοῦ τῆς μητρὸς νέφους περιῤῥαγέντος ἐξέλαμπες, κἀμοὶ δὲ ἡ φωνὴ ξυνεξέλαμπε, καὶ τὰ μὲν τῆς ἀφωνίας διέῤῥηκται· ἥξει μετ' οὐ μικρὸν, εὖ οἶδα, καὶ ὁ λόγος, καὶ σὺ μὲν ὑπηρετήσεις ἡ φωνὴ καὶ κηρύξεις τὸν ἐλπιζόμενον, ὁ δ' ἐκπληρώσει τοῦ πατρὸς τὴν βουλὴν, καὶ πρὸς τὸν πατέρα νοῦν ὁ λόγος ἀναδραμεῖται, καὶ τὸ ἐντεῦθεν ἔσται τὰ προσδοκώμενα.

9. *Τίνας ἂν εἴπῃ λόγους ἔρως ἰδὼν δρυτόμον, ἐπιχειροῦντα κόπτειν τὴν Μύῤῥαν* [1] *ἔτι ἐγκυμονοῦσαν τὸν Ἄδωνιν.*

Ἐπίσχες, ὦ δρυτόμε, τὴν ἀξίνην, ἐπίσχες, μὴ θῇγε κατὰ Μύῤῥας τὸν σίδηρον, οὐ δρύς ἐστι Πανὸς ὀρείου φυτὸν, ἵν' ᾖ καὶ δρυτόμοις ἐγκείμενον εἰς τομήν·

5 Cod. ἐγγυμονῆσαι. et nr. 9. in titulo: ἐγγυμονοῦσαν τὸν Ἄδωνιν. 1 Cod. μοῖραν.

οὐ μηλέα φίλον Ἄρεϊ δένδρον, ἵν' ὑπὸ σιδήρου τέμνοιτο, καὶ ἀκμὴν αὖθις ὁπλίζοιτο· ἀλλ' ἔρωτος δρᾶμα καὶ Ἀφροδίτης σκηνή, καὶ κόρη καλὴ προσωπεῖον ὑποδῦσα φυτοῦ δέδιε πατρὸς ἀπειλὴν καὶ φύσιν ἀναίσθητον σχηματίζεται· τί γίνῃ καὶ Θύαντος[2] χαλεπώτερος; κατὰ κόρης ἀπαλῆς οὕτω τραχὺν ἀνατείνεις τὸν σίδηρον, φείδου τῶν ὁσίων ἔρωτος, τίμα τὸν Ὑάκινθον, μὴ τέμνε τὸν Νάρκισσον, οὓς φύσις ἠγλάϊσεν, οὓς ἔρως ἐφυτηκόμησε· σέβου τὴν Δάφνην τὴν καλὴν, τὴν μαντικὴν, τὴν Ἀπόλλωνος, τὴν ἐξ ἔρωτος· ἂν ὄψει μηλέαν ἀγλαόκαρπον μετ' Ἀφροδίτης τοῦ χρυσοῦ μήλου, μέμνησο καὶ τῆς ὥρας, θαύμαζε τὴν ὀπώραν, καὶ προσκύνει τὸν ἔρωτα· ἂν ὄψει τὸν Ἀσσύριον φοίνικα, μάνθανε καὶ φυτὸν πρὸς Ἀφροδίτης οὐκ ἀναίσθητον. ἂν καὶ μύρραν ἴδῃς ἐνταῦθα παρείσθω καὶ χείρ, ἀφείσθω καὶ σίδηρος. μικρὸν ἑρκεῖον ἐκτὸς ὁ φλοιὸς, ἀλλ' ἔνδον μέγας κάλλους λειμὼν ἐπανθεῖ· ἔρως ὁ σαφὸς ἐγὼ καὶ δρᾶμα μελετῶ φιλοτήσιον· ἔρως ὁ δεινὸς ἐγὼ καὶ καλὸς, ὁ νέος ἅμα καὶ παλαιὸς· ὁ τοξεύων ἅμα καὶ μειδιῶν, ἵν' ᾖ καὶ τὸ λυποῦν οὐκ ἀνέραστον, καὶ τὸ σαῖνον οὐκ ἄλυπον· οἴνῳ τοῦτο τὸ φυτὸν ἐμόσχευσα, καὶ καρπὸν οἴσει πυρὸς Ἀφροδισίου λόχευμα. ἡ μήτηρ Ἀφροδίτη τὸν κρατῆρα τοῦτον πίεται, καὶ τῶν Ἄρεος παιδικῶν ἐπιλήσεται, οὕτω τῆς μητρὸς ἐγὼ κατορχήσομαι, οὕτω καταπολεμήσω τοῦ Ἄρεος, καλὴ μὲν ἡ Μύρρα, καλὸς δὲ ὁ πατὴρ, καὶ τῆς παιδὸς οὐκ ἐλείπετο, ἀλλ' ἐτήρει τοὺς τῆς φύσεως θεσμοὺς καὶ τοὺς ἐμοὺς οὐ προσίετο· ἠγνόει δὲ, ὡς καὶ φύσιν ἔρως παράγει, καὶ γένος ἅπαν ἐξ ἔρωτος· Ζεὺς μὲν πατὴρ ἀνδρῶν τε θεῶν τε, ἐγὼ δὲ καὶ αὐτοῦ Διὸς προπάτωρ, καὶ Κρόνου ἀρχαιότερος καὶ οὐρανοῦ ἀρχαιογονώτερος· κλῆρος μὲν Διὸς οὐρανὸς, Ποσειδῶνος θάλασσα, καὶ Ἅιδης ἄρχει

2 Cod. Θείαντος. cfr. p. 429. infr.

Digitized by Google

τῶν ὑπὸ γῆν· ξυνάμα δὲ πάντων ἐγὼ, καὶ θεὸς πανδαμάτωρ γνωρίζομαι, ὡς πτερωτὴς ἄφυκτος, ὡς τοξότης ἀνίκητος, ὡς λαμπαδοῦχος ἀλάθητος· δίειμι πάντα τῷ πτερῷ, βάλλω τοῖς βέλεσι, κἂν τις ὑπὸ σκότον πειρῶτο κρύπτεσθαι, ἀκάματόν μοι τὸ πῦρ, καὶ θηρῶμαι τὸν φεύγοντα· ἠγνόει ταῦτα ἐκεῖνος, θεοὺς ὁμογνίους ᾐδεῖτο, Δία προϊτίθει πατρῷον, ὑπὸ παρθενῶνι τὴν παῖδα ἐφρούρει, καὶ τὸ καλὸν ἐφ' ἑστίας ἔχων ἠμέλει· οὐχ ὡς κόρην ἐραστὴς προσέβλεπεν, ἀλλ' ὡς παῖδα πατὴρ ἐθαλάμευε· σύμμαχον ἐπὶ τούτοις δίδωμι τῇ κόρῃ τὸν Βάκχον, καὶ διπλῷ πυρὶ μερίζω τὸν πόλεμον, ἵνα καὶ παῖς ἡμέρῳ πατρὸς τὴν ψυχὴν ὑπεκκάοιτο· καὶ πατὴρ σωφρονῶν οἴνῳ πρὸς τῆς παιδὸς ἐκβακχεύοιτο· ἐπεὶ δέ μοι καὶ πέρας εἶχεν ὁ πόλεμος, αὐτὴν τὴν κόρην ἵστημι τρόπαιον, καί τις φυτὸν τὴν Μύρραν ταύτην ἰδὼν τῆς μάχης ταύτης μεμνήσεται, καὶ θαυμάσει τὸν στρατηγήσαντα, εἶτ' οὐδὲ Διὸς ἀγρότα θεοῦ μεγάλου τρόπαιον ἀνασπῶν, εἶτ' οὐχ ὑφορᾷ τόξον θεοῦ φιλομύθου, καὶ τοξότης μῦθον οὕτω καλὸν πειρώμενος ἐκτεμεῖν· ἀδικεῖς Ἄρες, καὶ πρὸ τῆς ὠδῖνος τὸ βρέφος ζηλοτυπῶν, ἀδικεῖς αὐτῇ τῇ μητρὶ, καὶ πρὸ βλάστης τὸν παῖδα ῥιζοτομῶν, τί χεῖρα δενδροτόμον εἰς μιαιφονίαν ὁπλίζεις; ἀνελεῖς, εὖ οἶδα, τὸν Ἄδωνιν, ἀνελεῖς· ἀλλὰ μετὰ γένεσιν, ἀλλ' ὑπ' Ἀφροδίτης τῆς ἐρωμένης καὶ τὴν ἡλικίαν μειρακιούμενον· τότε δή σοι περικνίσει καὶ τὸ ζηλότυπον, ἵνα καὶ τὴν Ἀφροδίτην ἄκανθα [3] καὶ τὸ καταρυὲν αἷμα εἰς πορφύραν βάψῃ τὸ ῥόδον, [4] δεῖ γὰρ ἐκ θεῶν καὶ θεορρύτου αἵματος τὰ πάντα φῦναι κάλλιστα, ἐν θεοῖς μὲν Ἀφροδίτην, ἐν ζώοις δὲ ἄνθρωπον· τὸ δὲ ῥόδον ἐν ἄνθεσι, τότε καὶ ἀποκτενεῖς τὸν ἐραστὴν, καὶ ἀμυνῇ τὴν ἐρωμένην καὶ γενήσῃ βροτολοιγὸς οὐκ ἀμφίβολος, ὡς

3 Cod. ἄκαθα. 4 Cfr. Aphthon. Progymn. p. 62.

Digitized by Google

νῦν γέ σοι καὶ τὸ ἀνδροφόνον εἰς δενδροτόμον καταπεσεῖται, καὶ ζημιώσῃ σεαυτὸν μὲν ἀρχαῖον ὄνομα καὶ φίλον, ἐμὲ δὲ τὸ πάγκαλον τοῦτο δρᾶμα καὶ μέγα, τὰς χάριτας δὲ τὸ βρέφος, τὴν Ἀφροδίτην δὲ τὸν πόθον, τὴν ὥραν δὲ τὸ ῥόδον, τὰς Μούσας δὲ τὴν ᾠδήν· ἀλλ᾽ οὔ σοι καὶ μοιρῶν ἐφεῖται κρατεῖν καὶ τριπλοῦσθαι[4] τὸν ἔρωτα· δεῖ με γὰρ καὶ τῇ μητρὶ τῶν βελῶν ἐπαφεῖναι, ἵν᾽ εἴσηται, οἷον ἔτεκε, διὰ ταῦτα καὶ φυτὸν ἐξ οὐρανοῦ παρήγαγον καὶ αὖθις ἀπὸ φυτοῦ μαιεύσομαι ἄνθρωπον.

10. *Τίνας ἂν εἴπῃ λόγους ὁ τοῦ Ξέρξου κυβερνήτης στεφανούμενος ἅμα καὶ ἀναιρούμενος.*

Ὦ ναυτίλος ἐγὼ καὶ μετὰ θάλασσαν δυστυχὴς, ὦ τύχης ἀλλοκότου παίγνιον, ἀπωθεῖται καὶ προσεφέλκεται, παίει καὶ περιπτύσσεται[1], ἁρπάζει θαλάττης καὶ πρὸς δημίου χεῖρας μεταῤῥίπτει· τί ἄρα φιλοτιμεῖται καὶ προσφαιρεῖται τὴν κεφαλὴν, ἀναιρεῖται τὴν ἐκ τῶν λίθων μαρμαρυγὴν ἢ τοῦ ξίφους αὐγὴ, ἡδονὴν ὁ στέφανος μειδιᾷ, καὶ τὸ ξίφος φόνον γελᾷ, βασιλέως ἐπαγλαΐξει με χεὶρ, καὶ δημίου χεὶρ ἀπειλεῖ· ποῖος τελχὶν ταῦτα καθ᾽ ἡμῶν εἰρωνεύεται; ποῖος δαίμων τηλικαύτην τραγῳδίαν ἐπεχείρησε γέλωτι; τί μοι τοιαύτην ἐκερασάτο κύλικα, ὀλίγον μὲν ἐπισταξας τοῦ μέλιτος, ὅλην δὲ ἀψινθίαν θανάτου ἐπεγχεάμενος; τίς μοι τοιοῦτον ἐπλέξατο στέφανον, ὡς ἐκ ῥόδων στίλβοντα καὶ ὡς ἐξ ἀκανθῶν ἐκμάσσοντα· ὅλην προβέβληται τὴν αἰμασίαν, ἡλίκα περιφρίσσει τὰ κέντρα· λειμών τις ἄτης οὗτος, καὶ πλέγμα κηρῶν καὶ τελχῖνος ἀπαρχὴ καὶ Πλούτωνος στέφανος·

5 Cod. τριποῦσθαι, scripsi τριπλοῦσθαι, quamquam vocem hanc non inveniam in Schneideri Lex.

1 Cod. περιπτύσεται.

βοῦν τις οὕτω στέψας παρὰ βωμὸν ἐστήσατο, καὶ θεοῖς σωτῆρσιν ἐκαλλιέρησεν, ἱερεῖον ἄρα ἐριννύων [2] ἐγὼ, καὶ δαιμόνων ἀλαστόρων ἱερεὺς ὁ δήμιος· ἀθλοθέτην ἀπόπληκτον δυστυχῶ, τύχης καινὸν ἀεθλεύω παγκράτιον· ὦ Ξέρξη, τὰ πάντα παλίμβολε [3], ὦ καὶ θάλατταν ἀπογαιώσας καὶ ἤπειρον ἐκπελαγώσας, καὶ νῦν σοφοῦ κυβερνήτου τύχην μετασκευάσας καὶ καινοτομήσας τὰ ἀπροσδόκητα, τί τὸν ἀριστέα θαυμάζεις, εἰ τας χεῖρας ἀφελεῖν ἐμελέτησας; τί τὸν σταδιοδρόμον ἀνακηρύττεις, εἰ τοῖς ποσὶν ἐπεβούλευσας; γλῶτταν τίς τέθηπε ῥήτορος, καὶ τὴν τομὴν μελετᾷ, σοφόν τις κυβερνήτην ἀποκαλεῖ, καὶ πρὸς ξίφος δήμιον ἀπερράπισεν; ὦ βασιλεὺς οὗτος καὶ θαλάττης αὐτῆς ἀγριώτερος, ἐκείνη μου τὴν τέχνην ἠδέσθη, καὶ τὸ περὶ τὴν εὔπλοιαν σοφὸν οὐκ ἀπήλεγξεν· ὦ θάλαττα καὶ Πόσειδον ἀσφάλιε, καὶ Νηρηΐδων χοροὶ καὶ θεοὶ πάντες ἐνάλιοι, ὑμετέραν ἐγὼ τοῦτο τίθεμαι νέμεσιν, ὑμεῖς μὲ τῷ τοῦ βασιλέως ἐτηρήσατε ξίφει, ὑμεῖς με πρὸς τὴν παροῦσαν συμφορὰν ἀπεταμιεύσαιτε· τί γὰρ τὸν ἡμέτερον ἐχθρὸν ἔσωζον, τί δὲ καθ' ἡμῶν τὰ τῆς ἡμῶν τέχνης ἐπεδεικνύμην, ἐμάστιξε θάλατταν, καὶ πικρὸν ἐκάλει καὶ ἁλμυρὸν ποταμὸν, οὐκοῦν εὐλόγως ἠγρίαινεν, ἠδίκει τὸν Ποσειδῶνα, καὶ θαλάττης ἄρχειν ἐθέλων, οὐκοῦν εἰκότως ἐπεβουχᾶτο τοῖς κύμασι· Νηρηΐδας ἐξ Ἄθω μετῴκησεν· οὐκοῦν δικαίως τὸν σάλον ἡμῖν ἐπωρύοντο· ἔφθασε καὶ θεοὺς Ἑλληνίους ἐκπολεμῶσαι, καὶ τοῖς φίλοις θεοῖς Ἑλλάδος κακῶς ἀπηλλάττετο· ἐτρίπτετο μὲν ὁ μυριόστολος ἐκεῖνος, ἡ δὲ τῶν Περσῶν ὀφρὺς ξυνεθραύετο, καὶ τὸ φρόνημα ἔπιπτεν. φυγὴν δὲ ὁ βασιλεὺς καὶ φυγὰς ἐφ' ἑνὸς πλοίου κλέπτων τὴν διαπεραίωσιν καὶ τοὺς Ἕλληνας ὑφορώμενος βασιλεὺς ὁ πάντα νικῶν, ὁ μέγας, ὁ μυριάνθρωπος, Ἑλλήνιε Ζεῦ καὶ θεοὶ ἐλευθέριοι καὶ δίκη

2 Cod. ἐρίννυον. 3 Cod. παλίμβολα.

Digitized by Google

καὶ νέμεσις, ἡ μὲν θάλασσα ὤδινεν ἴσα καὶ ὄρεσι κύματα· ἐπήγειρε δὲ ὁ βορρᾶς ὄρθιον, εἶπεν ἄν τις περισαλπίζειν τὸ [4] ἐννάλιον, οἱ κάλως ἐτετρίγεσαν, ἡ ναῦς διεταλαντεύετο, θεοὶ τότε πάντες ἡμῖν ἐπεστράτευσαν, κάτωθεν ἐκ γὰρ τὸ πέλαγος Ποσειδῶν· ἄνωθεν συνῆγε τὰς νεφέλας ὁ Ζεύς, ὁ μὲν ὥσπερ πόλιν τὸ σκάφος ἐπώρυττεν· ὁ δ' ὡς ἐκ μετεώρων ἠκροβολίζετο· πολιορκία τίς ἦν τὸ πρᾶγμα καὶ πόλεμος ἄφυκτος· θεοί τε ἐστρατήγουν καὶ ὁ μεγάλαυχος Ξέρξης πανταχόθεν ἐβάλλετο· ἐπὶ θαλάττης ηὐτύχησεν, οὐκ ἐθάρρει τὴν ἤπειρον, φεύγειν ἐξ Ἑλλάδος ὥρμητο, καὶ τὰ δεινὰ πάλιν ὑφείπετο· στρόμβος πνευμάτων, ῥόχθος κυμάτων, σατραπῶν ἐπιβουλή, βασιλέων φυγή, πάντα Περσῶν ἀτυχήματα, ὁρᾷ τὸν κίνδυνον, πυνθάνεται τὴν τῶν κακῶν λύσιν, μανθάνει τὴν σωτηρίαν, ἡ δὲ ἦν ἄχθους ἀποβολὴ καὶ νεῶν κουφισμὸς, φόρτος δὲ τῆς Περσικῆς μοίρας ὅσον ἀπόλεκτον· ἐντεῦθεν οἱ μὲν εἰς θάλατταν ἀπεσφενδονῶντο πάντες αὐτόβουλοι, ἐγὼ δὲ διεκυβερνώμην τῷ μὲν δοκεῖν τὴν ναῦν εἰς ἤπειρον, τὸ δ' ἀληθὲς ἐμαυτὸν εἰς Ἀχέροντα· ἔξεισι τῆς νεὼς ὁ βασιλεὺς, ἐπιβαίνει τῆς γῆς, θαῤῥεῖ τὸ ἀπὸ τοῦδε, καὶ σοφῷ κυβερνήτῃ τῆς προμηθείας μνησικακεῖ· τί γάρ φησι μὴ καὶ τοὺς σατράπας περιεσώσω· οἷς μὲν οὖν βασιλέως ἐγεγόνεις σωτὴρ, στέφου τὰ βασιλέως καὶ γέρας ἔχε βασίλειον, οἷς δὲ σατραπῶν ὅλην ἐξημίωσας φάλαγγα, προσαποζημιοῦ καὶ σὺ τὸ ζῆν παρ' ἐμοῦ· ἐγώ σοι καὶ κρᾶμα τύχης τεχνάσομαι, ὃς μὴ τὸ καλὸν ἐφύλαξας ἄκρατον, τί φῆς ὦ βασιλεῦ, χάριτας ὀφείλων ἐπισείεις τὸ ξίφος, φοβεῖς τὸν φόβους θαλαττίους λύσαντα, τοιαῦτά σοι πρὸς ἐμὲ τὰ σῶστρα τὸν σοφὸν, τὸν σωτῆρα, τὸν κυβερνήτην· οὐ ταῦτα ἐκάλεις πρὸ μικροῦ κύματα ὁρῶν ἀφρίζοντα, καὶ θάλατταν [5] ζέουσαν, ἧπου καὶ στήλην ἐπεγείρεις καὶ

4 Malim τόν. 5 Cod. θάλαττα.

πείσεις φιλοτιμότερον; ἀλλὰ τί καὶ προσεπιγράψεις τῷ σώματι; ἐνταῦθα καλεῖται βασιλέως σωτὴρ, καὶ πεσόντα Ξέρξης τιμᾷ· πρόσθες, ὦ βασιλεῦ, παρὰ τοῦ καὶ πέπτωκε· πρὸς αὐτοῦ Ξέρξου τῆς δωρεᾶς, Ἄπολλον ἀποτρόπαιε καὶ θεοὶ ἀλεξίκακοι, τοῦ δι' ἐκείνων περισωθέντος, τοῦ περιόντος ἔτι, τοῦ μὴ πεσόντος, τοῦ ναυαγήσαντος, τί γὰρ μὴ καὶ τοὺς σατράπας τῷ βασιλεῖ συνετήρησας; βίαν μοι λέγεις θαλάττης, καιροῦ μοι λέγεις ἀνάγκην, κυμάτων ἀπειλὴν, πνευμάτων ἐπίθεσιν, δαιμόνων ἐπιβουλὴν, τύχης ἐπήρειαν· σύ μοι δοκεῖς μηδ' ἂν φυτηκόμον ἐπαινεῖν, ὃς ἔστιν οὗ καὶ τῶν κλάδων τοῖς μαραινομένοις συνθνήσκειν οὐκ ἐᾷ τὰ λειπόμενα, οὐδ' ἂν ἀριστέα θαυμάσεις, εἴτι που τοῦ σώματος τέτρωται. Μαρδόνιε δίχα τραυμάτων καὶ φόνου Περσῶν σπεῦδε νικᾶν Ἕλληνας, οὐ γὰρ ἂν φθάνοις ὑπὸ Ξέρξου κτεινόμενος, καὶ τῶν Ἀσκληπιαδῶν οἱ σοφώτεροι μικρὰ τὰ πρῶτα λυπήσαντες μειζόνως ἐσύστερον θέλγουσιν. ἐκεῖνοι καὶ ἄρθρα ποδῶν ὑπεκκαίουσιν, ἵνα τὴν κεφαλὴν περισώσαιντο, πόδας καὶ νῦν παρ' ἐμοῦ τὰ Περσῶν ἐζημίωσαι, καὶ τὴν κεφαλὴν ἀποκέρδαινε, σατράπας προῦδωκα καὶ βασιλέα κλύδωνος, καὶ ναυαγίου ἀφήρπασα, μηκέτι θαρρεῖτε, ὦ ναυτίλοι, τὴν γῆν, μηκέτι πτοεῖσθε τὰ κύματα· θαλάσσης οὐ γεγόναμεν ἔργον καὶ κακοπραγοῦμεν περὶ τὴν ἤπειρον· τίς ἡμῶν κακοδαιμονέστερος, παρ' οἷς ὕποπτα καὶ τὰ εὐτυχήματα; νῦν μὲν ἔχω τῆς ἀριστείας τὴν ἀμοιβὴν τοὺς λίθους, τὴν τιάραν, τὸν στέφανον, ἐπικρέμαται δέ μοι τὸ ξίφος ἑτέρωθι, μικρὸν ἤδη καὶ τὰ ἐπιθανάτια ἐπορχήσομαι, καὶ σκηνοβατήσω τὰ ὕστατα, τίς οὕτω ταχὺ κῦβος κατακεκύβευται; τίς οὕτω σφαῖρα θᾶττον κατακεκύλισται, ἧπου καὶ διήγημα τοῖς πολλοῖς ἀπιστούμενον ἔσομαι; τάχα μοι καὶ οἱ ἐν Ἅιδου θαυμάσονται, καὶ πυνθανομένοις ἐρῶ πάντα καὶ διηγήσομαι τὴν Περ-

σῶν ἦτταν, τὴν τῶν Ἑλλήνων τόλμαν, τὸν ἐξ Ἑλλάδος δρασμὸν,[6] τὸν ἐκ θαλάττης φόβον· τὶν ἐμὴν ἐπὶ τούτοις παραμυθίαν, τὴν τῶν σατραπῶν ἐπιβουλὴν, τὴν τοῦ βασιλέως ἀπόνοιαν, τὴν ἐντεῦθεν σφαγὴν καὶ ἐπὶ πᾶσι τὸν στέφανον.

11. *Τίνας ἂν εἴποι λόγους ὁ αὐλητὴς Ἰσμηνίας*[1] *παρ' Ἀλεξάνδρου βιαζόμενος ἐπαυλῆσαι τῇ τῶν Θηβαίων καταστροφῇ.*

Ὦ παῖ Φιλίππου, τίνα ταύτην προὔβαλες τὴν ὑπόθεσιν· τίνι θεῶν ἀπάρξομαι τῆς ᾠδῆς, ποῖον ἄδω μέλος προνόμιον·[2] Θήβας ἐπαινέσομαι καὶ κροτήσω Κάδμον τοῖς μέλεσιν. ἀλλ' ἡ Κάδμου κεῖται καὶ πέπαυται τὰ Θηβαίων σεμνά· Βάκχον ἐπικαλέσομαι κωμαστὴν[3] θεὸν εὐγενῆ, ἀλλ' ὁ κῶμος οὗτος ἄγριος, καὶ Μακεδόνες ἐπεβάκχευσαν· Ἡρακλέα παιανίσω καλλίνικον τὸν ἡμέτερον ἥρωα, τὸν ἐκ Διὸς, τὸν τῆς Ἀλκμήνης, τὸν Θήβηθεν· ἀλλ' οὐκ ἔσθ' ὅτε καὶ Θήβαις ὁ μέγας οὗτος ἥρως ἐπήμυνεν, ὦ πάλαι μὲν πόλεως εὐτυχοῦς, νῦν δὲ οἰκοπέδου λυπροῦ καὶ δυστυχοῦς· ὦ πάλαι μὲν εὐδαίμονος πολίτου, νῦν δὲ ἀπόλιδος αὐλητοῦ· κεῖται μὲν ἡ θρεψαμένη τὸν αὐλητήν· ὁ δ' ἐπαυλεῖν ἐκβιάζεται καλλιεροῦσι τοῖς πολεμίοις, καὶ στεφανοῦν τοὺς ἀλάστορας, ὡς ἐν μεταιχμίῳ καθέστηκα, ὡς ἐν ἀπορίᾳ κατείλημμαι, δυσερωτιῶ περὶ τὴν ἐνεγκοῦσαν καὶ τὰ ἐκείνης πάθη θρηνῶ· ἀλλ' ἑτέρωθεν ἐπισείει μοι τὸ ξίφος ὁ Μακεδὼν καὶ πείθει παιανίζειν οὐχ ὅσια· ἔρημον ὁρῶ τὸ σύνηθες ἐκεῖνο καὶ φίλον θέατρον, καὶ τραγῳδίαν ἐπισκευάζω τοῖς μέλεσιν, ἀλλ' ἀντινομοθετεῖ μοι τρόπον ἄλλον ὁ Μακεδὼν, καὶ τυραννεῖ μετὰ τῆς πόλεως τοὺς αὐτούς· μέσος εὐτυχοῦντος βαρβάρου καὶ πόλεως ἀτυχούσης γίνομαι· ἕλκει πρὸς

6 Cod. δραγμόν. 1 Cod. Ἰσμενίας. 2 Cod. προυνόμιον.
3 Arist. Nub. 605. κωμαστὴς Διόνυσος.

Digitized by Google

ὀδυρμὸν ἡ πατρὶς, πείθει τὰ πρὸς ἡδονὴν αὐλεῖν ὁ πολέμιος· τίς ποτε σταδιοδρόμος ἐπιπεσόντι σταδίῳ τὰ τῶν ποδῶν ἐπεδείξατο· ποῖος ῥήτωρ ἐποιχομένῳ τῷ βήματι τὴν γλῶτταν οὐ πρὸς θρῆνον ἐκίνησεν· αὐλητὴς ἐγὼ καὶ με Θῆβαι πόλις Ἑλλὰς τοὺς αὐλοὺς ἐξεπαίδευσε· πολλάκις ἐν πανελληνίῳ ταύτην ἐξύμνει, πολλάκις ὀφθαλμὸν Ἑλλάδος ἐκάλεσεν, ἀλλὰ νῦν ὁ καλὸς οὗτος τῆς Ἑλλάδος ὀφθαλμὸς [4] ὀρώρυκται, καὶ δεῖ με θωπεύειν βαρβάρους τοὺς τὴν φίλην θεοῖς ἀναρπάσαντας πόλιν, τοὺς κοινοὺς τῶν Ἑλλήνων ἐχθροὺς, τοὺς ἐκ Πέλλης, τοὺς Μακεδόνας, ὦ θεοὶ τίνα ταύτην ἆσω παλινῳδίαν, πῶς βαρβάροις ἐπαυλήσω θύμασι, πῶς ἐπισπείσω Διὶ τροπαίῳ τὸ μέλος, οὐκ ἐπ' Ἀργείοις ἐπὶ τῆς Κάδμου πεδιάδος πεσοῦσιν, οὐκ ἐπὶ Λάκωσι παρὰ Θηβαίων κομψοῖς ἐλεγχθεῖσιν, ἀλλ' ἐπὶ παιδὶ Φιλίππου νεανίᾳ Μακεδόνι, Θήβας ὅλας καταβαλόντι· οὐκ ἄρα Τερψιχόρη νῦν προστήσεται τῶν αὐλῶν φίλαυλος Μοῦσα καὶ θεὰ παῖς Ἑλληνίου Διός· καὶ φιλοῦσα τοὺς Ἕλληνας, ἀλλ' ἐριννύες τοῖς αὐλοῖς ἐπορχήσονται, καὶ Μακεδονικοί τινες ἀλάστορες δαίμονες, ἀποβδελύξεται καὶ Ἀθηνᾶ τὴν ᾠδὴν, καὶ τοὺς αὐλοὺς κατὰ γῆς ἀφιεῖσα τὴν ἀρχὴν οὐ μετ' ᾠδῆς μελήσεται. ἐπιστενάξει καὶ Ἄρης τοῖς ἐμοῖς αὐλήμασιν, ἧπου κἀκεῖνος ὑπὸ μοιρῶν τὴν Θηβαίων ἅλωσιν ἐκβεβίασται, ὡς ὑφ' ὑμῶν, [5] ὦ Μακεδόνες, ἐγὼ, τὰ αὐλήματα οἰμώξεται, καὶ Ἀφροδίτης μήτηρ Ἁρμονία θεὸς, καὶ ἀναρμοστίαν πᾶσαν ἐνθεὶη τοῖς ᾄσμασιν, οὕτως ἀναφρόδιτον ᾄσομαι, οὕτως ἀκαλλιέρητον θύσομαι· πεπτώκασι Θηβαίων παῖδες Ἁρμονίας, ἀπόγονοι Ἄρεος· πεπτώκασιν οἱ γηγενεῖς, οἱ ἐκ δράκοντος φίλοι, θεράποντες Ἄρεος, ξίφος Μακεδονικὸν τοὺς σπαρτοὺς ἐξεθέρισε, στάχυν χρυσεοπήληκα, [6] γένος Ἀρεῖ κάτοχον,

4 Pind. Ol. II. 11. Σικελίας ὀφθαλμός, ubi Bökh. Eur. Phön. 809. Κιθαιρὼν, Ἀρτέμιδος χιονοτρόφον ὄμμα. 5 Cod. ἡμῶν. 6 Cod. χρυσεοπήλικα.

αὐτομαθὲς τὰ πολέμια, οὐχ ὑστέραν γενέσεως ἔχον τὴν ὅπλισιν,[7] τάχα καὶ πάλιν Ἄρης οὐχ ἑνὸς παιδὸς τελευτὴν ἀποκλαύσεται παρὰ τῷ Διὶ τῷ πατρὶ, ἀλλὰ τῶν ἐξ Ἁρμονίας ἁπάντων, ἀλλ' ὅλην τὴν τῶν σπαρτῶν ἐπανάστασιν· ἤδη καὶ Κιθαιρὼν σιγηθήσεται, χωρίον ὡς ἐπὶ συμφοραῖς πάμφορον· καὶ ἡ Κάδμου πόλις ἀκούσεται, οὐ κατ' Ἀργείων καλλίνικος, ἀλλ' ὑπὸ Μακεδόνων ἀνάστατος· Ἐριννύων ἄλσος, λειμὼν ἄτης, κοινὸν πολεμύδριον, πολέμου ναυάγιον πάνδεινον· ἐν ταῖς Ἀμφίονος χορδαῖς περισώζουσα τὸν ἀριθμόν· ἡ ἑπτάπυλος, ὦ Ζεῦ καὶ θεοὶ, κατέστραπται, ἀνέστραπται τὰ Θηβαίων σεμνολογήματα· ἤρασε Μακεδὼν νεανίας τὴν τοῦ Διονύσου, τὴν τῆς Σεμέλης· οὐχ ἵνα πάλιν ἀναδοίη σπαρτοὺς, ἀλλ' ἵνα μηδ' ἴχνος ὑπολείποιτο πόλεως. ἄλλος οὗτος τῆς Μακεδόνων ὠμότητος ἄροτος, εἰς ἀγρὸν[8] τὴν πόλιν μετασκευάζων, ἤρδευσεν ὁμογνίῳ λύθρῳ τὴν γῆν, ἄλλος οὗτος ποταμὸς, ὃν ὁπλιτῶν Μακεδόνων νέφος ἐπλήμμυρεν· ἵν' ᾖ καὶ Κάδμον νεώσας ἀντίθετα· καὶ Ἰσμηνοῦ προχοαῖς ἀντερίζειν ἔχει τοῖς αἵμασιν· ἐπιτάττει καὶ Ἰσμηνίᾳ πεσούσῃ τῇ πόλει προεπορχεῖσθαι τοῖς αὐλοῖς; ἵν' ὑπ' αὐλοῖς ᾖ καὶ πίπτουσα, καὶ ταῖς τῶν πολυαίμων ᾠδαῖς ἀντηχήσῃ μέλος ἀντίμουσον· ὦ βάρβαρε Μακεδὼν, οὐκ εἰ σὺ τὸ γένος ἔλκων ἀφ' Ἡρακλέους, μάτην τὸ πρὸς τὸν ἥρωα κομπάζεις ὁμόγνιον, οὐ γὰρ ἂν τὴν Ἡρακλέους ᾐθάλωσας, ἢ τάχα καὶ λυτῶντα τὸν Ἡρακλέα ζηλοῖς καὶ κτείνεις, ὡς ἐκεῖνος, τοὺς ἐξ αἵματος; οὐκ ἦν ἐκεῖνος τότε καλλίνικος, οὐκ ἦν ἐκεῖνος ἀλεξίκακος, ἀλλ' ἐνόσει τὴν γνώμην καὶ λυσσῶν οὐκ ᾔδει τὰ φίλτατα· παῦσαι καὶ κειμέναις ἐπεμβαίνων ταῖς Θήβαις, ἀπέκειρας τοῦ τείχους τὸν βόστρυχον, καθ-

7 Cod. ὅπλισις. 8 Apostol. Centur. I. 19. ἀγρὸς ἡ πόλις· ἐπὶ τῶν παρανομούντων· Ἐπίχαρμος· ἀγρὸν τὴν πόλιν ποιεῖς.

εἶλες τὰς οἰκίας, ἀνέσπασας τοὺς βωμούς, ἀνέτρεψας τὰ τεμένη, ἐψίλωσας τῶν ἀναθημάτων τὰ ἀγάλματα, μῦθον ὅλως εἶναι τὴν πόλιν ἠγώνισαι· τί[9] καὶ αὐλητὴν δυστυχῆ τῆς θρεψαμένης ἐκβιάζῃ κατειρωνεύεσθαι· Ἰσμηνίας ἐγὼ, ἀπ᾽ Ἰσμηνοῦ καλοῦμαι, Θήβης εἰμὶ πολίτης, ἐκεῖθεν ἔχω καὶ τοὔνομα, μή μου καὶ τὴν κλῆσιν ἀποσυλήσῃς, μὴ πρὸς θεῶν, μὴ πρὸς Ἡρακλέους, ὃν τοῦ γένους αὐχεῖς ἀρχηγὸν, χάρισαι μεγάλῳ ἥρωϊ μικρὰν ταύτην χάριν, μὴ καὶ τὴν κλῆσιν τοῖς ἔργοις τὸν αὐλητὴν ἐξομόσασθαι· ἐπεχαρίσω μουσοποιῷ καὶ Μούσαις οἰκίαν, καὶ ταῦτα τὴν λοιπὴν ἅπασαν πόλιν καταπιμπρῶν, χάρισαι δή τι καὶ Ἀπόλλωνι μουσηγέτῃ καὶ αὐλητὴν οὐκ ἄμουσον. Ἔα μὴ πρὸς τὸν παρανομῆσαι· ὦ θεοῖς φίλον ἔδαφος, ὦ πάλαι Χαρίτων χωρίον, ὦ πάλαι Μουσῶν τέμενος, ὦ μέχρι νῦν πόλις, ὦ μᾶτερ[6] ἐμὰ χρύσασπι Θήβα, τὸ τεὸν καὶ ἀσχολίας ὑπέρτερον θήσομαι, καὶ Μακεδόνων ὠμότητα, οὕτω ζηλώσω καὶ Πίνδαρον, καὶ ταῖς νῦν τύχαις προσῆκον ἐπαυλήσω καὶ γοερόν.

12. *Τίνας ἂν εἴποι λόγους ὁ Ἄδραστος νικησάντων Θηβαίων καὶ μὴ ἐώντων ταφῆναι τοὺς πεσόντας Ἀργείους.*

Ὦ δυστυχοῦς στρατείας, ὦ πονηρῶν νυμφευμάτων· Ἀργεῖοι Θηβαίων ἡττήμεθα· Θηβαίων, ὦ θεοὶ, τῶν οὐκ ἀκριβῶς Ἑλλήνων, τῶν ἐπηλύδων τῶν ἐκ Φοινίκης· κεῖται μὲν ὁ τῆς Ἥρας γίγας ὁ Καπανεὺς,[1] κεῖται ὁ τῆς Ἀθηνᾶς φίλος Τυδεύς. οἴχεται δὲ ὁ λοιπὸς τῶν ὁπλιτῶν

9 Cod. τίς. 10 Pind. Istm. I. 1. cfr. Plut. Phaedr. p. 227. B. τί δὲ; οὐκ ἂν οἶει με κατὰ Πίνδαρον καὶ ἀσχολίας ὑπέρτερον πρᾶγμα ποιήσασθαι τὸ τεὴν τε καὶ Λυσίου διατριβὴν ἀκοῦσαι.

1 Cod. Καππανεύς.

Digitized by Google

κατάλογος, καὶ μετροῦμεν τὰς ἐναντίων πύλας ἀριστέων πτώμασι, παρ' ἑκάστην Ἀργεῖος ἐφήδρευε λοχαγὸς, παρ' ἑκάστην καὶ πέπτωκε, νεκρῶν [2] ἅπαν τὸ πεδίον ἀνθεῖ, γέμει λαφύρων ἡ πόλις, τρυφῶσιν ἐφ' ἡμῖν, ὦ Ζεῦ, καὶ κειμένοις Θηβαῖοι, καὶ τὰς ψυχὰς ἀφελόμενοι φθονοῦσι καὶ ταφῆς τοῖς σώμασι, μεθ' ἡμᾶς ἐπὶ τὴν λύσιν χωροῦσι, μεθ' ἡμᾶς ἐπὶ τοὺς κοινοὺς νόμους τῶν Ἑλλήνων στρατεύονται, οὐδὲ πεσοῦσι τοῖς πολεμίοις σπένδονται, ἐν θνητοῖς σώμασι καὶ κατὰ θνητῶν ἀθάνατόν ἐστι· περιφέρουσι θυμὸν, καὶ ὁ μὲν πόλεμος πέπαυται· Θηβαῖοι δὲ κατ' Ἀργείων ἔτι μεμήνασιν, οὐκ εὐλαβοῦνται τοὺς ὑπὸ γῆν θεοὺς, οὐκ αἰδοῦνται τοὺς Ἕλληνας, τοὺς οὐκ ἀντιτείνοντας βάλλουσιν, τοὺς οὐκ αἰσθανομένους κολάζουσιν· [3] ἐπιπηδῶσι καὶ κειμένοις θηριωδέστερον, βάρβαρος ὁ τρόπος, ὁ θυμὸς οὐχ Ἑλλήνιος· οὐκ ἦν ἄρα λόγος ἄλλως, ἀπὸ δράκοντος φῦναι Θηβαίους, ἐκείνου τοῦ σπέρματος οὗτος ὁ στάχυς, ἔτι τῆς θηριωδίας ἀπόζουσι, τηροῦσιν ἔτι τὸν ἰὸν ἐγκαθήμενον ταῖς ψυχαῖς, ζηλοῦσι καὶ μετὰ τὸν ἄνθρωπον τὸν πρόγονον δράκοντα, καὶ τοῖς ἀδελφοῖς θηρίοις τὰ τῶν ἀνθρώπων ἐπιῤῥίπτουσι σώματα· Ἥρα πολιοῦχε καὶ Ἄργους ἔφορε δαῖμον, ἡ σὴ πόλις ἐπ' Ἰσμηνοῦ κεῖται, καὶ τὸ Κάδμου χωρίον κατὰ τοῦ τῆς Ἥρας τεμένους χορεύει· ὁ Ζεὺς ἡμῖν ὁ σὸς πεπολέμηκε, τῆς περὶ Σεμέλην ἀπάτης ἐμέμνητο, τὴν σὴν πόλιν ἐπὶ τῆς Θήβης ἑλὼν ἄλλο πῦρ ἀντανῆψε κεραύνιον, καὶ στρατόπεδον ὅλον ἀνάλωσε πυρὶ καὶ σιδήρῳ, καὶ λίθοις ἡμᾶς ἐπενείματο, καὶ νῦν ἔχουσι τὰς μὲν ψυχὰς οἱ κάτω θεοὶ, τὰ δ' ὅπλα Θηβαῖοι, θῆρες δὲ τὰ σώματα· ἐν Θήβαις ἠτυχήσαμεν, ἐπὶ Κιθαιρῶνος πεπτώκαμεν, ὦ πόλις εὐρεῖα σκηνὴ καὶ πλουτοῦσα ταῖς συμφοραῖς, ὦ Κιθαιρὼν ἐρινύων ἄλ-

2 Cod. νεκρόν. 3 Ar. Nub. 550. κοὐκ ἐτόλμησ' αὖθις ἐπεμπηδῆσ' αὐτῷ κειμένῳ.

σος, ὅλα φύων δράματα, σὺ τὴν ὑπόθεσιν ἡμῖν ἐχορήγησας. ἐπί σοι καὶ τὸ δρᾶμα ὁ δαίμων ἐσκεύασεν, ἦκεν εἰς Ἄργος, ὡς μὴ ὤφελεν ὁ σὸς Πολυνείκης, ὁ καὶ τὴν γονὴν ἀπαίσιος καὶ τὴν τελευτὴν ἀποτρόπαιος, ἦκε φυγὰς ἀλήτης ἀνέστιος, ἠδέσθην ἐπὶ τούτοις τὸν ξένιον καὶ τῆς ὥρας θαυμάσας καὶ τῆς τύχης οἰκτείρας, συνάπτω πρὸς γάμον τῇ θυγατρὶ, ἦκεν ἐξ Αἰτωλίας καὶ Τυδεὺς ἄλλος οὗτος, τραγικοῦ κόμματος ἄνθρωπος, καὶ τυχὼν τῶν αὐτῶν ἱκέτης ἐπὶ τοῖς αὐτοῖς γίνεται· ἐπινεύω τοίνυν ἀμφοτέροιν τὴν ξυμμαχίαν; καὶ τὴν ἐς τὴν σφῶν αὐτῶν κάθοδον παρεγγυῶμαι θαρρεῖν, ἀλλ', ὦ Πυθία πρόμαντι, ἀληθῶς ἄρα εἶ καὶ μάντις καὶ δαίμονος ἔμπνους, θεοῦ μεγάλου πρόσπολε, ἀληθὴς ἔφεδρος τοῦ τῆς Θέμιδος τρίποδος· οἷς γὰρ θηρίων κηδεστὴν ἀκοῦσαί με προὔλεγες τοῦ μὲν τὴν μιαιφόνον προὔφαινες τύχην, τοῦ δὲ καὶ τὴν ἐκ γένους θηριωδίαν ἀπεμαντεύου, καὶ τὴν ἐκ μάχης ἀδελφοκτονίαν, τὴν πικρὰν, ἐπάρατον, τὸ ἀπόπτυστον ἐκεῖνο καὶ ἀφήριστον τρόπαιον, ὃ καὶ πεσὼν παραλογώτερον ἔστησε, καὶ παρὰ μέρος ἡττηθεὶς ἐτροπώσατο· κρεῖσσον ἦν μοι θηρίοις ἐκδοῦναι τὰς παῖδας, εἰς ἐμὲ γὰρ ἂν μόνον τὰ τῆς ζημίας ἐνέσκηψε, νῦν δέ μοι καὶ τὰ κατ' οἶκον λυπρὰ καὶ τὰ τῆς πόλεως οὐκ ἀδάκρυτα· ἀκούω πατὴρ παίδων, ἀλλὰ δυσγάμων, ἀκούω καὶ κηδεστὴς, ἀλλ' οὐκ εὐτυχὴς, καὶ στρατηγὸς, ἀλλ' οὐκ ἀσφαλὴς, καίτοι δίκαια μὲν ἐβουλόμην, ἐπὶ δικαίοις δὲ τὰ ὅπλα ἐκίνουν· εἶξαι Πολυνείκει τὸν ἀδελφὸν τῆς ἀρχῆς, καὶ μὴ γένους μὲν κοινωνεῖν, κλήρου δὲ πατρῴου καὶ κοινῆς ἑστίας φθονεῖν· ταῦτα Θηβαίοις ἐπρεσβευόμην, οὕτως ἑλληνικῶς ἔστελλον τὸ κηρύκιον, ἐπεὶ δ' ἐκεῖνοι καὶ πρὸς αὐτὴν ἀπεδυσπέτουν τὴν ἀκοὴν, ἐνταῦθα καὶ αὐτὸς τοὺς λόγους ἀφεὶς ἐπὶ τὰ ἔργα ἔβλεψα, καὶ δίκῃ καὶ θεοῖς τὸ πᾶν ἐπιτρέψας κριτὴν καθίζω τὸ ξίφος, Ζεὺς, δὲ ἄρα

Digitized by Google

ἄρα ὡς ἔοικεν, οὐκ ἀκριβῶς ἐθεμίστευε, καὶ Θηβαίοις οὐ πρὸς δίκην τὰ τῆς δίκης ἐπρυτάνευσε τάλαντα· τοῦτο ἦν, καὶ ὁ τῆς δίκης πεττὸς πρὸς τοὺς ἠδικηκότας μετεπεττεύετο, ἔσειε μὲν τὴν αἰγίδα ὁ Ζεὺς, ὑπερῴγνυε δὲ τὰς βροντὰς, ἐστόμου τὸ μέγα βέλος τὸν κεραυνόν· περιεστρόβει τὸ πῦρ, καὶ πρηστῆρας ὅλους κατὰ τῶν ἡμετέρων κεφαλῶν ἀπεδίσκευεν, ἐκάλει δὲ πρὸς ἐπικουρίαν τὸν παῖδα τὸν Ἄρεα, φιλαίματον δαίμονα, θεὸν ἀλλοπρόσαλλον· [3] τηλικοῦτον ἡμῖν κακὸν ἐπηρτύετο, ἐμυκᾶτο μὲν ἐρίγοδυπον οὐρανὸς, καὶ πρὸ τῶν τοῦ Διὸς ἀκροβολισμῶν τὸ ἐνυάλιον ἐπηλάλαξεν· ἔπνει δὲ θυμοῦ καὶ ὁ τῶν θεῶν ὕπατος, [4] καὶ πᾶν ὅσον ἔμπυρον οὐρανόθεν ἐξηκοντίζετο. καὶ ὁ τῆς Ἥρας ἀριστεὺς ὁ μέγας, ὁ Καπανεὺς, ἀντὶ Σεμέλης ὡς ἄλλος Τυφὼς ὑπὸ Διὸς ἐβάλλετο, Ἄρης δὲ τὸ ἔγχος ἐνώμα, καὶ τὰς τῆς μητρὸς ἐστυφέλιζε φάλαγγας, καὶ ὁ τῆς Ἀθηνᾶς ὁπλίτης Τυδεὺς, ἀντὶ δράκοντος λίθῳ κατεαγὼς τὴν κεφαλὴν ἐπὶ γῆς ὑπέστρωτο ὕπτιος· ἐξ Ἄρεος ἔκειτο, πυρὶ πῦρ ἀνθυπεξέκαυσε Ζεὺς, καὶ λίθῳ λίθον Ἄρης ἀπεταλάντευεν· ὁ μὲν τὴν σύνοικον εἰς ἀγαθὸν λοχαγὸν ἀντὶ τῆς ἐρωμένης ἐλύπησεν, ὁ δὲ τὴν ἀδελφὴν ἀντὶ φίλου θηρὸς οὐκ ἀγενῆ στρατηγὸν ἐζημίωσεν, οὐδὲ Ποσειδῶν τῆς μάχης ταύτης ἐλείπετο· ἀλλὰ συνεστρατεύετο καὶ αὐτὸς τἀδελφῷ, καὶ καθ' ἡμῶν ἐκίνει τὴν τριαιναν, καὶ τῶν ἐπ' Ἀμυμώνῃ παιδικῶν τῶν αὐτοῦ τοὺς ἐπὶ Σεμέλην Διὸς προὔθηκεν ἔρωτας· ὅλης πόλεως φίλης ἦτταν καταψηφίζεται· ἵν' ἀδελφὸν εὐφράνῃ βαρύμηνιν, γῇ δὲ τὸ στόμα περιεβόθρευε καὶ πλατὺν ὑπέχαινε φάρυγγα, οὐχ ἵνα πολυδιψείῳ πόλει πηγή τις ἀναῤῥοιβδήσῃ πολύκρουνος καὶ διειδὴς, γλυκέος ἔρωτος ξύμβολον, ἀλλ ἵνα στρατιώτης αὐτοῖς ὅπλοις καταποθήσεται· ὦ πονη-

3 Il. E. 831. et 889. 4 Cod. ἥπατος.

ρᾶς ταύτης αὖλακος, ἣν οὐ γηπόνος ἐπήσκησεν, οὐκ ἐπόλευε βοῦς, οὐ περιελάκισεν[4] ἄροτρον· τῇ τριαίνῃ δὲ διέστησε Ποσειδῶν, καὶ μάντιν σοφὸν ἀντὶ σπέρματος ἐγκατέχωσεν· ὦ γῆς καὶ φυούσης ὁπλίτας παράδοξα καὶ αὖθις ἀποκρυπτούσης ἀνέλπιστα· ὦ γῆς ἐφ' ἧς οὐδὲ θεοὶ κακῶν ἀπείρατοι· Θηβαῖος ἦν Διόνυσος, καὶ θεὸς προγενής, ἀλλ' οὐκ ἦν αἵματος ὁμογνίου καθαρὸς, οἷς μητέρα κατὰ παιδὸς ἐβάκχευσε· Θηβαῖος ἦν Ἡρακλῆς, ἀλλ' εἰς τὸ γένος ἐλύττησε, καὶ τοῖς παισὶ τὰς χεῖρας ἐπιβαλὼν τὸ Θηβαῖον εἶναι τοῖς κακοῖς ἐβεβαίωσε· τοῦτον οἶμαι καὶ Πολυνείκης ἐπλήρωσε τὸν κατάλογον, καὶ τοῦ γένους ἡμῖν κοινωνήσας καὶ τῆς τύχης μετέδωκεν· οἵους θεοὺς ἐφ' ἡμᾶς αὐτοὺς ἐκινήσαμεν· ἡλίκους ἐκπεπολεμώκαμεν δαίμονας, Ζεὺς τὸν καταιβάτην μετεχειρίζετο, Ἄρης ἔθηγε σίδηρον, Ποσειδῶν τὴν γῆν ἀνεμόχλευε, πάντα ἡμῖν ἄπορα καὶ μαχομένοις καὶ δραπετεύουσιν· ἠνδρίζετό τις Ἀργεῖος καὶ τὰ μεγάλα παρεκινδύνευεν, ἀλλ' ἡ γῆ τοῦτον αὖθις ἐπέδησε· καὶ λόχος βαθὺς ἦν ὁ βόθρος, καὶ πάγη τις ἄφυκτος, οὐκ οἶδεν ὁ μάντις τὰ ἐν ποσὶ, Ζεὺς γὰρ αὐτῷ συνεδόλου τὸ μαντικὸν, ἤπου καὶ νῦν τῆς Ἥρας κατειρωνεύεται· οὐκ ἦν μόνος ὁ Ζεὺς οὐκ εἰδὼς ἐν Θήβαις, ὅ, τι καὶ πείσεται, ἀλλὰ καὶ φίλος Ἥρας μάντις ἐξ ἀγνοίας πίπτων· ὡς τοῦτό γε τὸ μέρος ἐκεῖνος ηὐτύχησεν, αὐτῷ σώματι τὴν γῆν ὑποδὺς, καὶ φυγὼν τὴν Θηβαίων ὠμότητα· καὶ ὡς εἴθε καὶ πᾶσι τοῖς πεσοῦσιν Ἀργείοις ταύτην ἐκύρωσε τὴν μοῖραν ὁ Ζεύς· νῦν δὲ στρατόπεδον ὅλον κατὰ πεδιάδος ἐφήπλωται, βλέπει τὰ ἀθέατα ἥλιος, τί δράσω; τί χρήσωμαι τοῖς παροῦσιν; οὔτε γὰρ περιορᾷν τοὺς οἰκείους οὕτω κειμένους καλὸν, καὶ στρατὸν αὖθις ἐγεί-

5 Cod. περικυλάκισεν, scripsi περιελάκισεν. Suid. περιλακιζομένη, ἀντὶ τοῦ διασχιζομένη καὶ διακοπτομένη.

ρειν ἐξ Ἄργους ἄπορον· Θηβαίοις τὸ πείθειν ἄλλως ἀμήχανον, ἐπὶ τὴν Ἀθηνᾶς πόλιν πορεύσομαι, ἐπὶ τὸν ἐλέου βαδιοῦμαι βωμὸν, ἐπισπείσω καὶ δάκρυα καὶ πείσω δῆμον φιλάνθρωπον, οὐδέ μοι τοὺς πολεμίους κατα-γωνιοῦνται, τοὺς θυμῷ βαρβάρους θύοντες, οἱ θεὸν εἰδότες τὸν ἔλεον, οἱ αὐτόχθονες [6] τοὺς σπαρτοὺς, οἱ ἐξ Ἀθηνᾶς τοὺς ἐκ δράκοντος, ταύτῃ τό γε νῦν ἰτέον, οὕτω γὰρ ἐμοῖς ἐπικουρητέον, τὸ δ' εἰσέπειτα, Ἥρα τε Ἀργεία καὶ θεοὶ ἐγχώριοι, ἠβήσαιεν οἱ τῶν πεπτωκότων παῖδες, ἴδοιμι τοῖς ὅπλοις ἀνθοῦντας, καὶ στρατὸν αὖθις οἰκεῖον ἐπὶ Θήβας ἐλάσαιμι, ἐκεῖνοι τὴν τελεωτέραν ἡμῖν ἐπικουρίαν δοῖεν, καὶ ταχὺ τὴν θεοῖς ἐχθρὰν [7] γῆν, τὴν τῶν σπαρτῶν τῶν τοῦ δράκοντος οἰκείου τε κορέσομεν αἵματος καὶ δείξομεν ἄσπαρτον ἐπὶ μακρόν.

13. *Τίνας ἂν εἴποι λόγους ἡ Θεοτόκος, ὅτε μετέβαλεν ὁ Χριστὸς τὸ ὕδωρ εἰς οἶνον εἰς τὸν γάμον.*

Ὡς παῖδά σε περιπτύξομαι, ἢ ὡς θεὸν σεβασθήσομαι; τὸ μὲν γὰρ οἷς ὑπήκουσας, τὸ δ' οἷς ἐκαινούργησας, πέφηνας· ὡς μήτηρ περιλαλεῖν σε γλίχομαι, καὶ ὡς ἄνθρωπος προσελθεῖν ὑποστέλλομαι, καὶ ὡς θεὸν πέφρικα καὶ ὡς παῖδα θαῤῥῶ· ὦ θεὲ παῖ, μετέβαλες τὸ μὲν ὕδωρ εἰς οἶνον, εἰς εὐφημίαν δὲ τὸν ὑμέναιον, ἐξέστησας λόγῳ μὲν τὸ ὕδωρ, ἡμᾶς δὲ τῷ θαύματι, ἀκόλουθα ταῦτα τοῖς πρότερον, θεία μὲν ἡ γονὴ, θεῖος δὲ ὁ τοκετὸς, καὶ μήτηρ ἐγὼ, τὸ μέν τι τοῦ τόκου φυλάξασα, τὸ δ' ὑπερβᾶσα θειότερον· οὔτε τὸ φυλαχθὲν ἐστέρηται θαύματος, καὶ τὸ διαλειφθὲν οὐκ ἀνέκπλη-κτον· ἔτικτόν σε, ὦ παῖ βασιλεῦ, σὺ δὲ τὰς ὠδίνας ἔν-δοθεν ἀφελόμενος τὸν τοκετὸν ἐτήρησας, μήτηρ ἤκουσα καὶ παρθένος πάλιν μεμένηκα, οὐρανὸς τῷ τόκῳ ἐφύ-

6 Cod. ἀντιχθονες. 7 Cod. ἐχθροῖς.

Digitized by Google

μνησε, καὶ πρὸ τοῦ τόκου μὲν ἄγγελον παρεῖχέ μοι νυμφοστόλον, μετὰ δὲ τόκον ἀστέρα καινὸν ἄλλον ἀνέτελλε· κήρυξ ἦν ἐκεῖνος τοῦ τόκου, καὶ Περσίδος εἴχομεν δῶρα, καὶ βασιλεὺς αὐτὸς ἤκουες, καὶ νῦν δὲ τοῖς περὶ τὴν γένεσιν τὰ τῆς ἀνατροφῆς ὡς ἀνάλογα· γάμος ἦν καὶ παρθένον ἔχων μητέρα, καὶ γυναῖκας ἰδεῖν οὐκ ἀπώκνησας, ἀλλ' ἐφείπου τῇ μητρὶ, τοῦτο μὲν ὡς παιδίων νόμους τηρῶν, τοῦτο δ' ὡς καὶ γάμον νομοθετῶν, καὶ συγχωρῶν τὸν ὑμέναιον· ἐτίμησας μὲν, ὦ παῖ, πολλοῖς τὴν παρθενίαν πρότερον θαύμασι, νῦν δὲ καὶ τὸν γάμον καὶ δι' αὐτὸν τὴν μητέρα ἐμέ. Γάμος ἦν καὶ τὸ τῶν ἡδυσμάτων ἥδιστον οἶνος ἐλείπετο, ἔπινον μὲν οἱ δαιτυμόνες, ἀλλ' ὕδατος, ἐχόρευον μὲν, ἀλλ' ἀνήδυντα,[1] ἀλλ' ἦδειν ἐγώ σου τὴν ἰσχὺν, οὐκ ἠγνόουν οἷον ἔτεκον, ἦδειν καλῶς τὸ ἔνδον κρυπτόμενον, ἐντεῦθεν πρόσειμι τῷ παιδὶ, ἐπιλέγω τὸ τῆς γάμου τελευτῆς[2] ἀτέλεστον, παραθήγω θαυματουργίας ἅψασθαι, ἐπιδείξῃ, λέγουσα, πάντως, ὦ παῖ, μετ' οὐ πολὺ τὴν ἰσχύν· εὖ οἶδα τῆς ἡλικίας ἀναμένεις τὸ τελεώτερον, χρόνον ἀποταμιεύεις τῇ διδασκαλίᾳ, καὶ ὃ ὁρίζεις τοῖς θαύμασιν· ἀλλ' ἄρξαι νῦν, ἐπείγομαί σε τερατουργοῦντα θεάσασθαι, χάρισαι τὴν τῶν θαυμάτων ἀπαρχὴν τῇ μητρὶ, ὁ δὲ, ἃ νόμοι πατέρων ἐπὶ τέκνοις κείμενοι, οὐκ ἀπένευσεν, οὐκ ἀπεῖπεν, οὐκ ἀπεδοκίμασε μητρὸς αἴτησιν, ἀλλ' ὕδωρ ᾔτησε, καὶ ὁ μὲν ἐπέταττε, τὸ δ' εἰς οἶνον παρήγετο· ὡς καλὸν καὶ τοῖς παισὶν εὐπειθείας δίδως ὑπόδειγμα· εὐγνωμονεῖτε, ὦ παῖδες, περὶ τὰς τεκούσας, ἀπὸ τῶν μητέρων τῆς χάριτος ἄρχεσθε, ὅτι καὶ θεὸς γενόμενος παῖς μητέρα αὐτοῦ αἰτοῦσαν ἐτίμησε θαύμασιν· ὦ λόγος ἐκεῖνος ἐξ ἀφανῶν πηγῶν ἀναδιδοὺς οἴνου ῥεύματα· ὅσην ἔχεις, ὦ παῖ βασιλεῦ, τὴν δύναμιν, δίχα βοτρύων οἶνος ἀνέ-

1 Cod. ἀνήδηντα. 2 fort. τελεσῆς, vid. p. 359.

βλυξεν, ἄμπελος οὐκ ἦν καὶ οἶνος ἀνεδίδοτο· τίς ληνὸς τὸν οἶνον τοῦτον ἐξέθλιψε; τίς ἄμπελος τὸ πόμα τοῦτο ἐθρέψατο; τρυφᾶτε νῦν, ὦ δαιτυμόνες, τὰ γαμικὰ, σπᾶτε οἴνου, σπᾶτε δὲ πλέον τοῦ θαύματος· οἱ πατέρες ἡμῶν ἐκ πέτρας ὕδωρ ἔπινον, ἀλλ' ὑμεῖς οἶνον ἐξ ὕδατος, ἐκεῖ ῥάβδος ἔπληττε καὶ χεὶρ ἀνετείνετο, ἐνταῦθα λόγος μόνος ἐπαρκεῖ τῷ θαύματι· ἐκεῖ γογγυσμὸς ἐξηκούετο, καὶ ὁ δημιουργὸς ἐνεδοίαζεν·[3] ἐνταῦθα μητρὸς μόνη παράκλησις, καὶ τὸ θαῦμα ἐπακολουθεῖ ἀνενδοίαστον· ὅσῳ τῶν πατέρων ἡμεῖς μακαριώτεροι, θεοῦ θεράπων ἐκείνοις ἐτερατούργει· νῦν δ' ἡμεῖς αὐτὸν ἐκεῖνον ἔχομεν τὸν τῶν σημείων δεσπότην καὶ τεράτων κύριον, λόγῳ τὰ πρῶτα τὸ πᾶν συνεστήσατο, οὐρανὸν, γῆν, θάλασσαν, ποταμοὺς, τἄλλα πάντα, λόγος καὶ νῦν τὴν ὕδατος φύσιν εἰς οἶνον μετεκίνησε, πίετε τοῦ κοινοῦ τούτου πόματος καὶ πρότερον τούτου τῆς πίστεως· ἤδη τι καὶ νεανιεύσομαι, ὡς μακαρία ἐγὼ, μήτηρ θεοῦ καὶ κληθεῖσα καὶ γενομένη, ὦ γάμος οὗτος μακάριος, οὗ καὶ θεὸς γέγονε δαιτυμὼν, καὶ δαιτυμόνες οἴνου θαύματος ἔπινον.

14. Τίνας ἂν εἴπῃ λόγους ὁ ἐκ γενετῆς τυφλὸς ἀναβλέψας.

Ὑπαρ ἐστί μοι τὰ τῆς ὄψεως ἢ ὄναρ ηὐτύχησα, καὶ μὴ βλέπων αὖθις ἠπάτημαι; τὰ μὲν γὰρ ἔργα βεβαιοῖ τὸ φαινόμενον, τὸ δὲ τῆς θεραπείας καινὸν μικροῦ τὴν πίστιν παρείλετο· ἡμέρα μὲν ἥδε καὶ φῶς ἐξ ἀκοῆς τὸ πρότερον γινωσκόμενον· ὀφθαλμοὶ δ' οἱ πρὸ τοῦ μηδὲ ὄντες τὴν ἀρχὴν οὐκ οἶδ' ὅπως νῦν ἀνεῳγεσαν, καὶ γεύομαι φωτὸς, ὃ πρὶν ὁρᾶν οὐκ εἶχον γλιχόμενος· ὦ οἷον εἶδες ἥλιε, ἅμα σε βλέπων ἐξέστηκα, καὶ συνεξέστης αὐ-

3 Cod. ἀνεδοίαζεν, scripsi ἐνεδοίαζεν propter sq. ἀνενδοίαστον. De confusione harum praepositionum vide ep. crit. p. 57.

τὸς οὐδὲν ἧττον βλεπόμενος, καὶ μὴ βλέπων τοὺς οὐχ ὁρῶντας, ὑπερέβαλον πάντας τῷ μεγέθει τῆς συμφορᾶς, καὶ νῦν ἐξαίφνης ἰδὼν ὑπερβέβληκα τοὺς ὁρῶντας τῷ καινῷ τῆς ὄψεως. οὔτε μοι τὰ τῆς ἀβλεψίας ἀνέκπληκτα, καὶ νῦν αὖθις τὰ τὴς ὄψεως οὐκ ἀθαύμαστα· ἐλύετο μέν μοι τὰ τῆς ὠδῖνος, καὶ τὰ τῆς ὄψεως ἐπεπέδητο, καὶ παρηγόμην εἰς φῶς, φωτὸς δ' οὐκ ἀπήλαυον· ἑώρων μὲν οἱ γονεῖς αὐτοὶ πρὸς τοῦ παιδὸς οὐχ ὁρώμενοι, βαθὺ δέ μοι σκότος ὑπῆν καὶ πρὸ τοῦ τόκου καὶ μετὰ γένεσιν· ἐντεῦθεν σύντροφον τὸ κακὸν νὺξ ἦν τὰ πάντα καὶ ζόφος ἄλυτος· ἦκεν ἡμέρα, ἐγὼ δ' οὐκ ἤκουον· ἐπῆλθε νὺξ, καὶ πάλιν ἐπυνθανόμην, καὶ ἃ μὴ βλέπειν εἶχεν εὐκόλως ἐμάνθανον, ὅλος ἑώρων ὡς ἤκουον, καὶ τὴν ἀκοὴν εἰς ὅρασιν μετελάμβανον· ἀπείρηκα πολλάκις ξυμποδιζόμενος, ἀπεῖπον τοὺς πόδας, οἷς ἔτυχον συντριβόμενος, ἐπεχωρίαζον τῷ ναῷ καὶ τὸ κάλλος ὑφ' ἑτέρων ἐμάνθανον· οὕτω μοι ξύμφυτον ἦν τὸ δεινὸν, οὕτω τὰ τῆς ξυμφορᾶς ἀμετάβλητα, ἐπ' ἐμοὶ μόνῳ τῶν ἁπάντων ἀλαμπὲς ἐδόκει τὸ πᾶν καὶ σκότος αὖθις ἀρχαιόγονον, ἔφερον εἰκόνα τοῦ παντὸς, πρὶν ἢ τὸ φῶς ἥκειν, καὶ νύκτα μεταλαβεῖν, καὶ Μῳϋσῆν ἐκεῖνον ἐθαύμαζον· ἐζηλοτύπουν τῷ πάθει παραβάλλειν ἕτερον, ἀλλ' ἦν τὸ κακὸν ἀπαράβλητον, παρῆσαν ἕτεροι ταὐτὸν δυστυχοῦντες, καὶ τὴν συμφορὰν ἐρευνῶν ὑστέραν εὕρισκον ὄψεως. ἐγὼ δ' ἀλλὰ, πρὶν ἰδεῖν, τὸ βλέπειν ἀφῄρημαι, καὶ πρὶν ἐλθεῖν εἰς ἕξιν ἐστέρημαι· ἐπὶ τοσοῦτον καινότητος ἦλθέ μοι τὸ κακόν· ἀλλ' ὦ τῆς εἰσέπειτα μεταβολῆς, ὡς οὐχ ἧττον ὁ τῆς ὄψεως τρόπος ἐμοὶ κεκαινούργηται· ἐφοίτων ἐν τῷ ναῷ, προσήτουν τὰ πρὸς τροφὴν, ἤκουον τοῦ Ἰησοῦ διδάσκοντος, ἐπηκολούθει τῇ διδασκαλίᾳ καὶ θαύματα· ἐπὶ τούτοις ὑποφλέγομαι τὴν καρδίαν, ἀναζέω πρὸς πίστιν, ζηλῶ τοὺς ἰαθέντας τῆς δωρεᾶς· ἕρμαιον ἡγοῦμαι τὸ πρᾶγμα, ἐντεῦθεν ἱκέ-

Digitized by Google

της πρόσειμι, θεὸν ἐπιβοῶμαι, σωτῆρα καλῶ, τὸ πάθος εἰς οἶκτον προβάλλομαι, καὶ προβαίνει μοι τὰ τῆς ἐλπίδος εἰς ἔργον καὶ τὰ τῆς θεραπείας ὡς ἄῤῥητα, γῆν συνέφυρεν ὕδατι, καὶ φέρων τοῖς ὀφθαλμοῖς ἐπιτίθησι· καὶ τὸ φῶς εὐθὺς ἀνεδίδοτο, θεὸν ἐγώ σε θαῤῥῶν ἀποφαίνομαι, καὶ πρό γε ἐμοῦ τὰ τοῦ θαύματος· ὅλον ἐκ πηλοῦ τὰ πρῶτα συνεστήσω τὸν ἄνθρωπον, καὶ νῦν παρὰ μέρος οὐκ ὄντα πηλῷ μεταπλάττεις· ταῦτά σε κηρύττει θεὸν, ταῦτα δημιουργὸν ἄνθρωπον, ταῦτα υἱὸν θεοῦ ἐν θνητῷ προσχήματι· ἃ φῶς νῦν σε πρώτως καὶ βλέπω καὶ τέθηπα, ὦ καλὸν ἥλιε δημιούργημα· οἷος ὢν ἡμῖν οὐκ ἐπέλαμπες· τίνα ταύτην ὁρῶ τὴν πολλὴν ὑπὲρ κεφαλῆς ἐπήλυσιν, καὶ ὡς κάτοπτρον διαφαίνει καὶ ὡς ὕδωρ κέχυται. τίς καὶ ὁ καλὸς καὶ μέγας οὗτος ὄροφος, δημιουργὲ βασιλεῦ, ὅσος μὲν ἐπῆρται, ἡλίκος δὲ ἀνατέταται, θαῤῥεῖτε ὦ πόδες, οὐκέτι προσπταίοντες συντριβήσεσθε, ἀπήλλαχθε μὴ βλεπομένης ὁδοῦ, καὶ βακτηρίας ἡμῖν οὐ δεήσει λοιπὸν, ὦ τεκόντος ὄψις γλυκεῖα, νῦν καὶ αὐτὸς ἡμᾶς ὄψομαι καὶ γονεῖς ἐπικαλέσομαι βεβαιότερον, οὐδὲν ὑμῖν εἰς ἁμαρτίαν τοῦ λοιποῦ διαγνώσομαι. ἀλλ' ἐφυλαττόμην τηλικούτῳ θαύματι, ἀπείληφα τὴν λειπομένην τῶν αἰσθήσεων καὶ τῆς ἀκοῆς, ὡς τάχε τῆς ὄψεως οὐ δεήσομαι. ὦ ναοῦ κάλλος ἄῤῥητον, οὐκέτι σὲ λοιπὸν ὑφ' ἑτέροις ὀφθαλμοῖς θαυμάσομαι, ἀλλ' αὐτοψὶ τοῦ θαύματος ἐμπλήσομαι· κἂν εἰς τὴν συναγωγὴν δεήσῃ με παρελθεῖν οὐ καταπροήσομαι τὴν ἀλήθειαν, ἀλλ' ἐρῶ πάντα πυνθανομένοις καὶ διηγήσομαι τὴν ἐξ αὐτῶν ὠδίνων πήρωσιν, τὴν ἐν τῷ ναῷ προσαίτησιν, τὸν ἐπὶ τούτοις οἶκτον, τὸν ἐπιτεθέντα πηλὸν, τὴν ἐκεῖθεν ἀνάβλεψιν, καὶ ἐπὶ πᾶσι τὸν ἰασάμενον.

Digitized by Google

15. *Τίνας ἂν εἴποι ὁ δοῦλος λόγους τοῦ ἀρχιερέως ἀποκοπεὶς τὸ ὠτίον παρὰ τοῦ ἁγίου Πέτρου καὶ ἰαθεὶς παρὰ τοῦ Χριστοῦ.*

Τὸν μαθητὴν κατηγορήσω τοῦ θράσους, ἢ τῆς ἐπιεικείας θαυμάσομαι τὸν διδάσκαλον; ὁ μὲν τὸ ξίφος ἐπέσεισεν, ὁ δὲ τῆς τόλμης ἐξέπληξε, καὶ τὸ δὴ μεῖζον εἰς ὁλομέλειαν ἀποκαθιστᾷ τὸ τμηθέν· καὶ τὸ πεπληγὸς ἰᾶται τοῦ σώματος, ἐπιτίθησι θαῦμα τῷ θαύματι καὶ θεραπεύων καὶ φιλανθρωπευόμενος· ἄγαμαι τὸ φιλάνθρωπον, ἀλλ' ὑπεράγαμαι τὸ τεράστιον· οὔτε τὰ τῆς ἐπιεικείας ἀνθρώποις ἐγχώρια, καὶ τῆς θεραπείας ὁ τρόπος ὡς ἔνθεος· τίς ἐν μέσοις φόνοις ἑστὼς οὐκ ἐπτόηται, καὶ τίς ὑπεραλγεῖ βεβλημένου τοῦ βάλλοντος; ἥψατο μόνον καὶ συνέφυ τὸ διεστὼς, ἐπέθηκε τὴν χεῖρα, καὶ τοῦτο μόνον πρὸς ἴασιν ἤρκεσεν· ὦ θεραπείας καινῆς, ἧ μὴ φαρμάκων ἐδέησεν, ὦ χειρὸς ἀρτιζούσης[1] ἑτοίμως τὰ λειπόμενα πρὸς ὁλότητα, εἶδον ὑγείαν ἀνέλπιστον, εὗρον θεραπευτὴν ἀπροσδόκητον, οὐ χρόνοις τὴν θεραπείαν ὡρίσατο, οὐ μῖσος δίκαιον τὸν θεραπευτὴν διεκώλυσεν· ἅμα πέπληγμαι καὶ τὸ πεπληγὸς οὐ πεπόνηκα· σύνδρομος ἡ θεραπεία τῷ τραύματι, οὐδ' ἀκριβῶς ἥψατό μου τῆς ψυχῆς ἡ τομὴ, καὶ ὁ θεραπεύων ἐφίσταται, καὶ τὸ καινότερον ἀφῇ μετρεῖται τὴν ἴασιν, ὦ τίνα σε καὶ λογίσωμαι; ἡ μὲν ὄψις ἄνθρωπον λέγειν δίδωσι, τὰ δὲ ἔργα τὴν κλῆσιν οὐ συγχωρεῖ· ὅσον ἐπὶ ψυχῆς ἔχω τοῦ θαύματος, ἡλίκον ἐφ' ἡμῖν τὸ θάμβος ἐκίνησας· σφαγεὺς ἐγώ σού εἰμι, οὐχ ὁρᾷς μου τὴν δεξιὰν ὡς ὥπλισται, εἶθ' ὑπερμαχεῖς τοῦ σφαγέως; οὐκοῦν τοῦτο γε ἀνθρώπινον, ὦ θερμὸς γέρων ἐκεῖνος, ὃς οὔτε τὸ πολὺ τῶν ἐπιβουλευόντων ἔδεισεν, οὔτε τὸ τοῦ διδασκάλου φιλάνθρωπον ἐμιμήσατο, ἀλλ' ἀντέτεινε πρὸς οὕτω πολλοὺς, καὶ πρό γε τούτου τὴν τοῦ διδάσ-

1 Cod. ἀρτιούσης.

κοντος ἐπιείκειαν· τίνα δὴ καὶ ζηλῶν ταῦτα τολμᾷς τὸν συμφοιτητὴν, ἢ τὸν διδάσκαλον· ὁ μὲν ὑπεραλγεῖ τοῦ πλήττοντος εἰ πληγήσεται, ὁ δ' ἐξήρτησε τῷ διδασκάλῳ τὴν ἐπιβουλήν· οὔτε τοῦτον ἐμιμήσω τῆς ἐπιεικείας, οὔτε ἐκεῖνον τῆς προδοσίας ἐζήλωσας· ἀλλὰ τί μέμφομαι τὸν εἰς τοσοῦτο δέος προκινδυνεύσαντα; θρασὺς μὲν ὁ ἀνὴρ, ἀλλ' ὅσον τὸ θράσος παραλογώτατον, τοσοῦτον τὸ τοῦ διδασκάλου προκινδυνεύειν τολμᾷν εὐλογώτατον· ὡς πολλήν γε τὴν εἰς τὸν διδάσκαλον ζέσιν ἐνέφηνας ἄνθρωπε, οὕτω θρασυνόμενος ἄτοπα, ἀλλ' ἔχει ἱκανῶς τὴν ὑπὲρ τοῦ διδασκάλου τόλμαν μαθών· μάθε δή μοι καὶ τὴν τούτου λοιπὴν ἐπιείκειαν· ἀλλὰ γὰρ, ὦ σὺ νόθε μαθητὰ καὶ φιλόχρυσε, ἐφ' οἷον ἡμᾶς ἄγεις τὸν διδάσκαλον, εἰς ἡλίκον ἡμᾶς ἐκίνησας τὸ κακὸν, ἀνελεῖν τὸν ἰώμενον, δεσμεῖν τὸν οὐκ ἀντιτείνοντα, ξυναρπάζειν τὸν οὐ μαχόμενον, ὦ καὶ σὺ δέσποτα καὶ πάντες οἱ λοιποὶ τοῦ γράμματος ἔμπειροι, μή μοι φθόνος ὑμᾶς ἕλοι καὶ νόσημα βάσκανον, ἀκριβῶς οἴδατε τὸν νόμον, τὸν Μεσσίαν [2] οὐκ ἠγνοήσατε· ἐμβαθύνατε τῷ γράμματι τὸν νοῦν, ἐρευνήσατε τὴν ἐθνῶν προσδοκίαν, ἐξακριβώσασθε καὶ γνοίητ' ἂν τοῦτον εἶναι τὸν προσδοκώμενον, μηδὲ πρὸς τὴν ἀλήθειαν μύσομεν, μηδὲ φθόνος ἡμῶν στρατηγείτω· ἔχομεν ὃν ἠλπίζομεν, ἔχομεν ὃν αἱ γραφαὶ κηρύττουσιν, ἦκεν ὁ προσδοκώμενος, ἐπίστασθε τὴν γένεσιν, τὸν ἀστέρα τὸν ἐξ οὐρανῶν, ἐν Ἰορδάνει φωνὴν, τἄλλα πάντα, ὡς καινὰ καὶ θεὸν ἥκειν ἡμῖν μαρτυροῦντα, κἂν θνητὸς ᾖ τὸ φαινόμενον, ἀλλά γε θεὸς τὸ νοούμενον· μὴ δὴ τὸν νομοθέτην ἀνέλωμεν, οὐκ εἰς καλὸν ἡμῖν οἶδα τελευτήσει τὰ τῆς ἐπιβουλῆς, δώσομεν δίκας, εἰ καὶ μηδὲν ἄλλο, τόν γε πάντως οὐχ ὑπεύθυνον εὐθύνοντες· ὁ δὲ, οἶμαι, καινοτομήσει τὴν τελευτὴν, [ὡς καὶ τὴν τελευτὴν [3]] ὡς καὶ τὴν γένεσιν πρότερον.

2 Cod. *Μεσίαν.* 3 ὡς καὶ τὴν τελ. uncis inclusi.

Digitized by Google

16. Τίνας ἂν εἴποι λόγους ὁ ἅγιος Πέτρος, καταβαλὼν τὸν Σίμωνα ἀρθέντα εἰς τὸν ἀέρα, καὶ μέλλων κύμβαχος σταυρωθῆναι ὑπὸ Νέρωνος.

Ἤδη μοι κέρας[1] ἔχει τὰ τοῦ κηρύγματος καὶ γέμει πάντα Χριστοῦ· καὶ ὁ πονηρὸς ἀπελήλεγκται, εἷς ἆθλος ἐλείπετο, καὶ τοῦτον ἐκράτησα· κεῖται μὲν ὁ κατάρατος Σίμων, ὁ πρὶν ὑπερνέφελος, ἐπὶ γῆς. πεφόβηται δὲ τὰ δαιμόνια, ὑφ' ὧν ἦν ἐκεῖνος μετέωρος, καὶ τὰ τῆς γοητείας εἰς κενὸν[2] ἀπετελεύτησε τῷ δειλαίῳ· πέπτωκεν ἀπ' οὐρανοῦ βληθεὶς ὁ τοῦ Χριστοῦ καὶ τῆς ἀληθείας πολέμιος, οὐκ ὀλίγην ἐπῆλθον γῆν, Ἰουδαίῳ[3] φθόνον ἐπήνεγκα, Ἑλλήνων μανίαις ἐθάρρησα, βαρβάρων χεῖρας οὐκ ὤκνησα, ἀλλ' ἦν ἐκεῖ πάντα μοι φορητά· καὶ κρατεῖν ἐποίει τὸ πάντα θαρρεῖν, ὅτι καὶ θεὸς ἦν τὸ κήρυγμα· ταῦτα ὁ πονηρὸς ὁ τῆς ἀπιστίας πατὴρ οὐκ ἤνεγκε, καὶ τρόπον ἄλλον ὁπλίζεται· οὐδὲν ἡγήσατο διψῶσαν φόνου χεῖρα βάρβαρον, μικρὸν ἐνόμισε καὶ δεισιδαιμονίαν Ἑλλήνων καὶ τυράννων δεσμοὺς, οὓς ἡμῖν τοῖς Χριστοῦ μαθηταῖς πολλοὺς πολλάκις ἐχάλκευσεν· ἀλλ' εἰς μόνον ὁρᾷ τὸν Σίμωνα καὶ τὴν ἐκείνου τέχνην τὴν μάγον, καὶ τὰ ἐκ ταύτης φαντάσματα, κατ' αὐτῆς

---

1 Fort. πέρας. 2 Cod. καινόν. scripsi κενόν. Frequens permutatio: Sopat. ζητήμ. p. 339. μήτοι πλέον ἄρα παρὰ ταῦτα τεθέασαι, μήτι καινότερον ἔχεις παρ' αὐτῶν τῶν θεῶν. Vind. κενότερον. Pausan. 2, 22. 3. Ἐπανιόντι δὲ ἐκ τῆς κοίλης Τρηθοῦς τάφον λέγουσιν εἶναι· εἰ μὲν δὴ κενὸν καὶ ἄλλως ἐς μνήμην τῆς γυναικός. Par. Bekkeri. Vat. καινόν. Angel. κενόν. 10, 8. 6. καὶ ὁ μὲν πρῶτος αὐτῶν (sc. ναῶν) ἐρείπια ἦν, ὁ ἐπὶ τούτῳ δὲ κενὸς καὶ ἀγαλμάτων καὶ ἀνδριάντων. Angel. καινός. Theon. Progymn. c. XI. fine ἡμῖν δὲ οὐδὲν καινὸν δοκοῦσι λέγειν παρὰ τὰ προειρημένα. ed. princ. κενόν. Cfr. Villois. ad Long. p. 171. Jacobs ad Ach. T. p. 446. 3 Malim Ἰουδαίων.

Digitized by Google

ἐπεγείρει πόλεμον τῆς αἰσθήσεως, ἵν' ὑποκλέψας λάθῃ τὸν νοῦν, οἷς ἀπατήσει τὴν αἴσθησιν· καὶ πολλοῖς πρότερον ἐπασκήσας τοῖς φάσμασι θέατρον συγκροτεῖ· πᾶν γένος συγκαλεῖται πρὸς θέαν, καὶ κριτὴν ἐφιστᾷ τῆς μάχης ταύτης ἄλλον αὐτοῦ δορυφόρον τύραννον· καὶ δὴ πρῶτα μὲν ἠκροβολιζόμεθα λόγοις, καὶ πολὺς ἦν ἀπὸ γλώττης ὁ ἀγών, ὡς δὲ ἤδη τὸ ψεῦδος ἡλίσκετο, ὧ οἷον ἐκεῖνος ἠλαζονεύετο, ἐπὶ τὰ φάσματα ἔβλεψεν, ἐπὶ τὴν ἀῤῥητουργίαν ἔδραμε, θεὸς εἶναι διετείνετο, καὶ πρὸς αὐτοὺς οὐρανοὺς ἀνιέναι δυνήσεσθαι, καὶ καθίσαι μετὰ τοῦ πατρὸς ἐκομψεύετο· ὡς τοῦτό γε τὸ μέρος οὐκ ἐψεύσατο, τὸν διδάσκαλον θεῖναι τὸν θρόνον ἐπὶ τῶν νεφελῶν ἀλαζονευόμενον· τοιγαροῦν ἐκεῖνο ἐξέπιπτε, καὶ νῦν οὗτος ὡς ἀπ' οὐρανοῦ καταβέβληται, καὶ κεῖται τὰ ἔσχατα ταῦτα· ὁ μὲν ἐκόμπαζε καὶ τὸ θέατρον ἐπηλάλαξεν, ἐγὼ δὲ Φαραὼ μὲν ἐπεκάλουν τὸν τύραννον, τῶν δ' Αἰγύπτου μάγων ἐκείνων πολλῷ τὸν Σίμωνα χαλεπώτερον· Μωυσῇ δὲ παρεβεβλήμην αὐτὸς καὶ Παῦλον· Ἀαρὼν εἶχον ἕτερον, καὶ θεοῦ θεράπων εἶναι λαχὼν θεὸν ἐπεκαλούμην ὃν ἐκήρυττον, ὑπὲρ οὗ ταῦτα ἔφερον, ῥάβδον ᾔτουν ἐπαφεῖναι τῷ γόητι, ὁ δ' οὐκ ἠμέλησεν ἀλλ' ἐπέδωκε, καὶ ῥάβδος ἦν λόγου καὶ κλῆσις Χριστοῦ, ταύτην ἐπαφῆκα τὴν ῥάβδον ἐγὼ, καὶ τὰ ξυνεφαπτόμενα τῶν δαιμονίων ἐπλήττετο, καὶ πᾶσα τοῦ μάγου ῥάβδος, ἰσχὺς δηλαδὴ πονηρὰ, πρὸς τῆς ἐμῆς ῥάβδου ταύτης ἐκπέποται, καὶ ὁ πρὸ τοῦ κομψὸς γέλως νῦν καὶ πτῶμα καὶ δάκρυα· ἡμῖν δὲ τὸ θέατρον εἰς μαρτυρίαν ἀντιπεριΐσταται, καὶ τῷ πονηρῷ τὰ τῆς βουλῆς ἀντέστραπται· πάντες γεγόνασι θήρα τοῦ θαύματος καὶ προσίενται τὴν ἀλήθειαν, τῶν δὲ ἐκείνου φασμάτων οὐ μικρὸς παρ' αὐτοῖς ὁ κατάγελως, ἀπόστολος ἐγὼ Χριστοῦ, καὶ τὸν τοῦ πονηροῦ πνεύματος ἀπόστολον κατηγώνισμαι, μαθητὴς ἐκράτησα μαθητοῦ καὶ διδάσκαλος

Digitized by Google

ἀληθείας καθεῖλον ψεύδους διδάσκαλον, ἅλις οὖν ἔχω τῶν πόνων καὶ τοῦ κηρύγματος, ἱκανῶς διεπύκτευσα τὸν πολέμιον· δεῖ δή με λοιπὸν καὶ πρὸς τὸ [3] στρατηγεῖν ἀνελθεῖν, καὶ τοὺς τῆς ἀριστείας στεφάνους κομίσασθαι, ἀλλ᾽ ἤδη καὶ τὴν ἄνοδον ὁρῶ, καὶ πολλῆς ὅσης γέμω τῆς ἡδονῆς· ἀριστεύς εἰμι Χριστοῦ, ἔτι νεάζει μοι τὸ ἀρίστευμα· οὐκοῦν δεῖ με πεφοινίχθαι καὶ τὸ σῶμα καὶ τὴν τῆς ψυχῆς ἐσθῆτα τῷ αἵματι· τοῦτό τις ἐπὶ οὐρανοῦ τὸ σύμβολον ἰδὼν τὸν ἀριστέα ἐπιγνώσεται· καὶ θαυμάσεται μὲν τὴν ἀριστείαν· προσαποθαυμάσεται δὲ καὶ τὸ λάφυρον, ὃ νῦν εἰς Χριστὸν ἐφελκυσάμην ὅλον θέατρον· οὕτως ἐκεῖνος πρὸς τὸν πατέρα ἀνέδραμεν, οὕτως ἐγὼ βαδιοῦμαι πρὸς τὸν διδάσκαλον· ἀλλ᾽ ἣν ἐκεῖνος ἀπ᾽ οὐρανοῦ καὶ πρὸς οὐρανὸν ἐτείνετο· ἐγὼ δ᾽ ἁπλῶς καὶ θνητὸς καὶ κάτωθεν ἀπὸ γῆς· τοιγαροῦν δεῖ με καὶ τέλος ἀλλάττειν, ἐπεὶ καὶ τὴν γένεσιν, τοῦτο καὶ τελευτῶν χαριοῦμαι τῷ διδασκάλῳ.

Allat.
176 17. *Τίνας ἂν εἴποι λόγους ὁ Ἰωσὴφ ὑπὸ τῆς Αἰγυπτίας γυναικὸς κατηγορηθεὶς, καὶ εἰς εἱρκτὴν ἐμβληθείς.*

Ὡς ἐπὶ [2] δυστυχίᾳ γεγένημαι, καὶ μηδὲν ἀδικῶν δοῦλος γίνομαι, καὶ σωφρονῶν παρὰ τοῦτο [2] κολάζομαι. ἐπ᾽ ἐμοὶ καὶ χορὸς ἀδελφῶν τὴν [3] φύσιν ἐψεύσατο, καὶ δεσπότης γυνὴ τὰ σωφρόνων γυναικῶν οὐκ ἐτήρησεν, καὶ [4] φθόνος με καθεῖλεν ἀδελφῶν τὰ πρῶτα, καὶ νῦν αὖθις ἔρως κατεστρατήγησεν. ἀπόλωλα καὶ φθόνῳ [5] καὶ ἔρωτι. ὢ [6] δυστυχὴς ἐγὼ, καὶ μισούμενος, καὶ φιλούμενος. ἦν μοι πατὴρ εὐδαίμων, καὶ πλῆθος ἀδελφῶν
177 καὶ πάντα λαμπρά. ἐμοὶ παρὰ τοὺς ἄλλους προσεῖχε τὸν νοῦν ὁ πατήρ, ἐμοὶ καὶ τὰς χρηστοτέρας τῶν ἐλπίδων

---

3 Cod. τόν. 1 ἐπὶ Par. om. 2 Allat. τοῦτῳ. Par. τοῦτο. 3 τὴν Par. om. 4 καὶ Par. om. 5 Allat. φόνῳ. Par. φθόνῳ· correxit jam Boisson. ad Herodian. p. 144. 6 Par. ὡς.

Digitized by Google

ἐσάλευεν. ἐπὶ τούτοις μέγας ἐγὼ τὰ ἐνύπνια, καὶ γίνομαι λαμπρὸς ὄναρ, ὃν ὕπαρ εἰς δουλείαν φθόνος κατηνέγκατο.[7] ἔχαιρον ὑφ' ἡλίου καὶ σελήνῃ προσκυνούμενος, ἤκουσα καὶ τῶν λοιπῶν ἀστέρων δεσπότης· θέρους αἶθις ἐδόκει καιρὸς, καὶ τοὐμὸν δρᾶγμα πάνθ' ὁπόσα καὶ δεσπότης πρὸς δούλων τοῖς τῶν ἀδελφῶν εἶχε δράγμασι. ταῦτα τοὺς ἀδελφοὺς εἰς φθόνον ἐξέκαυσεν. ἀπὸ τούτων τὸ τοῦ γένους ἐλευθέριον ἐγὼ περιῄρημαι. ἐντεῦθεν ἔπιον τοῦ Νείλου, εἶδον τὴν Αἴγυπτον, ἐπέγνων 178 τὰ δούλων ἔργα, καὶ τὸ δυστύχημα ἔφερον. ἀλλ' ὦ τῆς μετέπειτα ἐπηρείας, ὦ τοῦ δευτέρου κλύδωνος, ὃν μοι τὸ κάλλος ἐπήγειρεν,[8] ἐλάνθανον ἐπὶ τοῦ προσώπου φέρων τοῦ κακοῦ τὴν ἀρχήν. ἠγνόουν ὡς καὶ σωφρονῶν τις κολάζεται. δέσποτιν ἔλαχον ἀκόλαστον γύναιον. ἔδοξα τὴν ὄψιν καλός, ἐθαυμαζόμην τὴν ὥραν, ἡ δὲ ἀλλ' εἶδεν, ἐθαύμασεν, καὶ τὴν θέαν οὐ μέχρι θαύματος ἔστησεν, ἀλλ' ἔπαθε πρὸς ἔρωτα καὶ τῇ γνώμῃ δουλεύειν οὐκ ἠσχύνετο, δεσπότις οὖσα τῷ σώματι. εἰς πειθὼ τὸ πρῶτον ἔβλεψεν,[9] ἐγὼ δ' οὐκ ἐπένευον. ὁπλίζεται λοιπὸν εἰς ἀναίδειαν. ἐφείλκετό μου[10] τοῦ χιτωνίου, ἐγὼ δ' ἀντέτεινον. καὶ ἦν ἀγὼν ἔρωτος ἀκολά- 179 στου, καὶ γνώμης σώφρονος. ἡ μὲν ἦρα τῆς τοῦ σώματος ὥρας, ἐγὼ τοῦ τῆς ψυχῆς κάλλους, ἀλλὰ τότε[11] μὲν ἐκράτησεν ἔρως οὐμὸς,[12] καὶ τὸ χιτώνιον ἀποδὺς εὐθὺς ἀπεπήδησα. ὁ δὲ λοιπὸς ἐκείνης[13] ἔρως ἀγανακτεῖ τὴν ἧτταν. ἐπιστρατεύει τὸ δεύτερον, καὶ τῆς βίας λάφυρον ἐπαγόμενος τὸ χιτώνιον, συγκροτεῖ πρὸς[14] ἐπιβουλὴν πόλεμον ἕτερον. ἀναστρέφει τὰ πεπραγμένα, καὶ βίαν ἐπεγκαλεῖ, καὶ γνώμην ἀκόλαστον, τῷ σωφρονοῦν-

7 Par. κατήνεγκεν. 8 Allat. Par. ἐπέγειρεν. 9 Par. ἔβλεπε. 10 Par. με. 11 Allat. τό γε. Par. τότε. Vide Boisson. ad Eunap. p. 391. 12 Allat. οὐμός. 13 Allat. ἐκεῖνος. Par. ἐκείνης. 14 Par. συγκρ. τὴν ἐπιβουλήν.

Digitized by Google

τι, τῷ βεβιασμένῳ, τῷ πεπονθότι. προεπιδείκνυσι καὶ
180 σύμβολον, ὅπερ ἐγὼ πρὸς σωφροσύνην ἀπέλιπον. ἐπὶ
τούτοις δεσμώτης γίνομαι. καὶ νῦν τὰ τῶν κακούργων
ὑπέχω, μηδὲν κακουργίας μετειληφὼς, καὶ δίκας, ὧν οὐ
5 πεπονήρευμαι, δίδωμι. Ὦ φθόνε, καὶ δουλεία, καὶ ἔρως,
καὶ εἱρκτὴ, καὶ πάντα [15] παράλογα. ἔρως ἐπ' ἐμοὶ ταὐ-
τὰ φθόνῳ δεδύνηται. καὶ πανθ' ὁπόσα φθονούμενος
πρότερον, ταῦτα καὶ νῦν ἐρώμενος δεδυστύχηκα. καὶ [16]
φθόνος ἀδελφῶν ἀφείλετό μου τὴν ἐσθῆτα τῷ [17] τότε,
10 καὶ νῦν γυναικὸς ἔρως ἐγύμνωσε. λάκκος εἶχε τότε τὸν
μηδὲν ἀδικήσαντα, καὶ νῦν εἱρκτὴ, καὶ δεσμὸς τὸν μη-
181 δὲν κακουργήσαντα. νικῶ σε πάτερ ταῖς συμφοραῖς, καὶ
τοῦτο μόνον εὐτυχὴς ἐγώ. φθόνον ἔπαθον συγγενῆ, καὶ
τοῦτο μόνον ἔχω τῷ τέκοντι παρόμοιον, μᾶλλον μὲν
15 οὖν ὑπερβαίνω καὶ τρῦτο τὸ μέρος. ὃ γὰρ ὑφ' ἑνὸς
ἐκεῖνος ἁπλοῦν ἐδυστύχησε, τοῦτο πρὸς πολλῶν ἐγὼ πολ-
λαπλάσιον. Ὦ λαμπροτάτων ἐνυπνίων ἐκείνων, ὧ προ-
σκυνῶν ἥλιε, καὶ ἀστέρες ὑποκλινόμενοι, καὶ δουλεύοντα
δράγματα, ὕπνος ἆρ' ἦτε σαφὴς, καὶ τῶν εἰσέπειτα κα-
20 κῶν τούτων κατάγελως. [18]

18. *Τίνας ἂν εἴποι λόγους ὁ Ἰωσὴφ τῆς εἱρκτῆς ἐκ-
βληθεὶς, καὶ κρίνας τῷ βασιλεῖ τοὺς ὀνείρους, καὶ
τὴν ὅλην Αἴγυπτον οἰκονομεῖν ἐγχειρισθείς.*

Οὐκ ἦν ἄρα τὴν δίκην εἰς τέλος [19] ἀπολιπεῖν, οὐδ'
25 εἰς τὸ παντελὲς κατηγορίαν ἰσχύσαι, καὶ φθόνον ἄδι-
182 κον. φθόνος μετὰ πρῶτα ξενηλατεῖ, γένους ὑπερορίζει
καὶ τῆς ἑστίας, [20] γένους ἀπέχθεια, [21] μῖσος ἐφέστιον.
ἔπειτα πάλιν ἔρως ἐπιστρατεύει, καὶ δεσμώτην εἵλεν ἐπι-
βουλὴ γυναικὸς, ὃν ἔρως ἑλεῖν οὐκ ἴσχυσε δέσμιον. οὗ-

15 Par. τὰ πάντα. 16 Par. καὶ om. 17 τῷ Par. om.
18 Par. ὁ κατάγελως. 19 εἰς τέλος Allat. om., recepi ex Par.
20 Par. καὶ τοῦ γένους. 21 Par. καὶ μῖσος.

Digitized by Google

τως ἐδυστύχουν ἐγὼ τὰ ἀνέλπιστα. ἐπὶ τούτοις ἔμενον
τὴν δίκην. προὐκαλούμην σύμμαχον τὴν ἀλήθειαν. Θεὸν
ἐπευχόμην [22] τὸν πάτριον, ὁ δ᾽ οὐκ ἐμέλλησεν, ἀλλ᾽
ἦκεν, ἐπήμυνε, καὶ τῆς σωφροσύνης ἠμείψατο. καὶ νῦν
οὐκέτι δοῦλος ἐγὼ, καὶ τὰ κακούργων ἐκπέφευγα. ὦ
πάντα μοι φανέντα παράλογα, καὶ φθόνος πρώην οὐκ 183
ἐλπιζόμενος, καὶ δεσμὸς, οἷς ἐσωφρόνουν, μὴ προςδο-
κώμενος, καὶ νῦν φῶς ἐλεύθερον [23] καὶ κακῶν ἀπαλλα-
γὴ, καὶ λύσις δεσμῶν. ὡς καλόν καὶ [24] τὸ τῆς σωφρο-
σύνης φυτὸν, καὶ καλοὺς τοῖς δρεπομένοις ἀποδίδωσι
τοὺς καρπούς. οὐκ ἴσχυνε τὸν ἑαυτῆς ἐραστὴν ἐμὲ, οὐ
προὔδωκεν οὐδ᾽ ἡ ταύτης ἀδελφὴ Δίκη [25] τὸν οὕτω
παθόντα τὰ ἀδικώτατα. ἀλλ᾽ ἦκεν ὀψὲ μὲν, καὶ μετὰ
πολλοὺς τοὺς κινδύνους, ἀλλ᾽ ἀπέδωκε πάντα σὺν τόκῳ,
καὶ τὰς ἐλπίδας ὁ πολὺς οὐκ ἀπήλεγξε [26] χρόνος· ἐξ-
είλετο δεσμῶν [27], συνεξείλετο δουλείας, σοφίας ἐνέπλησε,
βασιλεῦσιν ἐπέδειξε, καὶ τὸ δὴ μεῖζον, ὅλην Αἴγυπτον 184
ἐχαρίσατο. τοῦτο νῦν ἔχω τοῦ φθόνου τόκον καὶ τῆς
εἱρκτῆς καὶ τὴν δίκην τῆς μακρᾶς ἀναβολῆς ἐκείνης οὐ
μέμφομαι· τίς εἶδέ ποτε [28] τηλικαύτην τύχης καινοτο-
μίαν; τίς ἤκουσεν ἐπιπλοκὴν πραγμάτων οὕτως ἀνέλ-
πιστον; οὐκ ἤδειν ἐξ ἐναντίων τἀναντία καρπούμενος.
ὅτε καλῶς ἔχειν ἐδόκουν, τὰ δεινότατα ἔπασχον. καὶ
φαινομένων κακῶν κερδαίνων [29] ἐλάνθανον, καὶ ῥόδα
μέλλων τρυγᾶν ἐξ ἀκανθῶν οὐκ ἐγίνωσκον. κατεκρινόμην
δουλείαν, ὅτε βιοῦν ἐδόκουν τὰ ἐλεύθερα. καὶ νῦν ὅτε
μηδ᾽ ἐλπὶς ἐλευθέρας [30] τροφῆς ὑπελείπετο, τὴν φίλην
ἐλευθερίαν αὖθις ἀπέβαλον. Ἐδυστύχουν τὰ κακούργων, 185

---

22 Par. ἐπεβοώμην. 23 Par. ἐλευθέριον. Cfr. ad Theon. Progymn. c. 8. 24 Allat. καί. Par. γε. 25 Par. ἡ δίκη. 26 Allat. ἀπήγαγε. Par. ἀπήλεγξε. 27 Par. δεσμῶν. Allat. δεσμόν. 28 Par. οἶδε. 29 Par. κερδαίνειν. 30 Par. ἐλευθερίου.

Digitized by Google

ὅτε μηδὲν ἠδίκουν. καὶ νῦν ὅτε κακουργεῖν ἐκρινόμην, τῆς εἱρκτῆς καὶ τῶν δεσμῶν ἠλευθέρωμαι. Ὦ σὺ τότε συνδεσμώτα, καὶ ταὐτὰ δυστυχῶν, καὶ νῦν τὰ μεγάλα συνευτυχῶν, ἱκανῶς με τῆς σοφίας ἠμείψω. πρέπουσαν τὴν χάριν ἀπέδωκας. ἔλυσας δεσμῶν [31] τὸν πρὸ τοῦ σοι τὴν λύσιν ἐπαγγειλάμενον. ἄμφω τῆς εἱρκτῆς συμμετείχομεν. ἄμφω καὶ νῦν τῶν βασιλείων συμμετεσχήκαμεν. αλλ᾽ ὦ τῶν ἐνυπνίων ἐκείνων, ἃ σὺ μὲν προὔτεινες, ἐγὼ δ᾽ ὑπέλυον. ὦ τῶν ἐπὶ τούτοις λαμπροτέρων, ἃ βασιλεὺς μὲν προὐβάλλετο, ἐγὼ δὲ ταῦτα σαφὲς ὑπέπτησσον. ὡς
186 ἦν ἄρα καὶ πάλιν ἐνυπνίοις τὴν ἐλευθερίαν κομίσασθαι, τὸν χάριν ἐνυπνίων [32] ὑπὸ φθόνου δουλαγωγηθέντα. [33] ἐξ ὀνειράτων δοῦλος εἶδον τὴν Αἴγυπτον, ἐξ ὀνειράτων καὶ νῦν Αἰγυπτίων [34] ἐκράτησα. ἤκουσιν οἱ τῶν βοῶν πίονες, οἱ τῶν ἐνιαυτῶν εὐφορώτατοι. τοῦτον ἐγὼ τὸν χρόνον καλῶς διαθήσομαι, ὅλον ἀποταμιεύσω τὸν σῖτον, εἰς μάτην οὐδὲν ἀναλώσομαι. ἤκουσι [35] μετ οὐ πολὺ καὶ βόες ἰσχνοὶ τὰ σώματα. χρόνος ἕτερος παρ᾽ ᾧ λιμὸν ἐπαπειλεῖ τὰ ἐνύπνια. καὶ σιτοδοτήσω, καὶ θρέψω τὴν Αἴγυπτον εἰς καλὸν ταῖς προτέραις εὐφορίαις ἀποχρησάμενος. μᾶλλον μὲν οὖν κοινὸν ἔσται πρὸς πᾶσαν γῆν
187 τὸ κακὸν, καὶ τῆς σιτοδείας [36] κοινώσομαι. τοῦτο ἦν ἄρα τὰ δράγματα. τοῦτο προσκυνῶν ἥλιος, καὶ ἀστέρες ὑποκλινόμενοι, ὅτι πᾶσαν δεῖ με θρέψαι τὴν ὑφήλιον, καὶ πάντες, ἐφ᾽ ὅσοις τὸ τῶν ἀστέρων ἔφθασε [37] φῶς, προσπεσοῦνται σιτοδοτοῦντι, καὶ τῆς ἐμῆς οἰκονομίας δεήσονται. οἶμαι δὲ, ὅτι καὶ αὐτοὺς ὄψομαι τοὺς [38] ἀδελ-

---

31 Par. τῶν δεσμῶν τῶν πρὸ τοῦ σοι τὴν λύπην. 32 Par. ἐνυπνίῳ. 33 Par. δουλεύσαντα. 34 Par. τῶν Αἰγ. 35 Par. ἥξουσι. 36 Par. σιτοδοτίας. Allat. σιτοδείας. 37 ἔφθασε φῶς. Allat. om. recepi ex Par. 38 τοὺς Allat. om., recepi ex Par.

Digitized by Google

ἀδελφοὺς προσπίπτοντας ἐπὶ δράγμασι. καὶ θεάσονται δεσπότην, ὃν δουλεύειν ἐνόμισαν, τούτους ἀστέρας ἐγὼ τίθεμαι τοὺς ἀπὸ Σάῤῥας, τοὺς ἐξ Ἀβραάμ, τούτων γὰρ καὶ θεὸς ὑπὲρ τοὺς ἀστέρας πληθῦναι τὴν γονὴν ἐπηγγείλατο. καὶ γένοιτό μοι τοὺς ἀστέρας τούτους ἰδεῖν καὶ προσεποψοίμην τὸν πατέρα τὸν ἥλιον.

19. Τίνας ἂν εἴποι λόγους ὁ Δαυὶδ διωκόμενος ὑπὸ τοῦ Σαοὺλ, καὶ κρατηθεὶς ὑπὸ τῶν ἀλλοφύλων, καὶ μέλλων ἀποσφαγῆναι. 188

Εὖγε τῆς τῶν ὁμοφύλων ἀνοίας[1], εὖγε τῆς περὶ τὸν ἀριστέα προθέσεως. ὡς καλήν γε τῆς ἀριστείας ἀντιλαμβάνω δωρεάν[2]. μετὰ τρόπαιον δραπετεύω, μετὰ νίκην ἐλαύνομαι, καὶ γίνεταί μοι πολέμου τελευτὴ μάχης δευτέρας ἀρχή, καὶ τὰ τῆς ἀριστείας εἰς φυγὴν ἀποτελευτᾷ. Γολιὰθ μὲν ἐκεῖνος θεοῦ ζῶντος ἐξονειδίζων παράταξιν πέπτωκε μετὰ καὶ τῶν αὐτοῦ θεῶν, καὶ τὸ δὴ μεῖζον, οἷς ὥπλιστο καθ' ἡμῶν, τούτοις παρ' ἡμῶν ἀπεσφάττετο, καὶ γέγονεν ἔργον μαχαίρας[3] μὲν τῆς αὐτοῦ, δεξιᾶς δὲ ταυτησὶ τῆς ἐμῆς, τὸ δ' ἄλλο πᾶν ὅσον ἀπερίτμητον ᾖχετο. τίνα γοῦν μοι τὰ γέρα; τίνες αἱ τῶν τροπαίων ἀμοιβαὶ; ὁμόφυλος μάχη μετὰ μάχην ἀλλόφυλον, οἰκείων φυγὴ μετὰ φυγὴν θυσμενῶν. πόλεμον ἐκράτησα γνωριζόμενον καὶ φεύγω πόλεμον ἄλλον ἀνέλπιστον, ὃν οὔτε κρατεῖν εὐσεβὲς[4], τὸ 189

1 Par. εὐνοίας. 2 Par. τὴν δωρεάν. 3 Allat. μαχαίραις. Par. Huet. μαχαίρας. Construitur semper cum genitivo: Heliod. 1, 1. 2, 4. Jacobs ad Achill. T. IV, 15. Wyttenb. ad Jul. Or. I. p. 17. C. Sic noster p. 452. καὶ τὸ τῶν Αἰθιόπων γένος ἡλίου ἔργον ἂν εἴη βάλλοντος ἄπρατα. p. 474. ἔργον σοι τῆς ἀπάτης κἀκεῖνοι γεγόνασι. p. 481. ἔπιπτον καὶ γυναικῶν γεγόνασιν ἔργον. p. 490. Θαλάσσης οὐ γεγόναμεν ἔργον, καὶ κακοπραγοῦμεν περὶ τὴν ἤπειρον. 4 Allat. εὐσεβῶς. Par. εὐσεβές.

Digitized by Google

γὰρ δυσμεναῖνον ὁμόφυλον οὔτ᾽ αὖθις ἀλίσκεσθαι δίκαιον. τὸ γὰρ ἐξ ὁμοφύλων πεσεῖν οὐ καλόν. τί ταῦτα
190 Σαοὺλ; διώκεις, ὃν ἐν ὅπλοις ἐθαύμαζες; ὃν εἰς γένος συνῆπτες, τοῦτον τοῦ γένους ἀποδιϊστᾷς, ἀπελαύνεις,
5 ὑφ᾽ οὗ τὸ πολέμιον πρότερον; μανίας ἔργα ταῦτα, καὶ πνεύματος πονηροῦ. ἦπου καὶ πάλιν μέμηνας; ἄγχει[5] καὶ πάλιν τάχα σε τὸ δαιμόνιον; ἀπελήλαται μεθ᾽ ἡμῶν καὶ τὰ κρούματα, ὑφ᾽ ὧν σοι τῆς ψυχῆς τὸ μαινόμενον ἐξεκρούετο. καὶ νῦν ἐπεισπηδᾷ σοι σφοδρότερον, ἐκείνου
10 τοῦ πονηροῦ πνεύματος τοῦτον ἐγὼ κρίνω τὸν πόλεμον, ἐκεῖθεν εἶναι ταῦτα νομίζω τὰ τραύματα. ἐπλήττετο παρ᾽ ἡμῶν τοῖς τῆς κιθάρας κρούμασιν. ἔφευγεν, ἐδραπέτευσεν, ἤλγει τῆς σῆς ψυχῆς ὥσπερ τινος οἰκίας ἀπελαυνόμενον. εἶθ᾽ αὖθις παλινοστεῖ[6], καὶ χεῖρα μανικὴν πρὸς
15 μουσικὴν ἀνθώπλισε δεξιάν. ἵν᾽ ἢ πεσοῦμαι φεύγων,
191 καὶ δίκην λήψομαι τῶν κρουμάτων, ἢ καὶ κρατήσω μαχόμενος, καὶ τὰ τῆς νίκης μεταπεσεῖταί μοι πρὸς ἀσέβειαν. ὡς ἔμοιγε κρεῖττον πεσεῖν, ἢ πρὸς ὁμοφύλους βάψαι τὸ δόρυ, καὶ τρόπαιον[7] ἐξ ἀσεβείας λαχεῖν[8]. ἀλλ᾽
20 οἴμοι, τίνα τοῦτον ὁρῶ πόλεμον ἕτερον; ἐχθροὺς ὁμοφύλους[9] ἐκπέφευγα, καὶ δυσμενέσιν ἀλλοφύλοις ἐμπέπτωκα. πόλεμος ἐπ᾽ ἐμοὶ τίκτειν οἶδε πόλεμον καὶ πόλεμον δυσμενῶν ὁμοφύλων διαδέχεται πόλεμος, καὶ δυσμενεῖς ὁμοφύλους αὖθις ἄνδρες πολέμιοι. ἐγὼ καὶ νικῶν
25 ἐλαύνομαι, καὶ φεύγων ἁλίσκομαι. τί δράσω; τί χρήσομαι τοῖς παροῦσι; μέσος πολεμίων ἕστηκα. ἤδη μου τὴν
192 μορφὴν ὑποπτεύουσιν, ἤδη μου περιεργάζονται τὴν δεξιάν, ἀμήχανον τὸ κακὸν, βάρβαρος ὄχλος Γολιὰθ τοῦ πεσόντος ὑφ᾽ ἡμῶν ὁπλίζεται[10], γένος ὅλον ὑπ᾽ ἐμοῦ

---

5 Par. ἄγχει ταῦτα καὶ πάλιν σε τὸ δ᾽. 6 Allat. παλινοστεῖ. 7 Allat. τροπήν. Par. τρόπαιον. 8 Par. λαβεῖν. Vide ad Arsen. Violet. p. 80. 9 Par. ἀλλοφύλους ἐκπ. καὶ δυσμενέσιν ὁμοφύλοις. 10 Par. ὁπλῖται.

τὸν στρατηγὸν ἀφῃρημένον, τηλικαύτην ἐν πολέμοις περικεκομμένοι[11] δεξιάν. ἆρα δακρύσω; ἆρα τὴν συμφορὰν ἀποκλαύσομαι; προβαλοῦμαι νόμον πολέμου, καὶ συγγνάσονται; ὡς ἦν ἐν ὅπλοις ἀγὼν, καὶ δυσμενεῖς[12] βάλλειν ἐπὶ μάχης ἀφεῖται. νῦν δ' ἀλλ' ἱκέτης ἥκω, καὶ πέφηνα[13] σύμμαχος. ἀλλ' οὐκ οἶδε τὸ βάρβαρον σπένδεσθαι, ἀλλ' οὐκ οἶδεν ἱκεσίας[14] αἰδῶ, οὐ πρὸς οἶκτον μαλάσσεται, εἰς οὐδέν μοι τοιγαροῦν πεσεῖται τὰ δάκρυα. γενναῖος εἶ, φήσουσι, δίκας ἡμῖν ὀφείλεις, πέπτωκεν ὑπὸ σοῦ Γολιὰθ, πίπτε καὶ σὺ παρ' ἡμῶν. ἀλλ' εὖγε τῆς ἐπινοίας, ὀψὲ μὲν, συνῆκα δ' οὖν. μανίας προ- 193
σωπεῖον ὑποδύσομαι, καὶ φρενῶν ὑποκρινοῦμαι παραφορὰν, καὶ σκηνοβατήσω[15] τὰ μανικά. οὕτως οἶμαι τὸ τοῦ πάθους ὑπερβάλλον, καὶ τὸ βάρβαρον καταιδέσει, καὶ Σαοὺλ εἰς οἶκτον ἴσως ἐφέξεται[16]. αἰδεσθήσεται γὰρ, εἰ δι' ἐκεῖνον αὐτὸς μέμηνα[17], δι' ὃν μαινόμενος[18] πέπαυται.

20. *Τίνας ἂν εἴποι λόγους ὁ Δαυὶδ ὑπὸ τοῦ Ἀβεσσαλὼμ τοῦ παιδὸς αὐτοῦ διωκόμενος.*

Οὐκ ἐπιλείπω καὶ μετὰ βασιλείαν[1] φυγαδευόμενος, 20
καὶ πρὸ τῆς ἀρχῆς ἐδραπέτευον, καὶ μετὰ τὴν ἀρχὴν αὖ- 194

---

11 Par. περικεκομμένοι. Allat. περικεκοσμημένοι. Notanda horum verborum confusio, cuius mihi quidem nullum constat exemplum. Lucian. Toxar. c. 24. τὸν ὀφθαλμὸν ἐκκεκομμένη. 12 Allat. δυσμενῆ β. ἐπὶ μάχῃ ἀφεῖται. secutus sum Par. 13 Par. γίνομαι. 14 Par. οἰκεσίας. Ita οἰκέτης et ἱκέτης confunduntur Pausan. III. 3. 4. τὸ δὲ αὐτῶν ἐγκαταληφθὲν τῇ γῇ Λακεδαιμονίων ἐγένοντο οἰκέται. Angel. ἱκέται. III. 7. 7. ἦλθεν οἰκέτης ἀπαγγέλλων τετέχθαι οἱ παῖδα. Angel. ἱκέτης. 15 Par. σεμνοβατήσω. 16 Par. ἴσως εἰς οἶκτον ἐφέλξεται. 17 Par. μέμηνε. 18 Allat. μενόμενος. corr. Huet.

λ

1 Allat. καὶ βασιλείοις. Par. καὶ μετὰ βασι.

θις ἐλαύνομαι. Ὢ χρῆμα φθόνου μεστὸν, καὶ πρὶν ἥκειν ὑποπτευόμενον, καὶ προσιὸν αὖθις ζηλοτυπούμενον. ὦ πάντα παθὼν ἐγὼ, καὶ πρὸς τοῦ γένους[2] βαλλόμενος. οὐχ ἵσταταί μοι τὸ τῆς ἐπιβουλῆς, ἀλλ᾽ οἴκοθεν ἔχω τὸν πόλεμον, ἀφ᾽ ἑστίας βάλλομαι, καὶ φθόνον Σαοὺλ ὕβρις παιδὸς διαδέχεται, ὄφυγον κηδεστὴν ἐπίβουλον, καὶ πρὸς παῖδα τύραννον αὖθις ἐμπέπτωκα. ἀλλὰ τίς οὗτος ὁ πόλεμος; πόθεν τὰ τῆς καινῆς ταύτης πείρας; αἰσθάνομαι τοῦ κακοῦ, προβάλλει μοι[3] τὸ δεινόν. εἰς νοῦν λαμβάνω, πόθεν μοι τὰ τῆς φυγῆς ἐπεψήφιστται[4]· αὐτὸς ἐμαυτῷ[5] τὸν παῖδα ἐφώπλισα. δίκης ἔργα ταῦτα καὶ θεόθεν ἐλαύνομαι. κατετρύφησα τῆς ἀρχῆς, καὶ πρὸς ἡδονὴν ἀπήχθην[6] παράλογον. εἶδον ἀδίκοις ὀφθαλμοῖς. ἔπαθον εἰς ἔρωτα, παρέβην γάμων θεσμοὺς, ὑφειλόμην[7] εὐνὴν μὴ προσήκουσαν, ἐπέθηκα τούτοις καὶ φόνον. ταῦτά με νῦν βάλλουσι, τοῖς ἐμοῖς ἁπλῶς ἁλίσκομαι. Ὢ δίκης βαρείας μὲν, ἀλλ᾽ ἀπὸ τοῦ πεπονθότος ἐχούσης τὴν ἀρχήν. γάμον ὕβρισα, καὶ πρὸς γάμου κολάζομαι, ὅθεν ἠδίκουν, ἐκεῖθεν καὶ πέπληγμαι. εἰς παιδὸς ἡμάρτανον γένεσιν, καὶ παῖδα νῦν ἔχω τὸν δήμιον, καὶ πατὴρ εἰς παίδων γονὰς ἀδικῶν ὑπὸ παιδὸς σωφρονίζομαι. παρέβην ὦ παῖ τὴν φύσιν ἐγὼ, καὶ γίνῃ παρὰ τὴν φύσιν αὐτὸς ἀδικώτερος. πότερον ἐμαυτὸν τῆς ἀτοπίας, ἢ τὸν παῖδα τῆς παρανομίας ἀποκλαύσομαι; ἐμιμήσω τὸν τεκόντα ὦ παῖ τὰ μὴ προσήκοντα. καὶ πατέρα ἁμαρτόντα[8] τιμωρῶν ἁμαρτάνεις διπλάσια, καὶ μὴ προσήκουσαν ἀρχὴν ὑφαιρούμενος, καὶ τὸν εἶναί σοι δόντα μηκέτ᾽ εἶναι βουλόμενος. ἆρ᾽ οὖν εἰς τὰ ὅπλα βλέψω; καὶ πολέμῳ διακρινοῦμαι περὶ τῆς ἀρχῆς; καὶ πῶς ἂν ὑπερέλθω τοῖς ἐμοῖς σπλάγχνοις; οὐκ ἔχω πῶς ἂν ἐπανατείνω τὲ

2 Par. φθόνου. 3 Ante προβάλλει λείπει τι. Huet. 4 Par. ἐπεψήφιστο. 5 Par. ἐμαυτοῦ. 6 Par. ὑπήχθην. 7 Allat. ὑφελόμην. Par. ὑφειλόμην. 8 Par. ἁμαρτάνοντα.

ξίφος κατὰ τοῦ [9] ποδός. αἰσχύνομαι πατὴρ καλεῖσθαι 197
πολέμιος, φεύγων οἰχήσομαι, τῆς ἐρημίας καὶ νῦν ἐπι-
λήψομαι, οὕτως ἐγὼ περιεῖναι πειράσομαι, οὕτω τῷ
παιδὶ πατροκτονίας διδοὺς [10] ἀφορμὴν, καὶ παιδοκτο-
νίας αὐτὸς αὖ δεχόμενος τρόπαια. εἰ δέ [11] που δεήσει
καὶ μάχεσθαι, ἔχω τὸν στρατηγήσοντα. [12] τοῦτον ἐπα-
φήσω τοῖς ὅπλοις, πρότερον παρασκευασάμενος ὡς παῖ-
δα ζωγρεῖν, καὶ μὴ κτείνειν ὡς τύραννον. οὕτω καὶ
Σαοὺλ ἐκεῖνον ὑπνοῦντα λαβὼν ἐφεισάμην, οὐχ ὡς
ἐχθρὸν ἀναιρῶν, ἀλλ' ὡς κηδεστὴν περιποιούμενος.

21. *Τίνας ἂν εἴποι λόγους ὁ Δαυὶδ ἐν σπηλαίῳ κατα-* 198
λαβὼν ἀφύλακτον ὑπνοῦντα τὸν Σαοὺλ, ὅτε ὑπ'
αὐτοῦ ἐδιώκετο.

Ἔχω σε τὸν διώκτην ὁ δραπέτης ἐγὼ, ἔχω σε τὸν
εἰς ἀναίρεσιν ἕτοιμον, εἰς τὸ παθεῖν ἑτοιμότερον. ὦ τῆς
ἐκ θεοῦ τῶν πραγμάτων ἐπιφορᾶς. ἀντέστραπταί σου
τὸ βούλημα, καὶ ὃ δρᾶν ἠπείλεις, τοῦτο νῦν αὐτὸς πρό-
κεισαι. καὶ ὃν λάκκον ὤρυξας, εἰς τοῦτον ἐμπέπτωκας.
διώκων ἑάλως, καὶ φεύγων κεκράτησαι, [1] ὕπνῳ βέβλησαι,
καὶ τὸ σῶμα μετὰ καὶ τῆς φυλακῆς κατεβέβληται. κἂν
εἰ βούλοιτό τις, ἄπονον τὸ θήραμα. εὐάλωτος ὁ πολέ- 199
μιος. κεῖται μὲν ὁ φυγαδεύων, ἄφρακτος τὴν δεξιὰν,
ἀφύλακτος τὸ σῶμα. ὡς τάχα τῶν δορυφόρων ὕπνος
ἐτρέψατο, καὶ τὴν παλλὴν φυγὴν ἐκείνην διέλυσεν. ἐφέ-
στηκα δὲ ὁ φυγὰς, καὶ τὸ ξίφος ἐγχὺς, καὶ ἡ χεὶρ οὐκ
ἄνοπλος. τί φῂς [2] ὁ γενναῖος; [3] διώκεις, ὃν ἐν σπηλαίῳ
καθεῖρξας; ζητεῖς, ὃν ἔχεις ξυνέστιον; σὺ μὲν ἠπείλεις,

9 τοῦ Allat. om., recepi ex Par. 10 διδοὺς Allat. om., inserui ex Par. 11 Huet. δή. 12 Allat. Par. στρατηγήσαντα. Huet. στρατηγήσοντα.

1 Allat. κεκρότησαι. Huet. Par. κεκράτησαι. 2 Allat. τί φής. 3 Par. ὦ γενναῖε.

ἐγὼ δὲ ἐπυνθανόμην τῆς ἀπειλῆς. σὺ μὲν ἐσκαιώρεις τὴν ἐπιβουλήν, ἐμὲ δ' οὐκ ἐλάνθανε τὸ μηχάνημα. ἐμελέτας τὴν δίωξιν. καὶ ὁρῶν ἐφαντάζου τὰς [4] κορυφὰς, καὶ τοὺς ὑψηλοτέρους περιεσκόπεις τῶν λόφων. ὁ δ' ἐγγύς που παρεδυόμην αὐτός. [3]Ὦ θεὲ πάτριε, εἰς χεῖρας ἔχων, 200 ὃν ἔσπευδε, λαβεῖν οὐκ ἐγίνωσκεν. ἀλλ' ἦμεν ἐφ' ἑνὸς τοῦ σπηλαίου, καὶ μία πέτρα φυγάδα καὶ διώκτην ἐδέχετο. εἶθ' ὁ μὲν ὑπνώττει, καὶ πέπτωκε, καὶ φροῦδοι μὲν οἱ φύλακες, φροῦδα δὲ τὰ τῆς ἐπιβουλῆς, καὶ μικροῦ δεῖν ὡς 10 ἐκ πολιορκίας ἁλόντες τὸ παθεῖν οὐ δεδοίκαμεν. τίνες ἄρα σοι νῦν, ὦ βασιλεῦ, προβάλλουσιν [5] ὄνειροι; ἆρα δοκεῖς ἔχειν ἐχόμενος; ἆρα νομίζεις ἁλίσκειν, αὐτὸς ἁλισκόμενος; τάχα που διώκεις καὶ κείμενος; ἐπισπεύδεις ἴσως τὴν καταδρομὴν, καὶ δεσμώτης ὕπνου γενόμενος; 15 ἀλλ' ὦ κακοὶ φύλακες, ὦ δορυφόροι πρὸς ὕπνων νικώμενοι, [6] εἴ μοι παρῆν, ἡδέως ἂν ὑμᾶς [7] ἐκόλασα. τὶ γὰρ ἐφ' ὑμῖν, ἀφύλακτος ὁ βασιλεὺς, καὶ προδέδο- 201 ται. οὕτως ἐγὼ προδότας ὑμᾶς [8] τίθημι. ἀλλ' ἔγωγε καὶ ὡς βασιλέα φυλάξω; καὶ ὡς μισοῦντα φυλάξομαι. 20 κἂν γὰρ ὡς ἐλαύνοντα νομίζω πολέμιον, ἀλλ' ὡς Χριστὸν Κυρίου σεβάζομαι, κἂν ὡς δυσμεναίνοντα μὴ στέργειν βιάζομαι, ἀλλ' ὡς κηδεστῇ περιέχομαι. φείδεσθέ μοι καὶ ὑμεῖς, ὦ συστρατιῶται, τοῦ βασιλέως, ὃν [9] πολλάκις ἐδορυφορήσαμεν. μὴ νῦν τοῦτον ἀνέλωμεν. οὐ 25 βούλομαι τυραννίδα συναναμίξαι μου τοῖς ἀριστεύμασι. μή μοι τὰ τρόπαια φόνῳ παρανόμῳ συγκρύψητε, [10] μηδὲ μετὰ Γολιὰθ καὶ Χριστὸς Κυρίου τὴν ἐμὴν δεξιὰν αἰτιάσθω. Μωϋσῆν οἶδα νομοθέτην, καὶ νομοθετοῦντα

---

4 τὰς Par. om. 5 Par. προσβάλλουσιν. 6 Allat. πρὸς ὕπνον διωκόμενοι. Par. πρὸς ὕπνων νικώμενοι. 7 Par. ὑμᾶς. 8 Par. ἡμᾶς, et paullo post: φείδεσθέ μοι καὶ ἡμεῖς. 9 Par. οἱ. 10 Allat. συγκρύψητε.

Digitized by Google

θεὸν, ὑφ' οὗ νῦν σεσώσμεθα [11] καὶ ᾧ βασιλέα πολέμιον 202
ἐχαρισάμεθα. φόνος [12] ἅπας νόμοις ἀπείρηται· τὸ δὲ
τῆς βασιλείας σεμνότερον καὶ τὸν φόνον ποιεῖται δεινό-
τερον· ἀφαιρετέον μικρὸν καὶ [13] τῆς χλαμύδος, περιαι-
ρετέον τι καὶ τοῦ δόρατος, ὡς ἐγὼ τῆς πέτρας ἐξιόντι [14] 5
ταυτησὶ τὰ σύμβολα ἐπιδείξωμαι, καὶ κακίσω μὲν τοῦ
ὕπνου τοὺς φύλακας, διηγήσομαι δὲ καὶ ὡς ἡμῖν εἴλη-
πται, καὶ ὡς ἐφεισάμεθα δυσμεναίνοντος.

22. *Τίνας ἂν εἴποι λόγους ἡ ἐξ Ἐδέσσης παρὰ τοῦ Γότθου ἀπατηθεῖσα κόρη.* 10

Ὡς ἄρα πιθανώτατόν τι χρῆμα γλῶσσα ψευδὴς, 203
καὶ βάρβαρος γνώμη τυραννικώτατον· ταῦτά μου τὴν
παρθενίαν ἐσύλησε, ταῦτά μου τὴν παρθενίαν ἐσκύλευ-
σεν. εἶχε μὲν γάρ μοι τὰ τῆς πατρίδος οὐκ ἀγαθῶς,
καὶ κίνδυνος ἐπέκειτο κατὰ κεφαλῆς, καὶ ὅλον ἔθνος 15
κατεπεκύκλου τὴν Ἔδεσσαν, δουλαγωγῆσαι ταύτην βαρ-
βαρικῶς φρυαττόμενον, ἔργον θέσθαι μαχαίρας, καὶ
ἀφελέσθαι τὸ ἐλευθέριον. ἀλλ' ἦκει συμμαχικὸν ἀξιό-
χρεων ἀντιπαραταξόμενον πρὸς τὴν ἔφοδον. εἰ μὲν οὖν
ὅλον ἐπίορκον, εἰ μὲν οὖν ὅλον βάρβαρον, ἐρωτόληπτον, 20
οὐκ οἶδα, νὴ τὴν δουλείαν ταύτην, ἣν κατακέκριμαι,
νὴ τὴν ἐλευθερίαν, ἣν ἀπολώλεκα. ὁ δέ γε Γότθος ὁ
πρὸς τὴν ἐμὴν οὐκ ἀγαθῷ ποδὶ φοιτήσας οἰκίαν, βάρ- 204
βαρος τὴν γνώμην, τὴν γλῶσσαν ἐπίορκος, καὶ τὰ πολ-
λὰ τοῖς ἔρωσι χαριζόμενος, εἶδέ με παρθένον οἰκουρου- 25
μένην παρθενικῶς, καὶ ὅλην οὖσαν παρθένον αἰδοῖ, καὶ
συνέσει, καὶ τῷ σοβήματι. ὁ δὲ, ἀλλ' εἶδεν, ἀλλ' ἐξετά-
κη τοὺς ὀφθαλμοὺς, καὶ ὅλην αὐτὴν καρδίαν ὑπερεκάη
τῷ ἔρωτι. Ἐγὼ δὲ ἄρα οὐκ ἤδειν· ἐπ' αὐτοῦ δὴ τοῦ

11 Allat. σέσωσμαι, ὡς καὶ βασ. πολ. χαρισώμεθα, recepi lectionem Par. 12 Par. φόνον ἅπας νόμος. 13 Par. καὶ om. 14 Par. ἐξιόντα.

Digitized by Google

προσώπου φέρουσα τὰ δεινά. καὶ τῷ κάλλει μέσῳ κατορωρυγμένα τὰ δυστυχήματα. τὰ μὲν οὖν δὴ πρῶτα ἔρωτι συμμάχῳ χρησάμενος, καὶ τὴν γλῶτταν ἔχων ἐλέπολιν κατ' αὐτῆς δὴ τῆς σωφροσύνης κατεπεστράτευσε, πολιορκῆσαι θέλων τῆς παρθενίας μου τὴν ἀκρόπολιν, καὶ καταστρατηγῆσαι τῆς σωφροσύνης αὐτῆς. Ἐπεὶ δὲ πεῖρᾳ φθάνει μαθὼν, ὡς οὐχ ἱκανὰ ταῦτα κατασεῖσαι τὰ τῆς σωφροσύνης πυργώματα, μέτεισι τὴν μητέρα, τὴν ἀλωπεκῆν ἐνδυσάμενος, τὴν γλῶσσαν ὅλην πρὸς ἄλλο σχῆμα μεταμειψάμενος· ἐπαινεῖ τὸν γάμον, καὶ τὸν νυμφίον καθυποκρίνεται, καὶ δοῦλος ἄλος γίνεται τῇ μητρὶ καὶ γλώσσῃ, καὶ σχήματι, καὶ ζητεῖ με τὴν θυγατέρα πρὸς γάμον, ἀλλ' ἔννομον, νόμου μεμνημένος, ὃ τὰ πάντα παράνομος. ἐπεὶ δ' οὐκ ἔχει πείθειν μητέρα φιλόπαιδα, τούτῳ δὴ τῷ πρὸς γάμον ἑτοίμῳ θορυβουμένην τὰ μάλιστα, μὴ καὶ προτέραν ἠγάγετο λέγουσαν, ὃ τοῖς ἔρωσιν οὕτω πειθόμενος, καὶ πᾶσιν ἀνέμοις ἐρωτικοῖς ῥιπιζόμενος, μαρτύρεται θεὸν, μαρτίρεται Δίκην, μάρτυρεται Μάρτυρας αὐτοὺς ἐκείνους, τοὺς ἐν Ἐδέσσῃ παθόντας ἕνεκα Χριστοῦ, καὶ τῆς καλῆς ὁμολογίας ἀναδησαμένους τὸν στέφανον. ἡ δέ γε μήτηρ, τί δ' ἄλλο πάντως ἢ μήτηρ, καὶ κηδομένη τῆς θυγατρὸς, τοῖς ὅρκοις πιστεύει τοῦ μηδὲν εὐορκήσαντος. πείθεται τοῖς λόγοις τοῦ καὶ θεὸν αὐτὸν παρ' οὐδὲν τιθεμένου παραλογώτερον, καὶ τῷ παρανομωτάτῳ Γότθῳ νόμῳ γάμου με παραδίδωσιν. ἕως μὲν οὖν ἡ πατρὶς ἐκυμαίνετο, τὰ περὶ τὴν ἐμὴν οἰκίαν ἦσαν ἀκύμαντα· ἕως τὰ περὶ τὴν Ἔδεσσαν ἐκλονεῖτο, ἀπερικλόνητά μοι τὰ περὶ τὸν ἄνδρα διατετήρητα. ἕως τὸ συμμαχικὸν ἐτήρει τὴν πόλιν, ἀνόθευτά μοι τὰ τῆς στοργῆς ἐφυλάττετο, καὶ ἦν ὁ Γότθος ἀνὴρ τὰ πάντα φιλόστοργος, καί μοι τὰ πάντα γενόμενος, ὅσα καὶ πρὸς γυναῖκα γένοιτ' ἂν ἀνὴρ ἀγαθός· ἐπεὶ δ' ὁ κλύδων τῆς πόλεως νηνεμίαν ἔσχεν, καὶ κατε-

ποιμήθη τὰ κύματα, κατ᾽ ἐμῆς αὐτῆς ὅλον μετεγείρεται τὸ κλυδώνιον, καὶ ἀγριοῦται τῶν δυστυχημάτων ἡ θάλασσα, καὶ κύματα τῶν πειρασμῶν ἀλλεπάλληλα. καὶ τῆς ἐλευθερίας δουλείαν ἀλλάσσομαι, καὶ θεραπαινὶς ἀνθ᾽ ὁμοζύγου, καὶ ἀντὶ δεσποίνης αἰχμάλωτος γίνομαι, ὢ πικρᾶς ταύτης μεταβολῆς, ἣν κενῶς μεταβέβλημαι. ὢ πικρῶν ἐκείνων γάμων, ὢ συναλλαγμάτων οὐκ εὐτυχῶν. ἔλαθες ὦ μῆτερ ἀντὶ γαμηλίων συμβολαιογραφοῦσα πρά- 208
τορα. ἔλαθες ἀργυρολογησαμένη τὴν θυγατέρα, ἀνθ᾽ ἣν ἐδόκεις νυμφοστολήσασθαι. ἔλαθες τὸν ὑμέναιον ἄδουσα, τὸν ἐξιτήριον τραγῳδήσασα. οὐκ ἀνὴρ ὁ Γότθος, ἀλλὰ δεσπότης, καὶ σὺν δεσποίνῃ λαμπρῶς ἀνακέκλεται. ἐγὼ δὲ δούλη παρίσταμαι, καὶ θεραπαινὶς, ἡ πρὶν ἐλευθέρα καὶ δέσποινα. ὢ τῆς ἐμῆς δυστυχίας, ὢ τῆς σῆς ἀβουλίας, ὢ τῆς ἐμῆς ταύτης πλάνης περὶ τὸν ἄνδρα, ὢ τῆς σῆς ἐκείνης ἀπάτης, ἣν ἐξηπάτησαι. ὄγκωταί μοι τὰ τῆς γαστρὸς, καὶ συνογκοῦταί μοι τὸ τῆς δεσποίνης ζηλότυπον. [1] ἐπανθεῖ μου τῷ προσώπῳ 209
τὸ κάλλος, ἢ πού μοι τὸ πᾶν κατεμαράνθη τοῖς δυστυχήμασι, καὶ τὸν θυμὸν ἡ δεσπότις ἐμφαίνει τῷ βλέμματι. ἐρύθημά τι ταῖς παρειαῖς ὀλίγον ἐναπολέλειπται, καὶ ὅλη κάμινος φθόνου περὶ μέσην αὐτὴν ἐκείνης ἐξῆπται ψυχήν. καιρὸς ὠδίνων καὶ τοκετοῦ. καὶ τίκτει σοι μῆτερ ἡ παῖς, ὢ πικρᾶς ταύτης φωνῆς, κατὰ δούλην αἰχμάλωτον. καὶ τὸ ζηλότυπον ἐγκυμονούμενον τῇ δεσποίνῃ γεννᾶται πρὸς ὅλην ἀντιπαράταξιν, καὶ κατὰ τοῦ παιδὸς ὁπλίζεται γενναιότατα, συμμάχῳ τῷ δόλῳ χρησάμενον. ἡ δεσπότις ὑποκλέπτει τὴν δούλην, καὶ θανατοῖ τὸν παῖδα μηδὲν ἀδικήσαντα, τοῖς χείλεσι τοῦ βρέφους, ὢ τῶν ἐμῶν ἐκείνων κενῶν ὠδίνων, ἐγχύσασα ἐληλητήριον. ὢ βρέφος μηδὲν ἀδικῆσαν, καὶ θανὸν ἀδι- 210

1 Allat. ζυλότυπον.

κώτατα. ὦ νήπιον μηδὲν κακουργῆσαν, καὶ κακουργηθὲν δολιώτατα. καὶ μέχρι τοῦ σοῦ θανάτου τέκνον παρανομούμεθα. ὦ τῶν ἐμῶν δυστυχῶν τούτων σπλάγχνων, ἃ σε πρὸς φῶς ἀθλίως ἐξήνεγκαν· ὦ τῶν ἐμῶν ἐλεεινῶν τούτων χειρῶν, αἵ σε φέρειν [2] νεκρὸν ἀδικούμενον. ἐκτέτηκα τοῖς δάκρυσι, καὶ τοῖς ὀδυρμοῖς, τοῖς στεναγμοῖς ἀπείπα, καὶ τοῖς ἀλγήμασι, καὶ ἐν ῥισὶν ἡ πνοή μοί ἐστι. δέδοικα μὴ καὶ αὐτὴν φυσήσω ψυχήν, μὴ φύγοις Γότθε δίκην αὐτὴν, μὴ παραδράμοις ὀργὴν παραθεωρουμένου θεοῦ· ἀντιπαράθου με τῷ σηκῷ τῶν Μαρτύ-
211 ρων, ὅθεν παρέλαβες. εἰ δ' οὖν [3] ἐγὼ θαῤῥήσω τοῖς Μάρτυσι, καὶ τὴν δίκην ἐνδυσαμένη, καὶ θωρακισαμένη τοῖς ὅρκοις, οἷς πολλοῖς ἐκείνοις, τῆς ἀνοχῆς σου Χριστὲ βασιλεῦ, ἡμᾶς ἐξηπάτησας, ἀνδρίσομαι πρὸς τὴν ἄμυναν, ᾧ βέβλημαι βέλει, τούτῳ τὸν ἐχθρὸν ἀνταμύνομαι, κἂν χρήσωμαι βοηθῷ τῷ νηπίῳ πρὸ τῆς ὥρας κειμένῳ, οὐχὶ καὶ βέλη νηπίων λογισθήσονταί μοι τὰ μηχανήματα, ὅτι συνερίθους ἔχω τοὺς Μάρτυρας, οἷς βέλη νηπίων ἐλογίσθησαν αἱ πληγαὶ, ὅσας πολλὰς ἐκείνας ἕνεκα τῆς εὐσεβείας ἐπλήγησαν καθ' ὅλου τοῦ σώματος.

212 23. *Τίνας ἂν εἴποι λόγους κηπωρὸς ἐπιμελούμενος κήπου, καὶ μετὰφυτευσάμενος, καὶ κυπάριττον ἐπ' ἐλπίδι καρπῶν, καὶ τῶν ἐλπίδων ἀστοχήσας.*

Ὦ κενῶν ἐκείνων πολλῶν ἐλπίδων, αἷς ἠνδραπόδισμαι. ὦ πόνων πολλῶν ἐκείνων ἀκαίρων, οὓς ἐκπεπόνηκα. Τὸν Ἀλκινόου κῆπον ἐκηπευσάμην αὐτὸς, καὶ ἦν μοι παρὰ τῷ κήπῳ καὶ φυτὰ, καὶ δένδρα, καὶ ἄνθεα, καὶ Χάριτες ἠρέμα πως ὑπέτρεχον τὰ φυτὰ, καὶ τοῖς ἄνθεσιν ὑπεχόρευον, καὶ ἐπὶ πᾶσι κερδῷος Ἑρμῆς, πόνους ἀμει-
30 βόμενος φυτουργοῦ. ἦν ἐκεῖ παρὰ τῷ λειμῶνι μηλέα
213 πολύκαρπος. εἶπεν ἂν Ὅμηρος ταύτην ἰδὼν ἀγλαόκαρ-

2 Huet. f. ἐξέφερον. 3 Huet. οὐκ.

πον.[1] καὶ ἥρπαζέ μου τοὺς ὀφθαλμούς, ὅτι καλὸν τὸ μῆλον, εὐπρόσωπον τὸ μῆλον, ἡδὺ τὸ μῆλον ἰδεῖν, ἡδὺ τὸ μῆλον φαγεῖν, ἡδὺ τὸ μῆλον ὀσφρήσασθαι. πάντα καλὸν τὸ μῆλον, καὶ ἡδύ, καὶ φαγεῖν, καὶ ὀσφρήσασθαι. χαρίεν ὑποπνέει, καὶ ὅλον ἐρωτικόν. τὸν φυτουργὸν ὀλβιοῖ, πολλοῦ ζητηθὲν καὶ πριάμενον. εἴποις ἂν ἰδὼν ἐν εἰκόνι γεγραμμένην μηλέαν ὁρᾷν, καὶ παρὰ τοῖς κλάδοις γεγράφθαι τοὺς Ἔρωτας, μῆλα τρυγῶντας, καὶ παίζοντας. οὕτω καλὸν τὸ μῆλον, ὡς καὶ τρυγητὰς ἔχειν Ἔρωτας. ἐκείνην μηλέαν ἰδὼν εἶδες ἂν καὶ Πάριν κριτὴν, καὶ θεὰς περὶ κάλλους φιλονεικούσας, καὶ μῆλον Ἀφροδίτῃ διδόμενον, καὶ τῷ δικαστῇ τὰς ἀμοιβὰς φιλοτίμως ἀντιμετρούμενον. Συκαῖ περὶ τὸν κῆπον ἦσαν γλυκύκαρποι, καὶ τοὺς καρποὺς μελισσῶνας εἶχον. τὸ γάρ τοι σῦκον κεχηνὸς ἀπέρρει τοῦ μέλιτος, καὶ μονονοὺ προσεμειδία τὸν θεατήν. ὁ δέ τις ὠνούμενος τὰς ὀπώρας εἶδε τὸ σῦκον, ὠνήσατο, τῆς εὐτυχίας μακαρίσας τὸν φυτουργόν. καὶ μῆλον Περσικὸν ἐκηπευσάμην παρὰ τῷ κήπῳ μου. καὶ ἦν τὸ μῆλον ὑπόχνοον, καὶ ὅλην τὴν παρειὰν κατὰ παρθένον ἐρυθραινόμενον, καὶ παραμένει τὸ μῆλον ὑπόκιρρον. κἂν τὸν καιρὸν προδράμοι, καὶ προφοιτήσοι τῶν ὀπωρῶν, ζητητέον τὸ μῆλον, οὐκ ὀλίγον τὸν φυτουργὸν ἀμειβόμενον. κἂν μετὰ τὴν ὀπώραν βραδυπορήσῃ, ἀργυρίων ἐπριάμην τὸ μῆλον, καὶ τῶν πάνυ ἀπωνάμην[2] τὰς ἀμοιβὰς πολυχεύμονας. ἠνώθει τὸ ῥόδον καὶ ξὺν αὐτῷ δὴ τῷ χρηματισμῷ καθηδυνόμην καὶ ὄψιν καὶ ὀσφρησιν. οὐ διὰ κενῆς μοι τὰ τῶν ἱδρώτων, κἂν περὶ κρίνα τούτους κεκένωκα, κἂν περὶ δὴ τὴν ἰωνιὰν, κἂν περὶ τὴν ἀναδενδράδα, κἂν περὶ νάρκισσον. εἰ καὶ μαλάχην ἐφυτηκόμησα, ἢ ἀσφόδελον[3] ἐκηπευσάμην, κἂν θριδακίνην, καὶ εἴτι τούτων ἐλάχιστον, ἀπω-

214

215

1 Od. *H.* 115. *Λ.* 589. 2 Allat. ἀπονάμην. 3 Allat. ἦν Ἀσφόδειον.

216 νάμην τῶν ἱδρώτων ἀργυρολογούμενος. δίκελλαν εἶχον, καὶ τὴν ἀμάραν ἀνώρυττον, καὶ ὕδατος μεταδιδοὺς τοῖς φυτοῖς, χρυσᾶς ἀντεφιλοτιμούμην τὰς ἀμοιβὰς, καὶ Πακτωλὸν ἐδόκουν μετοχετεύειν τῷ κήπῳ μου, ὅτι μοι τὰ τῶν πόνων ἐπικερδέστατα. ἐπεὶ δὲ τὰ τῶν ὀφθαλμῶν περιλιχνεύεται τὰ πολλὰ, καὶ φιλοκερδεστέρα προαίρεσις τὰ μὴ παρόντα ζητεῖ, καὶ τῶν ὄντων ἡγεῖται κρείττω τὰ προσδοκώμενα, εἶδον καὶ κυπάριττον εὐθαλῆ, καὶ μετεκηπευσάμην ταύτην τῷ κήπῳ μου. καὶ περὶ μίαν ἀμάραν τὸ ὕδωρ συναγαγὼν μετήγαγον παρὰ τὴν κυπάριττον, μεταφυτευσάμενος τὸ φυτὸν παρὰ τῇ διεξόδῳ τοῦ ὕδατος. καὶ χοῦν ἐπέβαλλον τῷ φυτῷ, καὶ πασσάλοις περιεκύκλωσα, καὶ λύγοις τοὺς πασσάλους ἐστεφάνωσα, ἐπιμελούμενος τοῦ φυτοῦ καὶ φυλακῇ, καὶ ὕδατι, καὶ χοΐ, ὅλους ὀφθαλμοὺς, ὅλην καρδίαν, ὅλην αὐτήν
217 μου ψυχὴν περὶ μόνην ταύτην μεταγαγὼν τὴν κυπάριττον, κενάς τινας ἐλπίδας τῶν ἐν χερσὶ προτιμώμενος. Ζέφυρος ἤδης ἠρέμα πως ὑποπνέει τῷ ἔαρι καὶ ἡ κυπάριττος ἐδόκει βλακεύεσθαι κατά τινα παρθένον σεσοβημένην ἐξ ἔρωτος. ὥρων [4] τοῦ φυτοῦ τὴν ἀναβολήν. κεχηνὼς εἱστήκειν ὁρῶν ἀτενῶς, καὶ ἦν ἐραστὴς ὁ γηπόνος, καὶ ὁ φυτουργὸς αἰχμάλωτος τοῦ φυτοῦ. ἔαρος καιρὸς, καὶ διηρεθίζετο τὰ φυτὰ, καὶ κατηνθίζετο καὶ κυπάριττος. παρῆλθεν ἔαρ, καὶ εἰς καρποὺς ἐτράφη τὰ ἄνθεα, καὶ τὸ ἄλλο μὲν ἐκαρποφόρησε τῶν φυτῶν. ἡ
218 δὲ καλὴ κυπάριττος ἀπηνθίσατο. χειμῶνος καιρὸς, καὶ φυλλοροεῖ τὰ φυτὰ, καὶ τὸν κόσμον ὅλον παντελῶς ἀποβάλλεται. καὶ κατὰ κόμην τὸν ἐκ τῶν φύλλων ἀποκείρεται βόστρυχον. ἀλλ' ἡ κυπάριττος βοστρυχοῦσα καὶ μέσῳ δὴ χειμῶνι τέθηλεν ἀμετάβλητα. κἂν ἔαρ, ἡ κυπάριττος εὐθαλής. κἂν θέρος, ἡ κυπάριττος τέθηλε.

4 Allat. ὥρων h. l. et paullo inferius.

χειμὼν, καὶ φθίνουσι τὰ φυτὰ, καὶ οἷον νεκροῦται τῷ ψύχει βαλλόμενα. ἡ δὲ κυπάριττος, πάλιν κυπάριττος, καὶ ὅλον ἔαρ ἐνζωγραφεῖ καὶ φύλλοις, καὶ τοῖς ἄλλοις ἀναβλαστήμασιν. ἔχαιρον ὁρῶν το φυτόν. ὥρων ὑψίκομον τὸ φυτὸν, ὥρων ἀνατρέχον εἰς οὐρανὸν, καὶ τὸν καρπὸν ἐκαραδόκουν τὸν οὕτω πολλῶν χαρίτων ἐπάξιον. τὰ δ' ἦσαν ἐλπίδες κεναὶ, καὶ ἀντικρὺς ὄνειροι, καὶ νῦν 219 κατὰ τὴν παροιμίαν ἄνθρακας εὑρίσκω τοὺς θησαυροὺς, [5] καὶ τῶν περὶ τὴν κυπάριττον μόχθων καρποὺς καρποῦμαι τὰ δάκρυα, καὶ τῷ Προμηθεῖ μὴ σπεισάμενος νῦν [10] ὅλῳ συνανακέκραμαι τῷ Ἐπιμηθεῖ. ὅλον τὸ ὕδωρ διεποτίζετο τὴν κυπάριττον. τὰ δ' ἄλλα τῶν φυτῶν ἀπεψύγη τῷ δίψει, καὶ τέτηκε μονονουχὶ, καὶ ἀδικίας ἐπεγκαλοῦντα τὸν φυτουργὸν, ὅτι μὴ φυτουργεῖται κατὰ τὴν ἄκαρπον ταύτην κυπάριττον· ἐγὼ δὲ ἄρα τῷ εὐθαλεῖ πε- [15] πλάνημαι τοῦ φυτοῦ, τῷ εἰσταλεῖ τὴν ὄψιν σεσύλημαι. τῷ οὕτως ἰθυτενεῖ κενὰς ἐλπίδας ἀπεθησαύρισα, καὶ νῦν 220 ἐκτέτηκα τοῖς ὀφθαλμοῖς χαρισάμενος. εἰ γοῦν κατὰ τοὺς εὐηθεστέρους τῶν ἁλιέων καὶ φυτουργὸς νοῦν [6] οἴσει πληγεὶς, μετοχετεύσω τὸ ὕδωρ ἐπὶ τὰ λάχανα, ἐπιμελή- [20] σομαι τῶν φυτῶν, ἀνακαθάρω τοὺς ὀχετοὺς, θενδροκομήσω τὰ ῥοσήσαντα τῶν φυτῶν, χαίρειν εἰπὼν τῇ κυπαρίττῳ, καὶ ταῖς ταύτης ἀναβολαῖς. κἂν τὸ ἰθυτενὲς προβάλληται, κἂν τὸ εὐσταλὲς, ἀντιπαραθήσω ταύτης τὸ ἄκαρπον, γνωμολογούμενος προσφορώτατα, ὡς οὐδε- [25] νὸς λόγου πριαίμην βροτὸν, ὅστις κεναῖς ἐλπίσι θερμαίνεται.

---

5 Vide Arsen. Viol. p. 57. c. not. 6 Allat. νῦν. Alludit ad proverbium ἁλιεὺς πληγεὶς νοῦν οἴσει, ἐπὶ τῶν μετὰ πεῖραν εἰς γνῶσιν ἐλθόντων. Vide Ars. Viol. p. 41.

Digitized by Google

VI.

ΑΔΡΙΑΝΟΥ[1]

ΤΟΥ ΡΗΤΟΡΟΣ

ΜΕΛΕΤΑΙ ΤΙΝΕΣ.[2]

Allat.

238 1. Ἁλοῦσα φαρμακίας οὐχ οἷά τε ἦν καυθῆναι· ὑπέσχετό τις γυνὴ καύσειν αὐτὴν, καὶ ἔκαυσεν· ἀξιοῖ Ἁδριανὸς ὁ ῥήτωρ καὶ ταύτην καῆναι.

Πρὸς μὲν τὸ λέγειν, ὡς οὐ τὰς κεκτημένας τὴν τέχνην ὁ νόμος, ἀλλὰ τὰς ἐπὶ κακῷ χρησαμένας ἀπαιτεῖ τιμωρίαν, εὐχερὲς ἀπ' αὐτοῦ ποιήσασθαι τοῦ νόμου τὴν διδασκαλίαν· ὁ γὰρ οὐ τὴν φαρμακεύουσαν εἰπὼν, ἀλ-

1 Adrianus, Tyrius, Herodis Attici, quem pro funere laudavit discipulus, in throno sophistico Athenis successor. Hic Marco Antonino imperatori itidem admirationi fuit, amplisque muneribus ab eo donatus est, ut narrat Philostratus in ejus vita. Ex eo tempore τὸν ἄνω θρόνον sive superiorem cathedram rhetoricam etiam Romani Athenaei obtinuit, et imperatori Commodo ab epistolis fuit, discessitque e vita Romae, octoginta circiter annos natus quum esset. Fabr. Bibl. Gr. T. VI. p. 50. ed. Harl. 2 Huet. ad marg. exemplaris sui adscripsit: κομψαὶ, νὴ Δία, καὶ δειναὶ ὡς μάλιστα· τῶν δὲ ἄλλων ψυχραὶ καὶ παιδαριώδεις, πλὴν αἱ Λιβανίου.

Digitized by Google

λὰ τὴν φαρμακίδα, καὶ τῇ πρόσηγορίᾳ τῆς τέχνης τὴν 239
τιμωρίαν ὑποθεὶς, δῆλός ἐστι μισῶν τὸ δράσαι δύνα-
σθαι· καὶ γὰρ ὅσα μὲν τῶν ἀδικημάτων τόλμης ἔχεται
μόνης, ἐκ τοῦ πραχθῆναι διελέγχεται, ὅσα δέ ἐστι τέ-
χνης, καθάπερ φαρμακεία, ταῦτα καὶ πρὸ τῆς πράξεως
ἀπὸ τῆς γνώμης διαβάλλεται· καὶ γὰρ τοὺς τέχνας, ἀφ'
ὧν ἐστι τὸ δύνασθαι βλάψαι, προσλαβεῖν μανθάνοντας
ἀπ' αὐτῆς ὑποπτεύειν ἀνάγκη τῆς ἐπιθυμίας· οὐ γὰρ
χρὴ τὸ παθεῖν ἀναμείναντας οὕτως ἀμύνασθαι ζητεῖν
τοὺς ἐξ ὧν ἔπαθον δράσαι δυνηθέντας, ἀλλὰ πρίν τι
παθεῖν ὑποπτεύειν τὸ δράσαι δύνασθαι· τί τοίνυν ὁ
φαρμακεύς ἐστι, λῃστὴς ὡμολογημένος, προτείνων τέ- 240
χνην ἀδικημάτων, ἄσκησις ἐπιβουλῆς. παρανομίας ἐπάγ-
γελμα, ἰσχὺς ἀσεβημάτων, ἐπεὶ καὶ τῶν θηρίων τουτωνὶ
τῶν ὁμοτέχνων ὑμῖν, ὦ γύναι, τὰ πολλὰ κολάζομεν, οὐ-
δὲν ὑπ' αὐτῶν προαδικηθέντες, ἀλλὰ τὴν δύναμιν αὐ-
τῶν μεμισηκότες, ὅτι κἀκείνων τι ἕκαστον ἔχει φάρμα-
κον ἐν τῇ φύσει, καὶ γὰρ εἰ τὸ δυνηθῆναι λαθεῖν [3] οὐ
πεφώρασαι, περὶ ὧν ἔδρασας, ἀλλ' ὅτι δύνασαι δράσαι,
πεφωραμένη, δώσεις ὡς δράσασα δίκην, εἰ καὶ μέχρι
νῦν δεδύνησαι λαθεῖν· καὶ τί δεῖ λέγειν περὶ σοῦ; εἰ
μὲν γὰρ ἐμίσεις τὴν τέχνην, οὐκ ἂν ἐμάνθανες, εἰ δὲ
ἔχεις τὴν ἐπιστήμην, ἐφθόνεις, οὐκ ἐμίσεις, κολάζει γάρ
τις, ὃ φεύγει· ζηλοτυπεῖ δὲ, ὃ μετ' ἄλλων ἔχει· καὶ γὰρ 241
λῃστὴς ἤδη λῃστὴν ἀπέκτεινεν ὑπὲρ σκύλων ὠργισμένος,
καὶ τύραννον καθεῖλέ τις μοναρχεῖν ἐθέλων. τοιοῦτόν τι
γεγένηται καὶ τὸ νῦν ὑπὸ σοῦ τετολμημένον· μοναρχίαν

---

3 Allat. μαθεῖν. Huet. λαθεῖν. Eadem confusio Jos. bell. jud. VII. 6. 4. αὐτοὶ κατὰ νύκτα λαθόντες ἔγνωσαν ἀποδράναι. Par. 1427. μαθόντες. Pausan. I. 16. 2. οὗτος ὁ Πτολεμαῖος, ὡς προσιὼν ὁ Σελεύκου στρατὸς ἐγένετο κατὰ Λυσιμαχίαν, λαθὼν Σέλευκον κτείνει. Riccard. Neapol. μαθών.

Digitized by Google

φαρμακείας οἴει σεαυτῇ διαπεπράχθαι, τὴν κοινωνοῦσαν τῆς τέχνης μετακεχειρισμένη.

2. Μισθοφόροι τὸν ποταμὸν τοῖς πολεμίοις ἐπήγαγον, καὶ ἀπαιτοῦσι τὸν μισθὸν παρ' Ἀμφικτύοσι δοκιμαζόμενοι.

242 Οὐκ ἐπαναλώσαμεν τῷ πολέμῳ χρόνον ἀλλὰ προσέθημεν τῇ νίκῃ τάχος, ὑμεῖς δὲ ἀποστερῆσαι τὸν μισθὸν διεγνώκατε, τὸ πλεονέκτημα τῆς εὐτυχίας ἔγκλημα ποιούμενοι, καὶ οὐδὲ ἐκεῖνο συνίετε, ὅτι πολλοὶ συμμαχήσαντες, οὐ μέντοι κρατήσαντες τὰ συνωμολογημένα χρήματα παρὰ τῶν συμμαχίας τυχόντων κομίζονται, διότι τῶν συμμαχούντων ἕκαστος συμβαλλόμενος τὴν γνώμην οὐκ ἐπαγγέλλεται[1] τὴν τύχην· ὧ τὸ παράδοξον τοῦτο τόλμημα ἡμῶν· στρατόπεδον ὅλον ποταμῷ βάλλεται, καὶ κλύδωνι χερσαίῳ παρασύρεται, καὶ χειροποιήτῳ χειμῶνι βαπτίζεται· ὧ μὴ πεζομαχήσαντες ἡμεῖς
243 μόνον, ἀλλὰ καὶ χωρὶς νηῶν ναυμαχήσαντες· αὐτανδρον οἴχεται τὸ τῶν πολεμίων στρατόπεδον. καὶ πάνδημον ἐν ἠπείρῳ μέσῃ τοὺς ἐχθροὺς κατείληφε ναυάγιον· κῦμα δεδιδαγμένον ἠγείρετο, καὶ ῥοῦς κεκελευσμένος ἐγίνετο, καὶ ποταμὸς ὑπὸ συνθήματος ῥεῖν προσετάττετο· ὧ μὴ μόνον ἀνδρῶν, ἀλλὰ καὶ ποταμῶν ἐστρατηγηκότες.

3. Δεσπότης δούλου κατηγορεῖ ἐπὶ μοιχείᾳ, τῆς οἰκείας γαμετῆς ἐξηγησαμένης ὡς ὄναρ τούτῳ ἐν τῷ τῆς Ἀφροδίτης ἱερῷ ἐμίγη.

Ὅτι μὲν οὐδεὶς ἂν ἑκὼν ἐπὶ τοιαύτην δίκην ἔλθοι, καὶ ταῦτά σοι μέλλων, βασιλεῦ, χρήσασθαι δικαστῇ,
244 ὃς οὐ μόνον τοὺς τῶν κρινομένων ἐξετάζεις βίους, ἀλλὰ

1 Allat. ἐπαγγέλεται.

λὰ καὶ τοὺς τῶν κατηγορούντων τρόπους, οὐκ ἔστιν ὅστις οὐκ ἂν συνομολογήσει ἐμοί· ἔστω δὲ καὶ τοῦτο τεκμήριον τοῦ τὴν κατηγορίαν εἶναι τὴν γινομένην ἀληθῆ, τῷ καὶ τὴν ὑπόθεσιν εἶναι τῷ μέλλοντι κατηγορεῖν ἀηδῆ· τὴν γὰρ τοιαύτην δίκην ἡ νικηθεῖσα μὲν ἀδικεῖ, ἀτυχεῖ δὲ ὁ νικήσας· παραίτοῦμαι δὲ συγγνώμην ἔχειν μοι οὐ κατηγορεῖν βεβουλευμένῳ, ἀλλὰ σιγᾷν μὴ δυναμένῳ, οὐ μόνον ὅτι ἀφόρητόν ἐστιν ἀδίκημα μοιχεία, ἀλλὰ καὶ ὅτι τῷ κοινῷ τῆς αὐτῆς ὕβρεως ἴδιόν τι τὸ ταύτης πρόσεστιν· ὁ γὰρ μοιχὸς δοῦλός ἐστι, καὶ τὴν ψυχὴν ταπεινὸς, κἂν ταύτῃ ταπεινὸς εἶναι δοκεῖ· δοῦλος δὲ οὐδὲ ἄλλου τινὸς, ἀλλ' ἐμός· ἔδει δὲ καὶ ταύτης δοῦλον αὐτὸν, ἀλλὰ μὴ δεσπότην εἶναι, ποιεῖ δὲ τὴν μοιχείαν περιττὴν, καὶ μᾶλλον αἰσχρὰν ἄμφω συνελθόντα, ἡ τῆς μεμοιχευμένης δόξα, καὶ ἡ τοῦ μοιχεύσαντος ἀδοξία. δέομαι δέ σου, βασιλεῦ, πρὸς αὐτά μοι βοηθῆσαι, ὑπὸ μὲν γυναικὸς ὑβρισμένῳ, ὑπὸ δὲ δούλου παρευδοκιμημένῳ· νεμεσῆσαι δὲ καὶ τούτοις, ἐν μὲν τοῖς ἔργοις λαθεῖν δεδυνημένοις, ὑπὸ δὲ τῶν θεῶν μεμηνυμένοις· ἀπορῶ δὲ πότερον αἰτιάσομαι θατέρῳ σύμβουλον καὶ διδάσκαλον γεγονέναι τῶν ἁμαρτημάτων· οὗτος μὲν γὰρ μειράκιόν ἐστιν, ὁ δὲ τοιοῦτος πεισθῆναι μᾶλλον, ἢ πεῖσαι πιθανὸς εἶναι δοκεῖ, καὶ διέφθαρται μᾶλλον ἢ διέφθαρκεν· αὕτη δέ ἐστι γυνή· εὐεξαπάτητον δὲ εἶναι δοκεῖ γυνή· ὥστε τῷ μὲν τὸ τῆς ἡλικίας ἀσθενὲς, τῇ δὲ τὸ τῆς φύσεως τοιοῦτον συναγωνίζεται· συνελὼν οὖν λέγω, συναμφότεροι καλοί· δοῦλον οὖν τίς προετίμησεν ἀνδρός; ὡραῖος γάρ ἐστι, καὶ καλὸς εἶναι, βασιλεῦ, κἀμοὶ δοκεῖ, καὶ πολλάκις αὐτὸν ὁ μωρὸς πρὸς ταύτην ἐπήνεσα, ὡς εὖ μὲν τὸ πρόσωπον ἱστάντα, ὑγροῖς [3] δὲ τοῖς ὄμμασιν ἐμβλέποντα

3 Huet: doux. Anacr. 28, 20. βλέμμα — ἅμα γλαυκὸν ὡς Ἀθήνης, ἅμα δ' ὑγρὸν, ὡς Κυθήρης: voluptate suffusum,

Digitized by Google

ἐπῄνεσα δὲ αὐτοῦ πολλάκις καὶ χεῖρας ἄκρας, ὡς λευκὰς, καὶ κόμας ταύτας, ὡς ξανθὰς, καὶ ταῦτα ἄρα λέγων ἐδίδασκον ταύτην ἐρᾷν. οἶδας δὲ καὶ σὺ, βασι-
247 λεῦ, ὡς ἐστὶ ταῦτα ἀληθῆ, οὐδὲ γὰρ κατέλιπεν αὐτὸν τὸ κάλλος, οὐδὲ φοβούμενον, ἀλλ' ἔλαμψε μὲν ὑπὸ τοῦ δέους ἡ παρειὰ, τὸ βλέμμα δὲ οὐκ ἀπήνθησεν, οὐδὲ λυπουμένου· παρέστηκε δέ σοι δεδεμένος, ἀλλ' ἐπέπρεψεν αὐτῷ καὶ τὰ δεσμά· φθόνος σοι καταρᾶται, καὶ τῶν κακῶν ὁ κίνδυνός σε κοσμεῖ, πονηρὲ, καὶ καλέ· ὀκνῶ δέσποτα λέγειν, ὅτι σήμερον καὶ καλλίων ἐγένετο· οὐκ ἐλεεῖς με, βασιλεῦ, μοιχὸν ἀνὴρ ἐπαινῶ, καὶ ταῦτα τῆς μεμοιχευμένης ἀκουούσης· φοβοῦμαι δὲ, μὴ καὶ σήμερον τὸ κάλλος αὐτῷ βοηθήσει· ἐπῄνουν αὐτὸν οὕτως· ὑπώπτευον δὲ αὐτοῦ τῶν ὀφθαλμῶν τὴν πλάνην, καὶ τὰ πολλὰ κινήματα, καὶ τὸ ἀποβλέπειν τῆς κύλικος ἔξω,
248 καὶ τοὺς ὅρους τῶν οἰνοχόων ὑπερβαίνειν· τηρήσας δὲ εἶδον ἀμφοτέρων αὐτῶν νεύματα, τὸ μὲν παρ' αὐτοῦ πεμπόμενον, τὸ δὲ παρ' ἐκείνης συναντῶν, πάντα δὲ ὁμοῦ παρῆν ἐπ' αὐτοὺς, νεότης, οἶνος, κάλλος· προσῆν δὲ τούτοις ἐγὼ τῆς μοιχείας συναγωγεὺς, ὁ τοῦ κάλλους ἑρμηνεύς· ᾤμην δὲ αὐτοὺς νουθετήσειν, τὸν μὲν ἀνυπόδετον ἐκπέμψας, τὸ δὲ πατεῖσθαι καταβαλών· ὁ δὲ, ὡς ἔοικεν, οὐκ ἠτιμάσθη πατούμενος, ἀλλ' ἐπατήθη μᾶλλον ἑλεούμενος· καὶ γυναικῶν ἐν ὕπνοις ἡ μὲν φίλανδρος οἰκουρεῖ, ἡ δὲ φιλότεκνος ὠδίνει, ἡ δὲ ἔριθος ἐργάζεται, ἡ δὲ ἐρῶσα μοιχεύει, ἡ δ' ἐμίγη. [6] ἕκα-
249 στος ἡμῶν τῶν ὀνείρων ἑαυτὸν ἀναμνησάτω, τί μὲν ὀνειροπολεῖ τὰ πολλὰ, τί δὲ ὁρᾷ, τοξότης τόξον, ἱππότης ἵππον, βασιλεὺς θρόνον, αὕτη δὲ μοιχόν· ἑάλωκας, ὦ πανουργοτάτη γυναικῶν· ἑώρακά σε αὐτῷ μειρακίῳ

---

schmachtend. Julian. Misopog. p. 350. D. ὑγρὸν βλέπειν, ῥιπτοῦντα πανταχοῦ τὰ ὄμματα. 6 Allat. εἰ δεμίγε. scripsi ἡ δ' ἐμίγη.

Digitized by Google

περικειμένην. τὰ γὰρ νυκτερινά σου φιλήματα τῶν μεθ' ἡμέραν ἐστὶν ὑπομνήματα· ἃ ποιεῖς ἐργηγορυῖα, ταῦτα καθεύδουσα μελετᾷς. ἐνύπνιον γὰρ ἀνθρωπίνης σπουδῆς εἴδωλόν ἐστι, καὶ συγκατάκεισαι μὲν ἐμοὶ, σχολάζεις δὲ ἐκείνῳ· καὶ παρ' ἐμοὶ μὲν τὸ σῶμα, παρ' ἐκείνῳ δὲ ἡ ψυχὴ, κἀμοὶ μὲν καθεύδεις, ἐκείνῳ δὲ οὔ.

ΤΟΥ ΑΥΤΟΥ 250

4. *Περὶ προόδου τοῦ Βαβυλωνίων βασιλέως.*

Τὸ ἅρμα, ἐφ' ᾧ φέρεται ὁ βασιλεὺς, ἅπαν ἐλέφαντός ἐστιν εἰργασμένον, ἐγγύτατα ἀπήνης Ἑλληνικῆς· αἱ δὲ ἡνίαι τῶν ἵππων εἰσὶ πορφυραῖ ταινίαι· ἐφέστηκε δὲ ὁ βασιλεὺς σκευὴν ἐσκευασμένος ἐξαίρετον, ἐν ᾗ μήτε θηρᾷ, μήτε δικάζει, μήτε θύει, ἀλλὰ πομπεύει μόνον· ἐστὶ δὲ ἁλουργὶς χρυσῆ, ἐξ ἴσου γὰρ ὁ χρυσὸς ὕφανται τῇ πορφύρᾳ· φέρει δὲ καὶ σκῆπτρον ἐλεφάντινον, ᾧ τὴν χεῖρα τὴν δεξιὰν μετέωρον ἐρείδεται· ἡγοῦνται δ' ἱππεῖς, σκηπτοῦχοί τε καὶ σατράπαι καὶ ἵππαρχοι, καὶ χιλίαρχοι, οἷς τι μέτεστι τοῦ ἔργου, οἱ μὲν πεζοὶ ἀργυράσπιδες· ἔτι δὲ ἀργυροθώρακες, ψελλίοις μὲν τὰς 251 χεῖρας, στρεπτοῖς δὲ δὴ τοὺς τραχήλους κεκοσμημένοι· περὶ δὲ ταῖς κεφαλαῖς οὐ κράνη περιτίθενται, ἀλλὰ ἐπάλξεων σημεῖα, καὶ πύργων στεφανοῦντα τὴν κεφαλὴν καὶ σκέποντα· καὶ ταῦτα μὲν ἀργύρου καὶ χρυσοῦ πεποιημένα. ἐστὶ δὲ ἄλλα καὶ λιθοκόλλητα τοῖς κρείττοσιν· ὀλίγοι δὲ καὶ στεφάνοις χρυσοῖς ἀναδέδενται, οἷς ἂν ἐκ βασιλέως δοθῇ, οἱ δ' ἐφ' ἵππων ἐλαύνουσι Νισαίων, τῶν μὲν τὸν πολεμικὸν τρόπον ἐσκευασμένων, προμετωπιδίοις τε καὶ στερνιδίοις καὶ παραπλευριδίοις, καὶ παραμηρίδια τοῖς ἱππεῦσι περίκειται, τῶν δὲ εἰς

Digitized by Google

252 πομπὴν ἠσκημένων χρυσοχαλίνων πάντων, ὥσπερ εὐδαιμόνων γυναικῶν, ζωστῆρές τε, καὶ τελαμῶνες καὶ ἔφιππα, οὐδὲν οὐδὲ τούτων ἐστὶν, ὃ μὴ χρυσήλατόν ἐστιν, ἢ χρυσόπαστον· τρίχες δὲ τῶν ἵππων οὖλαι διαπλέκονται, καθάπερ πλόκαμοι γυναικῶν, καὶ διαδοῦνται, καὶ περισφίγγονται πορφυραῖς τε καὶ ποικίλαις ζώναις· αἱ δὲ ἐν ταῖς ἱπποδρομίαις ἔνθεν καὶ ἔνθεν αἰωροῦνται καὶ καθίενται κατὰ τῶν αὐχένων, αἱ μὲν ἁπαλαὶ, αἱ δὲ ὀρθαὶ, αἱ δὲ οὖλαι, αἱ μὲν φύσει πεφυκυῖαι, αἱ δὲ διὰ τέχνης ἠναγκασμέναι· πλάττουσι δὲ αὐτῶν καὶ βαδίσματα, καὶ βλέμματα, καὶ νεύματα, καὶ φρονήματα, ἐνίων δὲ καὶ τὰ φρυάγματα, καὶ χρεμετίσματα· πομπευτὴς γὰρ ἵππος πάντα διδάσκεται· πρῶτον μὲν γὰρ αὐτὸς 253 ἐκτείνας εἰς τὸ ἔδαφος τοὺς πόδας, καὶ χαμαιπετὴς γενόμενος ἀναβάτην λαμβάνει, καὶ τρυφῶντα, καὶ κάμνοντα, ὁ δὲ ἐπὶ τὸ σοβαρώτερον πεπαιδευμένος, οὐκ εἰς γαστέρα καθίεται, ἀλλ᾽ εἰς γόνατα πίπτει, ἵνα δοκῇ τὸν ἱππέα δέχεσθαι, καὶ προσκυνεῖν· ἔπειτα παρέχει ὑγρὰν τὴν ῥάχιν, καὶ κραδαινομένην ἐν τῷ δρόμῳ δίκην ἑρπετοῦ· διδάσκει δὲ καὶ ῥυθμίζειν ἑαυτὸν καὶ σχηματίζειν, καὶ ταῖς ῥισὶν ἐμπνεῖν, καὶ τοῖς ὀφθαλμοῖς ἐμβλέπειν, καὶ ὑψαυχενεῖν, καὶ σοβεῖν, καὶ γαυριᾷν, καὶ πάντα ὅσα καὶ ἀθλητὴς ἐπιδείκνυσι τῷ θεάτρῳ· ἐκ δὲ τούτων ὁ μὲν ἵππος εὐειδέστερος φαίνεται, ὁ δὲ ἱππεὺς σοβαρώτερος γίνεται.

254 5. *Θανάτου καταφρονήσας ἄνθρωπος δεσπότην οὐκ ἔχει.*

Τὰ ἐνύπνια ὑπὸ μὲν τοῦ δαιμονίου πέμπεται, ὑπὸ δὲ τῆς ἑκάστου ψυχῆς τῶν ὁρώντων πλάττεται, καὶ τῆς μὲν φύσεως αὐτῶν ὁ θεός ἐστι χρηγὸς, τῆς δὲ ἰδέας ἡμεῖς αὐτοὶ δημιουργοί.

7 Allat. h. l. et paullo post οὖλαι.

Digitized by Google

Φιλαίτιοι τὰς φύσεις εἰσὶν οἱ βάρβαροι, καὶ πρόχειροι τὰς ὁρμὰς, ὀλίγα μὲν χρώμενοι τοῖς λογισμοῖς, τὰ πολλὰ δὲ τοῖς πάθεσιν εἴκοντες.

Ὅταν ἔρως ζηλοτυπίαν προσλάβῃ, τύραννος ἐκ βασιλέως γίνεται.

Ὀξεῖς οἱ τῶν ἐρώντων λογισμοὶ, καὶ πρόχειροι ὑποπτεῦσαι, δεινοὶ δὲ εἰκάσαι, ἔνθεοι δὲ μαντεύσασθαι. 255

Πάντας μὲν ἀνθρώπους ἐξίστησιν ἔρως, εὐνούχους δὲ ποιεῖ φονικωτέρους, ὥσπερ οἶνος Σκύθας· φονᾷ γὰρ Σκύθης μὲν πιὼν, εὐνοῦχος δὲ ἐρῶν.

Digitized by Google

VII.

ΣΕΥΗΡΟΥ ΔΙΗΓΗΜΑΤΑ ΚΑΙ ΗΘΟΠΟΙΙΑΙ.[1]

Fabricius et Harlejus

in biblioth. graec. lib. IV. c. XXXII. Tom. VI. p. 53.

Severi, Alexandrini, Ethopoeiae V. p. 221. (ed. Allat.) I. Achillis, apud inferos edocti, captam a Pyrrho Trojam

1 De Ethopoeia sic scribit Priscianus: Allocutio quae a Graecis ἠθοποιΐα dicitur, est imitatio sermonis ad mores et suppositas personas accommodata; ut, quibus verbis uti potuisset Andromache Hectore mortuo. Ab hac non multum abeunt προσωποποιΐα et εἰδωλοποιΐα. Est autem προσωποποιΐα cum rebus contra naturam datur persona loquendi. Quando autem mortuis verba dantur, erit εἰδωλοποιΐα, quales inter has reperiuntur. Sic Euripides et Virgilius Polydori idolum inducunt; et Homerus Patrocli. Alexander Numenius paulo aliter definit Ethopoeiam, uti et Apsines. Aliud est εἰδωλοποιΐας genus, cum Homerus Φόβον et Δεῖμον et Λιτὰς, aut cum Menander ἔλεγχον εἰδωλοποιεῖ, fingebant personas, non etiam orationes et mores. Extant Nicephori Basilacae Ethopoeiae ab Allatio editae. Gal.

Digitized by Google

esse. II. Menelai, rapta a Paride Helena. III. Hectoris, quum comperisset, Priamum apud inferos cum Achille convivatum. IV. Pictoris, depictae a se imaginis puellae amore capti. V. Herculis, Periclymeno in certamine sese commutante, nec propriam formam referente. [Inter codd. regios Matrit. est, teste Iriarto, in biblioth. Matrit. codd. gr. pag. 461. seq. cod. CXV. in quo fol. 210. seq. sunt Severi ethopoeiae (hoc ordine) II. III. V. IV. et I. Praeterea continet ejusdem, a Fabricio non memoratas, narrationes, *διηγήματα*, de viola, de hyacintho, de Arione, de Icaro, de Oto et Ephialte, quas Iriarte primus e cod. Graece evulgavit. — Eaedem narrationes sunt, teste Montfauconio, bibl. bibliothecar. vol. I. pag. 584. e. in biblioth. Mediolan. Ambrosiana. In bibl. Paris. publica sunt ethopoeiae in codd. MMDXLIV. MMDCCCCXVIII. et MMDCCCCLXXXV. — Inter codd. Langbaeni (in catal. codd. Angliae et Hibern. I. p. 270. b.), in quo cod. sunt quoque Nicolai, sophistae, ethopoeiae, latine. — Inter codd. Thom. Galei (ibid. II. p. 189. nr. 5973.) ethopoeiae, editis auctiores. Harl.]. — Has ethopoeias, sed minus integras, ediderat Federicus Morellus graece et latine Paris.[1] 1616. 8. Post Allatii editionem versionemque denuo auctiores et alio ordine cum nova versione sua et castigationibus vulgavit Thomas Galeus, Oxonii 1676. 8. ad calcem Demetrii Phalerei et alio-

1 Gale in fin. praefat. scribit, Severi ethopoeias aliquot impressisse Lutetiae a. M. D. XCI. (1591.) Fred. Morellum, gr. et lat. In catal. bibl. Leidensis, pag. 141. nr. 45. inter alia opera Morelli Lutet. 1591. 8. excusa, memorantur quoque Severi ethopoeiae. Editio tamen, Lutet. 1616. 8. fuit etiam in bibl. Asken. pag. 141. nr. 3487. et a Maittario A. T. III. p. 869. sic citatur: Severi Ethop. s. morales fictiones heroum, graece nunc primum ex bibl. reg. cum lat. vers. et notulis Fed. Morelli. Lutetiae 1616. 8. Harl. Editio 1616. est etiam in bibl. Berolinensi.

Digitized by Google

rum, de quibus infra capite proximo [2]. Addidit autem tres hasce ethopoeias: unam, quam ab Allatio statim dicam vulgatam esse sub nomine Theodori, Cynopolitae: alteram Aeschinis, deprehensa Philippi apud Demosthenem imagine, et tertiam denique, perbrevem, Briseidis, quum a praeconibus abduci se sentiret. Ceterum nihil impedire videtur, quominus Severus harum ethopoeiarum auctor sit Severus ille, sophista romanus, Damascio apud Photium cod. CCXLII. (ubi de Severo, imperatore, sermonem esse, p. 546. 543. 558. 560. perperam sibi persuasit eruditus interpres), et Suidae memoratus; nam romanus dicitur κατὰ τὴν τοῦ νόμου ἀξίωσιν, quia jure civitatis romanae gaudebat, Alexandriae vero docuit, ut ex eodem Damascio et Suida claret. Floruit Athenio imperante, qui occisus est A. C. 471.

Paris. 2918., quem contuli, sex tantum ethopoeias continet hoc ordine V. VII. IV. VI. I. II, omissa III. et VIII. Octava Libanio adscribitur in editione Reisk. Tom. IV. p. 1097., quo jure, me quidem latet. Notulas Galei et nonnullas Jacobi Leopardi emendationes recepi. Narrationes ex Iriarto descripsi, nusquam alibi inveni.

---

2 Rec. opera J. Frid. Fischeri. Lipsiae 1773. 8. III. ethop. recepit Jo. Patusa in encyclop. philol. vol. I. pag. 407. Harl.

Digitized by Google

ΣΕΥΗΡΟΥ
ΔΙΗΓΗΜΑΤΑ.

1. Διήγημα τὸ κατὰ τὸ ἴον.

Ἴον τὸ ἄνθος, ἐξ ἧς ὀνομάζεται γέγονεν· ἤρα μὲν γὰρ ὁ Ζεὺς τῆς Ἰοῦς· ἐρῶν δὲ ἐπλησίαζε· καὶ συνὼν λαθεῖν ἐπετρᾶτο τὴν Ἥραν· καὶ τὸν ἔλεγχον μεταβολὴν ἐποιεῖτο τῆς φύσεως· καὶ τὸ γεγονὸς ὑποκλέψαι δοκῶν, εἰς βοῦν μεταβάλλει τὴν ἄνθρωπον· τιμῶσα δὲ ἡ γῆ τὴν τοῦ Διὸς ἐρωμένην, ἄνθος ἀνῆκε τῇ βοῒ νέμεσθαι· καὶ γεγονὸς δι' αὐτὴν, ἐξ' αὐτῆς ὀνομάζεται. Καὶ δηλοῖ τῆς κόρης τὰς τύχας τοῖς χρώμασιν· ἐρυθραίνεται μὲν γὰρ οἷα παρθένος· πορφύρεται δὲ οἷα βοῦς· καὶ λευκαίνεται δηλοῦν τὴν ἐν ἄνθεσι τῆς κόρης μεταβολήν· ὅσα τε βλαστήματα φαίνεται, γέγονε γηγενῆ [1].

2. Τὸ κατὰ τὸν Ὑάκινθον.

Ἤνεγκεν ὁ χρόνος Ὑάκινθον· ἐν νέοις τὸ πρὶν, ἐν ἄνθεσιν ὕστερον· μειράκιον γὰρ ἦν Ἀμύκλειον πρότερον· ὥρᾳ σώματος ἐραστὴν ἐργαζόμενον τὸν Ἀπόλλωνά τε καὶ ζέφυρον· ἑκατέρου δὲ προσαγομένου τῷ νέῳ πρὸς Ἀπόλλωνα τρέπεται· καὶ χαλεπήνας ἐπὶ τούτοις ὁ ζέφυ-

1 Friart. γέγονεν ἠγενῆ.

Digitized by Google

ρος, φυλάττει τὸν νέον δισκεύοντα· καὶ ἀντιπνεύσας τῇ πνοῇ βιαιότερον, τὴν αὐτοῦ βολὴν εἰς αὐτὸν μετεστήσατο, τὸν αὐτὸν βάλλοντα δεικνὺς καὶ βαλλόμενον· γῆ δὲ ἐλθοῦσα τὸ πάθος ἀνῆκεν ὁμώνυμον· τὴν μνήμην τοῦ νέου φυλάττουσα.

3. Τὸ κατὰ Νάρκισσον.

Παραλόγου πάθους ὁ λόγος ὑπῆρξε παραλογώτερος· Νάρκισσος γὰρ ἦν ἐρῶν οἴκοθεν καὶ φθειρόμενος οἴκοθεν· ὥρᾳ μὲν γὰρ διέφερε σώματος· ὅθεν δὲ τὴν ὥραν καὶ τὸν πόνον ἐκτήσατο· καταλαμβάνει γὰρ πηγὴν ὁ πιόμενος· θεατὴς δὲ τῆς οἰκείας μορφῆς καταστὰς, ἐραστὴς ὁ αὐτὸς καὶ θεατὴς κατεφαίνετο· ἦρα δὲ, ὅθεν αὐτὸς ἐξ αὐτοῦ καταφθείρεται· ἐρώμενος· ἦν ἐραστὴν οὐ κτησάμενος· ἀλλ' ἐπὶ πηγὴν ἑαυτὸν ἐπαφεὶς, ἔστεργε μὲν τὴν σκιὰν ὡς ἐρώμενος· ἑαυτοῦ δὲ λαβόμενος, ἑαυτὸν ἐναφῆκε τοῖς ὕδασι· καὶ παραψυχὴν τοῦ πάθους ζητῶν βίου στέρησιν εὗρατο, τοσοῦτον τῆς τελευτῆς ὀνησάμενος, ὅσον εἰς τέλος μεταπεσεῖν· καὶ δηλοῖ τὴν μνήμην ὁμωνύμῳ βλαστήματι.

4. Διήγημα τὸ κατὰ τὸν Ἀρίωνα.

Ἀρίων ὁ Μηθυμναῖος[1] πρὸς κιθάρας ἠσκεῖτο τέχνην· Περιάνδρῳ δὲ τυράννῳ συνὼν, εἰς Ἰταλίαν ἀπέπλει· ὁρμώμενος δὲ ἐκ Τάραντος, νεὼς μὲν Κορινθίας ἐπέβη· παρὰ δὲ τῶν συμπλεόντων ἐπιβουλὴν ὑφιστάμενος ἀνεβάλλετό τι τῆς μουσικῆς· καὶ δελφὶν τῷ μέλει κατακηλούμενος παρασκιρτᾷ τῇ νηΐ· καὶ κατὰ τοῦ πελάγους ἐκριφθέντα τὸν Ἀρίωνα φέρων ἐπὶ τῶν ὤμων ἐξέσωσε· καὶ νῦν παρὰ τὸν Ταίναρον Ἀρίων ἕστηκεν ἐπὶ χαλκοῦ δελφῖνος σχήματος, τῆς πάλαι τύχης σώζων ὑπόμνημα.

1 Iriart. *Μεθυμν.* Vide supra p. 271.

5. Τὸ κατὰ τὸν Ἴκαρον.

Δαιδάλου γέγονεν Ἴκαρος· καὶ τὴν τέχνην τοῦ φύσαντος εἰς ἐπιθυμίαν ἔσχε παράλογον· πτερωτὸς γὰρ ἐπεθύμησεν αἴρεσθαι· καὶ προσελθὼν τῷ πατρὶ τὴν τέχνην τοῦ πτηνοῦ κέκληκε σύμμαχον· ὁ δὲ τήξας κηρὸν πτερὰ τοῖς ὤμοις προσεπέλασε· καὶ τέχνῃ πιστεύσας ὁ παῖς εἰς ὕψος αἴρεται· καὶ κατέστη μετέωρος[2]· καὶ πρὸς τὸ πέλαγος πεσὼν ἀπώλετο τὸν κηρὸν ἡλίου διατήξαντος· κἀντεῦθεν ὄνομα τῇ θαλάσσῃ γεγένηται, διόπερ Ἰκάριον προσαγορεύεται πέλαγος.

6. Τὸ κατὰ τὸν Ὦτον καὶ Ἐφιάλτην.

Ὦτος καὶ Ἐφιάλτης Ἀλωέος προῆλθον ἴσα καὶ φρονήματα καὶ μέτρον ἓν σώματος ἔχοντες· μεγέθει γὰρ διαφέροντες σώματος, βατὸν ἑαυτοῖς τὸν οὐρανὸν κατεσκεύαζον· καὶ ὄρος ἐπ' ὄρει θέντες ἀνήεσαν· χαλεπήνας δὲ ἐπὶ τούτοις ὁ Ζεὺς ἑνὶ κεραυνῷ τὴν ἐπιχείρησιν ἔπαυσε· δακρύουσα δὲ τὸ πάθος ἡ ἀδελφὴ δένδρου φύσιν ἠλλάξατο· καὶ μεταβαλοῦσα τὴν φύσιν, τὸ μέγεθος οἷα γέγονεν, ἔμεινεν· ὅθεν ἡ ποίησις οὐρανομήκη τὴν ἐλάτην προσήγαγεν. —

ΗΘΟΠΟΙΙΑΙ.

Gal. 217

1. Τίνας ἂν εἴποι λόγους Αἰσχίνης, εὑρὼν παρὰ Δημοσθένει εἰκόνα Φιλίππου.

Εὖγε τῆς δίκης, οὐκ ἐώσης διὰ παντὸς λανθάνειν τρόπον πονηρευόμενον· κηρὸς τὴν προδοσίαν, οὐ κατήγορος ἤλεγξεν. εὕρηται[1] Δημοσθένης καινότερον τιμῶν

2 Iriart. μετήωρος. 1 Gal. εὕρηται Δημ. τιμῶν. Par. εὑρέ τι Δημοσθένης καινότερον τιμῶν.

Digitized by Google

τοὺς ἐχθροὺς, οὐ μόνον φαινομένους τοῖς σώμασιν, ἀλλὰ καὶ γραφομένους ταῖς χρώμασι. μόνος ἐδόκει φιλόπολις ὁ παρ᾽ ἡμῖν εἰσαγαγὼν τὸν πολέμιον, μόνος ὠνομάζετο μισοφίλιππος, ὁ σύναικον ἑαυτῷ ποιησάμενος Φίλιππον· ὦ προδοσίας ὑπερβολῆς, κηρῷ θεραπεύει τὸν ἔρωτα, καὶ θεώμενος χαίρει τὸν οὐ φαινόμενον· προσφθέγγεται τὸν οὐκ εἰδότα πυνθάνεσθαι, θεραπεύειν ἐθέλει καὶ οὐκ αἰσθανόμενον Φίλιππον· προσκυνεῖ τὸν ἐχθρὸν ἐν μόνῃ σκιᾷ σχηματιζόμενος τὴν ἀλήθειαν· τί οὖν ἄρα συμφωνεῖ τούτῳ τῇ διανοίᾳ τὰ ῥήματα; πολλοῦ γε καὶ δεῖ. ὁπότε ἦν ἐκκλησίας καιρὸς, Δημοσθένης ἐν μέσῳ πολέμιον καὶ[2] ἅπασι θεοῖς ἐχθρὸν ὀνομάζων τὸν Φίλιππον, ἅπαντας μᾶλλον ἐχθροὺς ὑπειληφὼς διὰ τὸν[3] Φίλιππον, εὐπρεπεῖ λοιδορήματι γνώμης ὑποκλέπτων τὰ πονηρεύματα, καὶ βεβιασμένῃ γλώττῃ κατηγορῶν, ἐνίοτε δὲ προσκυνῶν καὶ τὸ εἴδωλον, ἔγραψεν οἰκαδε Φίλιππον. καὶ προδοσίας Αἰσχίνης ἐκρίνετο, καὶ Δημοσθένης[4] ἐθαυμάζετο.

218 2. *Τίνας ἂν εἴποι*[1] *λόγους Αἰσχίνης ἐν τῇ φυγῇ Δημοσθένους διδόντος αὐτῷ ἐφόδιον*[2].

Μετὰ πάθος[3] *Δημόσθενες ἐλεεῖν οἶδας τοὺς δυστυχήσοντας· μετὰ πάθος σπένδῃ πρὸς τὸν πολέμιον, οἰκτείρῃ φυγὴν ἧς γέγονας αἴτιος· κατὰ φίλον πράττεις ὁ τὰ δυσμενῶν ἐνδειξάμενος. τί μὴ ταῦτα παρὰ τὸ δι-*

---

2 *καὶ* inserit Jac. Leopardus. 3 Par. *τὸν* om. 4 Gal. et Par. *Φίλιππος*. Leopard. *Δημοσθένης*.

1 Par. *εἴπῃ*. 2 Plutarch. in vita Demosthenis priori ait fuisse *τάλαντον ἀργυρίου*. Gal. 3 Hanc ethopoeiam Allatius edidit nomine Theodori Cynopolitae, et est titulus paullo aliter conceptus. Gal. *τίνας ἂν εἴποι λ. Ἀ. ἡνίκα φεύγοντα καταλαβὼν Δημοσθένης καὶ φιλοφρονησάμενος παρεγγύα φέρειν τὸ συμβεβηκὸς γενναίως.*

Digitized by Google

καστήριον ἔπραττες, ἔνθα περί τε τοῦ βίου ψῆφος καὶ πατρίδος ἐφέρετο; τί μὴ κατὰ βραχὺ τῆς κατηγορίας τὴν συντονίαν ἐχαύνωσας; ἀλλ᾽ οὐδ᾽ ὅσον τῆς ποικιλίας ἀφῆκας τὸν λόγον, μᾶλλον δὲ οὐδ᾽ εἰς ἅπαξ λέγων παρέτρεχες, ἀλλ᾽ αὔξων τὸ δεινὸν, καὶ[4] ἐπολυπλασίαζες τῇ πυκνότητι, καινοῖς ἐπάγων νεώτερα, καὶ τὸ πάλαι ῥηθὲν τῷ κατασκευάζειν πολλάκις ἀνανεούμενος. τί μοι δῶρον προτείνεις ὀλίγον, ὅλης τῆς πατρίδος ἐξωθησάμενος; τίνα ξένια δίδως, ξένον καταστήσας τῶν οἰκαδε; δακρύεις ἀρτίως ὁ μὴ συγχωρῶν ἐλεεῖσθαι τὰ δάκρυα· παῖδας οἰκτείρεις οὓς ἀπωθήσω τοῦ βήματος· ἐλεεῖς διωκόμενον, ὃν οὐκ ἀφῆκας πολιτευόμενον. ἀλλ᾽ ὡς ἔοικε νῦν[5] δοκεῖς ἡμέτερος, ἡνίκα θαῤῥεῖς[6], ὡς κἂν ὁπωσοῦν συμπράξῃς, ἔτι σώζειν οὐκ ἔνεστι. τί οὖν τηνάλλως[7] ὀδύρομαι, τῆς συμφορᾶς ἐμαυτῷ γενόμενος αἴτιος, κινήσας ἐχθρὸν, ὃς καὶ θαυμαζόμενος, ὡς εἰπεῖν, αἰτιᾶται τὸν ἐπαινέσαντα;

3. *Ποίους ἂν λόγους εἶπεν Ἡρακλῆς, τοῦ Περικλυμένου μεταβαλόντος παρὰ τὴν μάχην, καὶ τὴν οἰκείαν ἀρνουμένου μορφήν.* 221

Ἥττημένη τοῖς πρώην ἡ τύχη, καθ᾽ ἕνα τῶν ἀγώνων προσφέρουσα, νῦν τι καινότερον ἐτεχνάσατο καθ᾽ ἡμῶν, εἰς ἕνα πάντας συναγαγοῦσα κινδύνους, καὶ τούτους ἀφανῶς ἐπιφέρουσα. δέδωκεν ἡμῖν ἀνταγωνιστὴν Περικλύμενον, οὐκ εἰδότα μένειν ὅπερ γεγένηται· τεθέαμαι πρότερον ἄνθρωπον, καὶ πρὶν εἰπεῖν ἀγωνίζεσθαι, τὴν φύσιν μετέβαλε, καὶ μεταβεβλημένος μένειν πάλιν ὁ αὐτὸς οὐκ ἀνέχεται. νῦν μὲν γὰρ, ὥσπερ ἐκ μηχανῆς τινος, ἀναφαίνεται λέων, εἶτα δείκνυται πάρδαλις, καὶ μετ᾽ ὀλίγον φυτόν· καὶ πᾶσαν ἁπλῶς σχηματίζεται φύσιν, ἑτέραν ἐφ᾽ ἑτέρας εὐκόλως ὑποκρινόμενος· θαυμα-

4 Par. καὶ om. 5 Par. συνδοκεῖς. 6 Gal. θαῤῥῇς. Par. θαῤῥεῖς. 7 Par. τηνάλως.

Digitized by Google

τοποιὸς δὲ οὗτός ἐστιν ὁ πολέμιος· μεῖνον ὅπερ γεγένησαι, καὶ οὐ μένεις ἔτι μεταβαλόμενος· μεταθεῖναι γὰρ τὸν βίον, οὐ τὴν θέειν παρασκευάσομεν. νῦν δὲ παντοδαπῆς φύσεως εὐπορῶν, ἀπορεῖν πρὸς τὸν ἀγῶνα παρέχεις ἡμῖν· εἷς ὢν καὶ πρὸς πολλὰ διαιρούμενος, καὶ μὴ φαινόμενος ὃ μετείληχας, συγχεῖς μετὰ τῶν ὀφθαλμῶν τὴν πρὸς τὸν ἀγῶνα παράταξιν, μεταβαλεῖν γὰρ καὶ τὴν μάχην ἀνάγκη πρὸς τὸ φαινόμενον· ἀριθμεῖν ὡς εἰκὸς τὰς μεταβολὰς, οὐκ ἀγωνίζεσθαι δέον· οὐ ταῦτα παρὰ τοὺς πρώην ὑπῆρχεν ἀγῶνας. ἆθλοί μοι πρῶτοι γεγένηνται δράκοντες, καὶ τούτους ἀνεῖλον ἔτι μειράκιον γεγονώς· ἐγκατασκήψαντα περὶ τὴν Ἑλλάδα διέφθειρα λεόντα, καὶ οἷς εἶλον ὁπλίζομαι· ὕδρα μετ' ἐκεῖνον διέφθαρται, πλουτοῦσα ταῖς κεφαλαῖς, καὶ ταῦτα [1] μετροῦσα τῷ φόνῳ. συνήφθην εἰς μάχην τοῖς κάτω θεοῖς· καὶ νῦν μὲν τοὺς τεθνηκότας ἀναβιοῦν παρεσκεύαζον· νῦν δὲ τοῦ φυλάττοντος ἀπεστέρησα, συλήσας τὸν Κέρβερον. ὄρνεις ἀνεῖλον φαρέτρας βελῶν κεκτημένας τὰς πτέρυγας. Ἥραν ἐναντιουμένην εἶχον σὺν Εὐρυσθεῖ, καὶ πρὸς ἄθλους, μᾶλλον δὲ πρὸς θάνατον, κατά γε ἐκείνους, ἀποστελλόμενος, ἐπανήειν σύμβολον νίκης ἔχων, οὐ τελευτῆς· ἠλευθέρωται δι' ἡμῶν τῶν λυμαινομένων ἡ γῆ· καὶ τόπος οὐδεὶς τῶν ἐμῶν ἀμάρτυρος πόνων καθέστηκε· νῦν δέ μοι τὰ τῆς ἀγωνίας γέγονεν ἄπορα, μήτε λήγειν τῆς μάχης, μήτε μάχεθαι παρεχομένης τῆς τύχης. ἀπιστεῖ τοῖς ὀφθαλμοῖς ἡ διάνοια, καὶ μόλις ἐξαρκέσω θεώμενος, ἅπερ ὁρᾷν δίδωσιν οὗτος τρεπόμενος· καὶ μόνον ἐκπληττόμενος, οὐ μαχόμενος ἕστηκα, πρὸς ὅ τι μεταβληθήσεται λογιζόμενος· ἀλλὰ τί ταῦτα; πρὸς συμμαχίαν καλέσω τὴν Ἀθηνᾶν. δείξει γὰρ ἡμῖν τὸν πολέμιον· καὶ μάχης οὐ δεήσει πρὸς τὴν ἀναίρεσιν.

---

1 Leopard. ταύτας.

Digitized by Google

4. Τίνας ἂν εἶπε λόγους Μενέλαος, τοῦ [1] Ἀλεξάνδρου τὴν Ἑλένην ἁρπάσαντος.

Οἴμοι τῶν συμφορῶν. ἠτυχήσαμεν εὐσεβήσαντες, καὶ ξένον ἀποδεξάμενοι [2] ξένοι τῶν οἰκείων γεγόναμεν. βαρβαρικὸν μετὰ πάθος τρόπον μεμάθηκα, ὡς [3] εὖ πάσχοντες τοὺς εὖ ποιοῦντας ἀμύνονται, συμφορὰς μᾶλλον αὐτοῖς ἀποδιδόντες, ἢ [4] χάριτας. Ἀλέξανδρος ἦκε πεπλανημένος· ἠλέουν τοῦτον [5] ὡς ξένον, τὸ πόρρω τῆς πατρίδος εἶναί [6] τινα μεγίστην συμφορὰν λογιζόμενος, ἔνδον ἐν τοῖς οἴκοις ἐλάμβανον, ἐπικουρίζειν ἐθέλων [7] τοῦ δυστυχήματος. ὁ δὲ, ὥσπερ τοὐναντίον παρ' ἡμῶν ἀδικούμενος, μισθὸν τῆς φιλοξενίας ἀποδέδωκε [8] δάκρυα. κενὰ μὲν [9] γὰρ χρημάτων τὰ οἴκαδε· χηρεύειν

1 Par. ἁρπαγείσης Ἑλένης ὑπὸ Ἀλεξάνδρου. 2 Par. ὑποδεξάμενοι. 3 Gal. ὧν. Par. ὡς. 4 οὐ χάριτας. Sic Allatianus codex, sed nostri scriptura melior est. Gal. Etiam Par. οὐ. 5 Par. αὐτόν. 6 Par. ὑπάρχειν. sine τινά. 7 Par. θέλων. 8 Par. ἀπέδωκε, saepe permutantur hae formae. Vita Josephi c. 64. τὸ ἐπιγνωσθὲν ἀποδέδωκα. Par. 1423. ἀπέδωκα. Bell. Jud. II. 21. 10. συναγαγὼν μέντοι πάντα τοῖς δημόταις δέδωκε, Par. 1425. ἔδωκεν. Sopat. ζητήμ. p. 426. Ald. et Vind. νόμος ἔδωκε μονομαχεῖν, ἂν βούλωνται. Med. Par. δέδωκε. Dem. Leptin. p. 467. ὥστε προσκατασκευάσας ἐμπόριον Θευδοσίαν — κἀνταῦθ' ἔδωκε τὴν ἀτέλειαν ἡμῖν. Vulg. δέδωκε. p. 486. ἀλλ' ἃ τ' ἐδώκατε, κύρια· Vulg. δεδώκατε. Plat. Protag. p. 320. A. ἀπέδωκε τούτῳ, οὐκ ἔχων ὅ τι χρήσαιτο αὐτῷ. Codd. 6. ἀποδέδωκε. 9 μὲν Par. om. Saepe excidit; restitui apud Sopatr. ζητήμ. p. 391. διὰ τοῦτο οὐχ ὑπηκούσαμεν, τῶν μὲν [Ald. et Codd. μὲν om.] ἀναιρουμένων, τῶν δὲ δουλευόντων, τῶν δὲ μεθισταμένων. Joseph. bell. Jud. VII. 8. 1. ἦν γὰρ ἐκείνοις μὲν ἐπιθυμία τοῦ τυραννεῖν, τοῖς δὲ τοῦ βιάζεσθαι, Par. 1427. ἐκείνοις γὰρ ἦν ἐπιθ. VII. 8. 5. κατασκευὴ παραπλησία τοῖς

Digitized by Google

τῆς συνοίκου τὸν εὐεργετήσοντα παρεσκεύασε· καὶ ὡς ἔοικεν μνηστὴρ ὑπῆρχεν ὁ ξένος[10] ὁ βάρβαρος, κἀγὼ τῇ συνοίκῳ μοιχὸν ἔτρεφον ἀγνοούμενον. οὐχ ἡμᾶς μόνον ἠδίκησας, ἄνθρωπε, πάντας δὲ μᾶλλον, ὅσοι τῆς αὐτῆς πατρίδος στερήσονται· τίς γὰρ μεθ' ἡμᾶς ὑποδέξεται ξένον,[11] τίς ἐλεεῖν δυστυχοῦντας ἀνέξεται, πρόδηλον ἔχων ἐκ τῆς εὐσεβείας τὸν κίνδυνον; τίς οἰκτείρειν ἐθελήσει πενόμενον, ἵνα πένης αὐτὸς παρ' ἐκείνου γενήσεται; τί οὖν; στρατεύειν κατ' ἐκείνου καιρὸς, καὶ ἢ τοῖς ἐμοῖς συναπόλλυσθαι, ἢ τιμωρεῖσθαι τὸν ἀδικήσοντα.

5. *Τίνας ἂν εἴποι λόγους Βρισηὶς ἀπαγομένη ὑπὸ τῶν κηρύκων.*

Μετὰ πατρίδος ἀπάλειαν, μετὰ βασιλέως[12] ἀναίρεσιν, μετὰ τοσοῦτον δυστυχημάτων κατάλογον, ἐκ δευτέρου πάλιν αἰχμάλωτος γίνομαι. Ἕλληνες καθ' ἡμῶν ἐστρατεύοντο,[13] καὶ γέγονα δορυάλωτος, Ἕλληνες καθ' Ἑλλήνων γεγόνασι, καὶ πρὸς δουλείαν ἀπάγομαι· καὶ εἰ μὴ μόνος, ὡς ἔοικεν, ἐλευθερώσει με θάνατος, βίος δουλεύων οὐ παύσεται.

6. *Τίνας ἂν εἴποι λόγους Ἕκτωρ ἐν Ἅιδου ἀκούσας τὸν Πρίαμον συγγεύσασθαι Ἀχιλλεῖ.*

Μόνον[14] παίδων παρόντων πατὴρ ὑπῆρχεν ὁ Πρία-
226 μος, μόνον τοὺς παῖδας ἀληθῶς ὁρωμένους ἠσπάζετο·

ἐν

ὑπὸ μὲν Οὐεσπασιανοῦ πρότερον, μετὰ ταῦτα δὲ ὑπὸ Τίτου πρὸς τὰς πολιορκίας ἐπινοηθεῖσι. Par. 1427. μὲν om. Vit. Josephi c. 58. ὅτι δὲ τυραννεῖν μὲν ἐπεθύμησε. Par. 1423. μὲν om. 10 Gal. οὐ. Par. ὁ. 11 ξένον Par. om. 12 Intelligit Mynetem, patrem suum, Lyrnessi regem. Homerum in Catalogo vide, versu 199. Gal. 13 Par. ἐστρατεύσαντο. 14 Allatius inepte edidit μόνος. Gal. cfr. ad Hermog. Progymn. c. III.

Digitized by Google

ἐν βίῳ πατὴρ, καὶ μετὰ βίον ἐστὶ πολέμιος. φονεὺς ἡμέτερος ὁ πατὴρ μᾶλλόν ἐστι τοῦ τῆς Θέτιδος· ἐχθρὸς ὁ τεκὼν ὑπὲρ τὸν ἀνελόντα γεγένηται· τῷ μὲν γὰρ τὸ ἀντίπαλόν ἐστιν εὐαπολόγητον, ὁ δὲ προαγαγὼν πρὸς τὸν ἀντίπαλον σπένδεται. καὶ οὔπω τοῦτο δεινὸν, καίπερ ὑπάρχον δεινόν. ἀλλ' ἤδη καὶ γέγονεν ὁμοτράπεζος, συνευωχεῖται πανηγυρίζοντι, καὶ κατὰ τοῦ παιδὸς ἄγοντι νικητήρια, οὗ τί ἂν γένοιτο μιαρώτερον, ἢ μᾶλλον εἰπεῖν ἀγριώτερον; οὐδὲ Πηλεὺς ὡς εἰπεῖν εὐθὺς μιαιφονοῦντι τῷ παιδὶ συνήσθιε· Πρίαμε οὐκ οἶσθα πατὴρ γενόμενος· ἢ μέχρι τοῦ τεκεῖν ὑπάρχειν ἐνόμιζες· κρεῖττον ἦν περιόντος περιορᾶν, ἢ πεπτωκότος ἐπιλανθάνεσθαι. ἅπτῃ χειρὸς συνεσθίων, ᾧ Πρίαμε, δι' ἧς ἀπώλετό σοι τὰ τιμιώτατα. οὐχ ὁρᾷς φόνῳ τοῦ σοῦ παιδὸς ἡματωμένην τούτου τὴν δεξιὰν, καὶ ὡς εἰπεῖν ἔτι κατὰ τῆς τραπέζης ἀποστάζουσαν; [15] ἀλλ' ὡς ἔοικε νόμον ἀγαπᾷς, οὐκ ἀνθρώπινον, λήθῃ παραδιδοὺς μετὰ θάνατον τὰ ποθούμενα.

7. *Τίνας ἂν εἶπε λόγους ἀκούσας* [16] *ἐν Ἅιδου ὁ Ἀχιλλεὺς τὸν Πύῤῥον πορθήσαντα τὴν Τροίαν.*

Εὖ γε τῆς φύσεως, οὐ γὰρ ἤμβλυνε Πύῤῥος τοῦ τεκόντος τὴν εὔκλειαν, μᾶλλον δὲ [17] καὶ ταύτην παρέδραμε, καὶ [18] τὴν ἐμὴν γονὴν διὰ τῶν πράξεων ἐπεσφράγισεν. ἠρνήσατο δὲ [19] τάχα, παῖδα τοῖς ἔργοις ἀποδείξας τὸν φύσαντα. ἐμαχόμην καλῶς, καὶ βαρβάρων πλῆθος ἀπώλεσα, μετέβαλλον [20] Ξάνθου τὰ ῥεύματα, καὶ διὰ τῶν φόνων [21] ἐρυθρὸν παρεσκεύαζον. [22] δραπέτας τους 229

15 Par. ἀποσταζούσης. 16 Par. Ἀχιλλεὺς ἀκούσας ἐν Ἅιδου. 17 δὲ καὶ Par. om. 18 καὶ Gal. om. recepi ex Par. 19 Par. καί. 20 Par. μετέβαλον. 21 Par. τὸν φόνον. i. e. cruorem, Aeschyl. Theb. 44. καὶ θιγγάνοντες χερσὶ ταυρίου φόνου. Plut. Pyrrh. c. 31. τάς τε γλώσσας ὤφθησαν προβάλλουσαι. *Rhetor.* I. 1.

Digitized by Google

ἐχθροὺς ἐποίουν ἑκάστοτε, καὶ τοῖς τείχεσιν ἐναπέκλειον·[23] ἀλλ' ἕως τούτων ὑπῆρχεν ἡ δύναμις, μετὰ γὰρ τὸ τεῖχος ἡσύχαζον, καὶ περαιτέρω τι πράττειν οὐκ ἴσχυον. ὁ δέ γε παῖς ὁ ἐμὸς καὶ τειχῶν κατεφρόνησε, καὶ τὴν πόλιν ἔχειν εἰς τρόπαιον. ἀνῃρέθην[24] μὲν ὑπ' ἐχθρῶν, καὶ πάλιν τοὺς ἐχθροὺς διὰ τοῦ παιδὸς ἀνῃρήκαμεν. οὐκ ἔτι, Πύῤῥε, δακρύω τὸν θάνατον, ἔκδικόν σε, τὸν αὐτὸν καὶ παῖδα κτησάμενος. εἰ γὰρ καὶ παρὰ τὸν Ἅιδην ἐγεγόνειν[25] ἐγὼ, ἀλλὰ καὶ παρά σοι μετὰ τῶν βαρβάρων τὸ Ἴλιον.

8. *Τίνας ἂν εἶπε λόγους ζωγράφος γράψας κόρην, καὶ ἐρασθεὶς αὐτῆς.*[1]

Οὐδὲν ἄρα κάλλους ἐστὶ δυνατώτερον, εἴγε καὶ διὰ χρωμάτων θηρᾶν ἐπίσταται, καὶ τοῖς ἀψύχοις ἁλίσκεσθαι παρασκευάζει τὰ ἔμψυχα. συνῆλθε πεποικιλμένῳ κηρῷ καὶ τὸν εἰργασμένον ἐρᾶν κατηνάγκασεν· ὦ τέχνης προελθούσης κατὰ τοῦ κτησαμένου. ὦ δεξιᾶς ἀδικούσης μετὰ τῶν ὀφθαλμῶν τὴν διάνοιαν. τεχνίτης καλεῖσθαι βουλόμενος ἀγαθὸς, ἐραστὴς νῦν ἀτυχὴς ὀνομάζομαι.

σαι καὶ περιλιχνώμεναι τὸν ἑαυτῶν φόνον. cfr. Blomf. ad Prom. 363. Dorvill. ad Char. p. 427. 22 Par. *παρεσκεύασα.* Frequentissima permutatio, de qua annotarunt quaedam Boisson. ad Philostr. p. 530. ad Marin. p. 85. ad Eunap. p. 431. Jacobs ad Achill. Tat. p. 543. 552. 562. 571. 612. 617. 619. 620. 837. ita noster cap. V. *Ἕλληνες καθ' ἡμῶν ἐστρατεύοντο.* Par. *ἐστρατεύσαντο.* Hermog. Progymn. I. *καὶ δή τις παρελθὼν ἐδημηγόρησεν.* Par. B. C. D. *ἐδημηγόρει.* Plut. Thes. c. VI. *ἔπεισε τὸν Θησέα κομίζεσθαι διὰ θαλάττης.* Cod. Cardin. Rodulfi *ἔπειθε.* 23 Gal. *εἰσαπέκλειον.* Par. *ἐναπέκλειον.* 24 *ἀνῃρέθημεν ὑπ' ἐχθρῶν*, cecidimus ab hostibus, ut vertit Allatius; sed eum fugit ratio. Gal. 25 Par. *ἐγενόμην.* 26 Ethopoeia haec exstat apud Liban. T. IV. p. 1097. Reisk.

Digitized by Google

ἐγραψα πολλάκις ἐρώντων ὑπόθεσιν, καὶ διετύπουν χρώμασι τὰ τούτων μυστήρια. ἐποίουν ἔρωτος τινὰ τετρωμένον τῷ βέλει, μὴ παρούσης πληγῆς· ἐξήπτετο πάλιν ἐκ λαμπάδος, μὴ φαινομένου πυρός. φωνὴν παρεῖχον διὰ τῆς τέχνης, ὡς εἰπεῖν τῷ κηρῷ, καὶ σκιὰν δοκεῖν διαλέγεσθαι παρεσκεύαζον. ἔγραφον ἄρτι μὲν τὸν ἐρῶντα δυσφοροῦντα πολὺ, μετ' ὀλίγον δὲ πρὸς τὴν ἐρωμένην δηλοῦντα σχήμασι τὴν προαίρεσιν· ἄλλο τε δὲ δῶρον ἐκπέμποντα, καὶ πολλάκις ψυχαγωγούμενον, οἷα δὴ πεπεικότα,[27] πολλάκις δὲ καὶ ἀποτυγχάνοντα, καὶ πάλιν δακρύοντα. καὶ οὐ μόνον τὰ παρ' ἀνθρώποις ἐμιμούμην εἰκόνι, ἀλλὰ καὶ θεοὺς παρεχόμην δουλεύοντας Ἔρωτι, καὶ τὴν ἐκείνων φύσιν μετέπλαττον, πρὸς ὃ μὴ πάσχειν πεφύκασιν. οἷον τὸν Διὰ βοῦν[28] ἐποίουν δι' ἔρωτα, καὶ τὴν Εὐρώπην ἐπὶ τῶν νώτων φέρειν ἠνάγκαζον, καὶ περαιοῦσθαι διὰ τῶν χρωμάτων τὴν θάλατταν. Κύκνος ἦν δι' ἐμὲ, καὶ ὅτε τούτῳ χαρίζεσθαι προῃρούμην, χρυσος. ἔγραφον πάλιν αὐτὸν μετὰ τοῦ κεραυνοῦ, καὶ σώζων τὸ φοβερὸν, ἀπεστρεφόμην τὸ δεδιός. τί δέ; Ἀπόλλων βραδύτερος κόρης διὰ τῆς ἐμῆς ἐγένετο δεξιᾶς, καὶ δρόμον ἀπέραντον ἐνετίθουν τοῖς χρώμασιν ἐν οὐ κινουμένοις ποσίν. οἶδα κηρῷ δήσας τὸν Ἄρεα, καὶ πᾶν μοι ἁπλῶς ἐγίνετο[29] ὑπόθεσις· ἐγὼ δὲ καὶ νῦν ἑτέροις γεγέ-

---

27 Allat. Gal. πεποιηκότα. Reisk. πεπεικότα. quod probat Bast. in additam. ad epist. crit. p. XXXI. ed. Lips. Pluti Hemsterh.

28 cfr. Anthol. Gr. T. III. p. 161.

Ζεὺς κύκνος, ταῦρος, σάτυρος, χρυσὸς δι' ἔρωτα
Λήδης, Εὐρώπης, Ἀντιόπης, Δανάης.

Niceph. Progymn. p. 477. ὦ Ζεῦ, ὕπατε θεῶν καὶ παίγνιον ἔρωτος., — — πάλαι σε ὡς ὄρνιν ἔρως ἐπτέρωσε, καὶ ὡς κύκνον ᾄδειν ἔπεισε, πάλαι ὡς βοῦν ὁπλαῖς τοὺς πόδας ὤπλισε κ. τ. λ. Alios locos similes vide ad Arsen. Viol. p. 261. 29 Edd. πᾶσιν ἁπλῶς ἐγινόμην ὑπόθεσις. recepi Wernsdorfii emendationem proposi-

ψημαι· γράφετε ὦ τεχνῖται καινόν τι τὸν ἐμὸν ἔρωτα ἐκδιηγούμενοι· οἷς ἔπλασα, τούτοις ἑάλωκα, κόρης ἐρῶ, καὶ τυχεῖν μὲν ταύτης γέγονεν εὔπορον, οὔτε γὰρ βαδίζειν, οὔτε παραιτεῖσθαι τὴν πρᾶξιν ἐπίσταται. μίγνυσθαι δὲ ταύτῃ καὶ τὴν ἐπιθυμίαν ἄγειν εἰς πέρας ἐστὶν ἀδύνατον· πείθω τὴν οὐ πεφυκυῖαν πυνθάνεσθαι, ἀσπάζομαι φύσιν ἀναίσθητον, ἀλλ᾽ ὦ χρώματα τῆς τοιαύτης παύεσθε χάριτος, καὶ μὴ πάθος ἐγείρετε, μὴ παρεχόμενον μετὰ ταῦτα τὴν ἴασιν.

---

tam in notis ad Himerii Ecl. V. 20. „omnia mihi praebebant picturae materiam: nunc vero eam ipse praebeo aliis.“ Lucian. de domo c. 21. τὰς γραφὰς ἐξετάζετε, πρὸς ἑκάστην ἀποστρεφόμενοι· καὶ μηδὲν αἰσχυνθῆτε· συγγνώμη γὰρ, εἴ τι ἀνθρώπινον πεπόνθατε, ἄλλως τε καὶ πρὸς οὕτω καλὰς καὶ ποικίλας τὰς ὑποθέσεις. Demosth. Encom. c. 11. τὴν ὀρφανίαν οὐ συμφορὰν ὑπολῃπτέον, ἀλλὰ δόξης ὑπόθεσιν. 30 In epist. crit. p. 45. legendum censui πείθεσθαι, quam conjecturam quo minus reciperem, deterruit locus similis in ethop. 1. προσφθέγγεται τὸν οὐκ εἰδότα πυνθάνεσθαι, θεραπεύειν ἐθέλει καὶ οὐκ αἰσθανόμενον Φίλιππον.

Digitized by Google

VIII.

ΓΕΩΡΓΙΟΥ
ΤΟΥ ΠΑΧΥΜΕΡΟΥΣ
ΠΡΟΓΥΜΝΑΣΜΑΤΑ.

Fabricius et Harlesius

in biblioth. graec. lib. V. c. 1. Tom. VII. p. 775.

Georgius Pachymeres, Constantinopolitano patre exsule Nicaeae circa a. C. 1242. natus ibique educatus, et postea undeviginti annorum juvenis Constantinopoli a Mich. Comneno Palaeologo a. 1261. recuperatam, delatus, animum omni genere doctrinae inbuit, muneribusque insignibus in ecclesia et aula CPolitana functus, diaconum, patriarchae ἱερομνήμονα et πρωτέκδικον et imperatoris δικαιοφύλακα gessit. Manuelis Phile praeceptor fuit, qui funus ejus carmine graeco jambico deploravit, quod exhibet Allatius diatriba de Georgiis p. 373. A Petro Halloisio vero catholici elogio mactatur qu. 2. de scriptis Dionysii, Areopagitae: quod Allatius ipsi invidens, non potuit, inquit, esse catholicus, qui schisma (graecae puta ecclesiae) propugnavit, et contra romanam ec-

Digitized by Google

clesiam scripto etiam defendit. Certe *Λατινόφρων* non fuit, et patriarchis, latinae fautoribus ecclesiae, Josepho, Joanni Vecco et Gregorio Cyprio, strenue sese opposuit. Vitam non diu videtur produxisse ultra a. C. 1310. (quamquam Lambecius tom. III. p. 237. et tom. VII. p. 71. eumque secutus Nesselius ait, eum anno 1340. obiisse.) Neque enim post illud temporis in historia CPol. memoratur, et historiam suam continuasset saltim ad finem imperii Andronici, a. 1332. denati, neque in anno ejus XXVI. a. 1308. substitisset, si tam diu ultra ejus non modo aetatem, sed junioris quoque Andronici annum undecimum imperii annos suos proximus centenario produxisset. Fabr.

Descripsi haec progymnasmata ex cod. Par. 2982. chart. 4. sec. 15. lectu difficillimo, de quo Fabr. l. l. p. 786. „Servantur in bibl. regis Galliae cod. MMMCXIX. Pachymeris *μελέται εἰς τὰ προγυμνάσματα καὶ εἰς τὰς στάσεις*. Exercitamenta rhetorica in Progymnasmata et status. Singulorum titulos et initia exhibet Allatius de Georgiis p. 369. 370. 371. in quibus est etiam *ἔκφρασις τοῦ Λύγουστεῶνος*, quam Boivini [1] beneficio habere nos jam monui.“ *Μελέται εἰς στάσεις* incipiunt: *Στοχασμός. Σκηπτοῦ κατενεχθέντος εὕρηνται χίλιαι πανοπλίαι ἐν τῇ τοῦ Περικλέους οἰκίᾳ καὶ κρίνεται τυραννίδος ἐπιθέσεως*. Init. *Μελετῶμεν τὸν φεύγοντα, ὃς καὶ ὡς στρατηγὸς λέγει καὶ ὡς ῥήτωρ διϊσχυρίζεται*. Ejusdem libellum *de probatione capitum* edidit Leo Allatius a. 1643. in libro, qui singulari casu a nemine adhucdum visus est.

1 Ad Gregoram p. 764. tom. II. De Augusteone Codinus Origg. CPol. n. 52. Goarus ad Codinum p. 130. Fabr. p. 782.

Digitized by Google

ΓΕΩΡΓΙΟΥ,

ΔΙΚΑΙΟΦΥΛΑΚΟΣ ΚΑΙ ΠΡΩΤΕΚΔΙΚΟΥ ΤΟΥ ΠΑΧΥΜΕΡΟΥΣ

ΜΕΛΕΤΑΙ ΕΙΣ ΤΑ

ΠΡΟΓΥΜΝΑΣΜΑΤΑ.

Cap. I.

Μῦθος.

Ἀρότρου καιρὸς ἦν, καὶ γεωργοὶ μὲν τὰ σπέρματα γῇ κατεβάλλοντο· γέρανοι δὲ ἐκεῖσέ που καθιπτάμεναι, τὰ καταβαλλόμενα κατεβίβρωσκον· συνῆν ταύταις καὶ πελαργὸς, ὃν καὶ πάγας στήσας ὁ γηπόνος τοῖς λυμεῶσι, μόνον τῶν ἄλλων αἱρεῖ· καὶ πολλὰ μὲν ἐκεῖνος προὔτεινεν εἰς παραίτησιν, τά τε ἄλλα, καὶ ὅτι οὐ σπέρμασι τοῖς ἐκ γῆς, ἀλλὰ τοῖς ἐκ θαλάσσης σιτίζοιτο, ἀλλ' ἀπαραίτητον κολαστὴν εὑρίσκει τὸν ἄνθρωπον. Οὕτω δὴ καὶ πολλοὶ τῆς τῶν κακῶν συχνουσίας, μηδὲν ἁμαρτάνοντες ἐκεῖνοι, κακὸν ἀδόκητον προσαπήλαυσαν.

Ὅτι πολλάκις καὶ σύνεσις ἄνανδρος ἰσχύος ἀσυνέτου κατακαυχᾶται, δείκνυσι καὶ ὁ μυθευόμενος γέρων. Οὗτος ὡραίαν γάμου κόρην ἐκέκτητο, ἣν καὶ λέων ἤτει πρὸς γάμον, ἐπιδεικνύμενος τὰ τῆς φύσεως, ὡς μέγας, ὡς εὐσθενὴς, ὡς τὸ βασιλικὸν ἔχων κατὰ τῶν ἄλλων, καὶ ἐλεύθερον. ἀλλ' ὁ γέρων οὐκ ἔχων, πῶς ἀποδράσει

Digitized by Google

τὸν θῆρα, ἐπὶ τὸν δόλον χωρεῖ καὶ τὴν σύνεσιν. καὶ ἄθλον προτείνει δῆθεν αὐτῷ εἰς τὴν τῆς ἰσχύος ἐπίδειξιν, καὶ, ἄγε, λέγει, τοῦτο τὸ ξύλον, οὗ τὴν ἐπ᾽ ὀλίγον σχισμὴν σφησί τισιν ἐναπείληφα, ἐμβαλὼν τοὺς ὄνυχας σχίσον διηνεκῶς, καὶ γνωριῶ σου τὴν δύναμιν καὶ γαμβρὸς ἔσῃ γέροντος ἀσθενοῦς· πείθεται ὁ λέων αὐτίκα, καὶ τοὺς σφῆνας ὁ γέρων παρακρουσάμενος, ἐναπειλημμένον τοὺς ἐμπροσθίους, ῥοπάλοις κτείνει τὸν ἐλιτήριον.

Cap. II.

Διήγημα τὸ κατὰ τὸν Ὀδυσσέα.

Συνέβη ποτὲ καὶ ἡ ἐπὶ τὴν Ἴλιον στρατεία τοῖς Ἕλλησι, καὶ οἱ μὲν ἄλλοι ἀσμένως τὸ κήρυγμα δέχονται, Ὀδυσσεὺς δὲ μόνος τὴν ὁδὸν δυσχεραίνει, καὶ γυναικὸς καὶ τέκνου καὶ οἰκουρίας πάντα τίθησιν ὕστερα. Ἐφίστανται οἱ καλοῦντες, καὶ Παλαμήδης ἦν σὺν αὐτοῖς· ὁ δ᾽ Ἰθακήσιος τὸν ἐπίληπτον ὑποκρίνεται, καὶ συζεύξας ὄνον βοΐ, τέμνων ὥρᾶτο παραφόρως τὴν αὖλακα. Σοφὸς δὲ ἄρα σοφῷ προσκρούει, ὁ Παλαμήδης τῷ Ὀδυσσεῖ, καὶ σοφωτέρᾳ δοκιμασίᾳ σοφοῦ φωράται ἐπίνοια· ἄγει γὰρ ἐκεῖσε Παλαμήδης Τηλέμαχον, καὶ τίθησι παρ᾽ αὐτὴν τῆς αὔλακος τὴν ἰθύν, ὅπου ὁ ξένος ἐκεῖνος ἀρότης ἔμελλεν ἰθύνειν τὸ ἄροτρον· ἀλλ᾽ ἡ φύσις μεταξὺ δικάζει ἀνάγκης καὶ προαιρέσεως· καὶ παραυτίκα τὴν τῆς ἀνάγκης σκηνὴν ἐκκαλύπτει, τὴν πλᾶσιν αὐθαίρετον ἀναδείξασα, καὶ ὁ Ὀδυσσεὺς παρεκκλίνων ἐκ τοῦ βρέφους τὸ ζεῦγος ἅμα [1] σιτεῖ τὴν θήραν, καὶ τοῖς φίλοις θήραμα γίνεται.

---

1 Vitium latet in verbis ἅμα σιτεῖ, quae an recte legerim in scriptura minutissima non praestiterim. Forsan scribendum: ἄμμα ζητεῖ.

Digitized by Google

Διήγημα τὸ κατὰ τὴν διακεκαυμένην ζώνην.

Ὁ τῆς οὐρανόθι ζώνης πέρι θέλων μαθεῖν, ἣν μέσην τῶν ἄλλων καὶ διακεκαυμένην εἶναι λόγος αἱρεῖ φυσικῶς, τὴν ὑμνουμένην διφρηλασίαν λογιζέσθω Φαέθοντος. Οὗτος παῖς ἡλίου καὶ πατρικὴν ἀγάπην πλουτῶν, ἐκ ταύτης εἶχε καὶ τὸ πρὸς ἐκεῖνον παῤῥησιάζεσθαι· πρόσεισι τοίνυν τῷ πατρὶ, καὶ ὡς πατέρα πείθει λιπαρῶς ἐξαιτῶν, παραχωρῆσαί οἱ τοῦ ἅρματος, ᾧπερ ἐμβεβηκὼς ἐκεῖνος τέμνειν τὴν ἐν ἄστροις ὁδὸν καθ' ἑκάστην πιστεύεται· ἀλλ' ὡς μὲν ἀγαπητὸς παρευθὺς λαμβάνει καὶ ἐποχεῖται, ὡς δ' ἄπειρος παρασύρεται τῆς εὐθείας, καὶ πρὸς τὴν ὁδὸν ταύτην τὴν οὐρανίαν καὶ ἄκων παρὰ τῶν πῦρ πνεόντων ἐκείνων ἵππων ἀτάκτως ἐκφέρεται, καὶ ἡ τῶν ἵππων ἀταξία καὶ τὸ ἀνωμάλως φέρεσθαι λύμη τῇ ζώνῃ γίνεται, καὶ ὡς τότε τὸ εὔκρατον ἔχεσθαι, πρὸς τὸ θερμότερον μεταβάλλει, καὶ παρὰ φύσιν ἐξάπτεται, καὶ τὸ πάθος φθάνει καὶ εἰς τὴν γῆν καὶ ὑπ' αὐτῇ τῇ χώρᾳ τὸ οἰκουμένη εἶναι καθάπαξ ἀπόλλυσιν.

Cap. III.

Χρεία λογική.

Χαιρήμων ἔφη· πάντα τὰ ἀγαθὰ ἐν μόνῳ τῷ φρονεῖν ἐστιν.

Ἐπαινετὸς καὶ Χαιρήμων, καθότι μὴ μόνον στρατηγὸς ἄριστος ἦν, ἀλλὰ καὶ λόγοις ἐκεκόσμητο, καὶ στρατηγικὴν ἐμπειρίαν λόγοις κοσμῶν, λόγους ἐν μέρει τοῖς κατὰ πόλεμον ἀριστεύμασιν ἔστεφε, τὰ φύσει διεστῶτα συμπλέκων, καὶ παρ' ἀμφοτέρων ἀγλαϊζόμενος· ὅσα γοῦν αὐτῷ ἐν ταῖς καθ' αὑτὸν ἠνδραγαθήθη μάχαις λεγόντων ἄλλων καὶ ἱστορούντων, ἔστιν ἀκούειν τοῖς θέλουσιν· οἷα δὲ καὶ λόγοις ἐφιλοσόφει περὶ φρονήσεως.

Digitized by Google

ἔλεγε γὰρ, ὡς πάντα συλληπτικῶς ἐν τῇ φρονήσει ἐστὶ τὰ κατ᾽ ἀνθρώπου ἀγαθὰ, καὶ ἃ μὲν ἐφιλοσόφει, ταῦτα, πάρεστι δὲ ὁρᾷν, ὁποῖα ταῦτα τοῖς ἐφεξῆς· ὁ γὰρ φρονήσει κοσμούμενος, φίλοις μὲν συμπαρὼν ἀγαστὸς, ἐχθροῖς δὲ συμπλεκόμενος θαυμαστὸς, τοῖς μὲν ὑποτιθέμενος τὰ συνοίσοντα, τοῖς δὲ τὰ βλαβερὰ προξενῶν, καὶ ἐν καιρῷ μὲν εἰρήνης οὐδὲν ὅ τι τῶν συνιστάντων αὐτῷ μεθ᾽ ὑπερβολῆς ἐννοούμενος· στάσεως δὲ ἐμπεσούσης τοῖς πολίταις πολλαχοῦ, αὐτὸς οἰκονομῶν τὴν εἰρήνην, καὶ ὅσα καὶ στάθμῃ τῇ φρονήσει χρώμενος τὸ μὲν ἀνοιδοῦν καὶ φλεγμαῖνον βαρὺς ἐμπεσὼν καταστέλλει, τὸ δὲ παρὰ τὸ εἰκὸς ταπεινούμενον ἀνάγει συνταπεινούμενος, καὶ ἁπλῶς ἐκεῖνα φέρει τὰ ἀγαθὰ, ἅπερ ὁ τὸ λογιστικὸν ἅπαξ κοσμηθεὶς τῆς ψυχῆς πλουτῶν ὁρᾶται διηνεκῶς. Οὐ μὴν δὲ τοιοῦτος καὶ ὁ τῇ ἀφροσύνῃ πεδούμενος, ἀλλὰ πολιτευόμενος μὲν, οὐχ ὅπως τοῖς φίλοις ἀνόνητος, ἀλλ᾽ ἔστιν ὅτε καὶ τοῖς ἐχθροῖς βοηθός. Ἰδιωτεύων δὲ πάντα πράξει τὰ χαλεπώτατα, οὔτ᾽ οἶκον ὀφέλλων, ἀλλὰ καὶ προσαπολλὺς τὰ ὑπάρχοντα, καὶ συνελόντα φάναι, οὔτε τοῖς κοινοῖς χρήσιμος, οὔτε τοῖς κοινοῖς ὠφέλιμος, ἀλλ᾽ οἷον ἄχθος ἀρούρης τὴν γνώμην παντὶ ἀνέμῳ συμφέρεται τῇ κουφότητι, οὐδὲν μέσου διαστέλλων ὠφελοῦντος καὶ βλάπτοντος. Ὥσπερ γὰρ ὁ σκότῳ συγκλεισθεὶς ζοφερῷ ἄλλως ἀλᾶται, ταῖς γωνίαις παραδυόμενος, οὐ φίλον οἶδεν, οὐκ ἐχθρὸν ἐπίσταται, οὐ τὸ συνοῖσον προορᾶται, οὐ τὸ βλαβερὸν φυλάττεται, ἀλλὰ [1] τούτῳ φαίνεται, μηδὲν τὸ καλὸν καὶ μὴ διακρίνοντι, οὕτω καὶ ὁ ἀσυνεσίᾳ συζῶν συγχεῖ πάντα ἐν ἑαυτῷ, καὶ οὐδὲν ἔχει θάτερον θατέρου διάφορον· εἰ δέ γε καὶ πολλάκις

1 lacuna est in codice. Supple *πάντα ἀδιάκριτα*, aut simile quid.

Digitized by Google

κρίσει τινὶ ἐπιτρέψει τὰ συμπεσόντα, τὸ βλαβερὸν ἀνθείλετο τοῦ συνοίσοντας, καὶ ἁπλῶς οὐδὲν ὅ τι καὶ μὴ βλάψειεν, ἢ ἑαυτὸν ἢ καὶ τοὺς ἄλλους μετεχειρίσατο. Σκόπει τοὺς καθ' ἑκάστην ἄφρονας, καὶ ὡς ἐν καθαρῷ ἐσόπτρῳ τούτοις ὄψει τὰ τῶν λόγων ἐπαληθίζοντα. Διὸ τὸν Ἀντισθένην θαυμάζω, πάντ' εὔχεσθαι τοῖς ἐχθροῖς παραινοῦντα, δίχα φρονήσεως· ὥστε θαυμάζειν ἐστὶ Χαιρήμονα, ὅτι τοιαῦτα περὶ φρονήσεως ἐδογμάτευσεν.

Cap. IV.

Γνώμη Δημοσθένους.

Δεῖ[1] *δὴ χρημάτων, καὶ ἄνευ τούτων οὐδὲν ἐστι γενέσθαι τῶν δεόντων.*

Οὕτως ἄρα τῷ Δημοσθένει ὁ αἶνος ἦν ἱκανὸς, εἴπερ τοῖς αὐτὸς αὐτοῦ λόγοις ἐγκεκωμίαστο· νυνὶ δὲ ἀλλὰ ῥήτωρ μὲν ἐκεῖνος τῶν ἀμιμήτων· δέεται δὲ ῥήτορος χλώττης τῶν ἀηττήτων εἰς ἔπαινον. Ὅσα τοίνυν ἢ συμβουλείων κατώρθωσεν, ἢ νενίκηκε δικαζόμενος, οὐδεὶς ὅστις τὰ κατὰ τοῦτον εἰδὼς ἠγνόησεν· τοσοῦτον δ' αὐτῷ τῆς τέχνης μετῆν, ὥστε καὶ δεῆσαν Ἑρμογένει ῥητορικὴν στοιχειῶσαι, ἐξ αὐτῶν ἐκείνων τῶν λόγων τοῦ ῥήτορος τοὺς κανόνας ἐκθέσθαι, καὶ τὴν ἕως ἐκείνου τριβὴν ἄλογον λεγομένην, τέχνην ἔλλογον καταστῆσαι τοῖς ὕστερον. Ἐν πολλοῖς γοῦν ἔγωγε τὸν ἄνδρα θαυμάζω, μάλιστα δὲ ὧν ἐν πολιτείᾳ λέγων περὶ τῶν χρημάτων καλῶς νοῶν ἀπεφήνατο· χρείαν γὰρ εἶναι πᾶσιν αὐτῶν, ὡς μηδὲν ὅ τι γίνεσθαι τῶν πρεπόντων τισὶν, εἰ τούτων στερίσκοιντο. Καὶ ἃ μὲν ἀπεφήνατο τάδε, πάρεστι δὲ μαθεῖν ὡς καλῶς ἐκ τῶν ἐφεξῆς. Πόλις γὰρ

1 Idem thema tractat Nicolaus Sophista et anonymus in Cod. Ven. 444.

Digitized by Google

ἐκείνη, ἡ τῶν χρημάτων εὐπόρως ἔχουσα, μεγίστη μὲν καὶ περιφανὴς ἐστι, μεγίστας δὲ καὶ περιφανεῖς τὰς πράξεις ἐνδείκνυται, νεῶν μεγέθη, κτισμάτων μεγαλοπρέπειαν, ποικίλας ἑορτὰς, τεχνῶν παντοδαπῶν ἐπιμέλειαν, κἂν δέῃ πόλεμον πρός τινας ἐξενέγκαι, ἄνδρας ἴδοις ἐκεῖσε γεννάδας, ἀρεϊκοὺς, καὶ νεῦρα πολέμου τὸν χρυσὸν νομιεῖς, καὶ τὸν πλοῦτον εἴποις μεγάνορα.[2] κἂν πρεσβείαν στεῖλαι, κἂν λόγους συνθεῖναι πρὸς ἀποκρίσεις, κἂν ἀπαιτεῖν αὖθις ἐκείνους, πρὸς οὓς καὶ πρεσβεύονται, εὑρήσεις καὶ τοὺς λόγους ἐλευθερίους, καὶ τοὺς λέγοντας μεγαλόφρονας, καὶ τὸ περιφανὲς ἡ πόλις ἐξ ἄλλων ἔχουσα, οὐδὲν ἧττον καὶ ἐκ τοῦ πλούτου κυδροῦται καὶ μεγαλύνεται· οὐ φόβος τοὺς ἄνδρας ἐκείνους, οὐ δειλία περιστοιχίζεται, ἀλλ᾽ οὕτως ἐπὶ πᾶσι θαῤῥοῦσιν, ὡς καὶ τὴν τύχην μεταβάλλειν πολλάκις ἐλπίζειν δύνασθαι, κἄν που καὶ ἀτυχήσωσι, καὶ πρὸς δαίμονα μάχεσθαι. Οὐ μὴν δὴ τοιοῦτοι οἱ χρημάτων ἀπορούμενοι, ἀλλ᾽ οἴκοι μὲν φειδωλῶς πάντα πράττουσι, κοινῇ δὲ μικροπρεπῶς ἐνεργοῦσι· καὶ μόλις μὲν ἴδοις τούτους συναγομένους εἰς ἑορτὰς, μόλις δὲ καὶ κοινουμένους εἰς τέρψιν τῶν τελουμένων, διὰ τὸ τῆς πανηγύρεως ἄπορον, καὶ συγκληθέντας εἰς βουλευτήρια ἀπράκτους θεάσαιο καὶ ἀργούς· κἂν γνοῖεν πολλάκις τὸ χρήσιμον, τὸ ἄπορον ἐμποδὼν πρὸς τὴν πρᾶξιν. καὶ οὐδὲν ἀπώναντο τῆς φρονήσεως· κἂν στέλλωσιν εἰς πρεσβείαν ταπεινῶς φθέγγονται, εἰ δὲ καὶ παρ᾽ ἄλλων πρεσβείας δέξαιντο, ὥσπερ ἀπὸ κελεύσματος[3] μικροπρεπῶς τοῖς πρέσβεσι χρηματίζουσιν· ἀλλ᾽ εἰς πολέμους καὶ λίαν δειλοὶ, κἄν που καὶ εὐτυχήσωσιν, αὐτοὶ ἑαυτοῖς διαπιστοῦσι, καὶ οὐ μᾶλλον ἐπὶ τῇ νίκῃ χαίρουσιν, ἤπερ τοῖς μετὰ ταῦτα δεδίασι· καὶ ἁπλῶς οὐδὲν ἐπὶ μηδενὶ τῶν χρημάτων ἀπόντων

2 Pind. Olymp. II. 2. 3 cfr. de hac locutione Hemst. ad Arist. Plut. p. 30. Blomf. ad Aesch. Pers. 403. Villois ad Long. p. 197.

Digitized by Google

ἔχουσιν ἐργάσασθαι χρήσιμον. Ὥσπερ γὰρ τῶν νευρῶν ἀφῃρημένων τοῦ σώματος πηρᾶται τὸ ζῶον αὐτίκα, καὶ πᾶσα κίνησις ἀνενέργητος, οὕτω καὶ πλούτου μὴ παρόντος τῇ πόλει οἱ ἐνοικοῦντες πρὸς ἅπαν ἀκίνητοι χρήσιμον. Ὅρα μοι ἅμα μὲν Ἀθηναίους, ἅμα δὲ καὶ Λακεδαμονίους αὐτοὺς, οἳ δὴ πολλάκις μὲν πρὸς ἀλλήλους εἰς μάχην περὶ τῶν πρωτείων καθίσταντο· μέχρι δὲ τούτου πρὸς ἀλλήλους ἦν αὐτοῖς ἀντιφέρεσθαι, ἕως τὰ τῆς τύχης καὶ παρ' ἀμφοτέροις ἐκράτει, καὶ τὰ τοῦ πλούτου ἐπέτριβεν· οἷς δὲ τὸ ἄπορον περιῆστατο, οὐκ εἶχεν [4] ἀντίσχειν πρὸς τοὺς εὐπόρους, ἀλλὰ τὴν ἧτταν ὡμολόγουν καὶ ὑπεκρίνοντο. Διὸ θαυμάζω τὸν κωμικὸν, πάντ' ἐν τῷ πλουτεῖν συλλαβόντα, καὶ πάνθ' ὑπήκοα τούτῳ ἀποφηνάμενον.[5] Ὥστε πάρεστιν ἐπαινεῖν κατ' ἀξίαν τὸν ῥήτορα, κάλλιστα περὶ τῆς τῶν χρημάτων [6] γνωματεύσαντα κτήσεως.

Cap. V.

Κατασκευὴ τοῦ περὶ τοῦ ῥόδου διηγήματος.

Ὥσπερ ἀληθείας οὐδὲν ἀσφαλέστερον, οὕτω ψεύδους οὐδὲν σαθρότερον πέφυκεν· αὐτόθεν γὰρ τὸν ἔλεγχον ἔχει, καὶ οὐδεμιᾶς ἰσχύος τῶν ἔξωθεν λόγων δεῖ τούτῳ πρὸς τὴν κατάλυσιν· εἰ δὲ καὶ δόξαν τινὰ πρὸς γνῶσιν οἱ τὸ ψεῦδος λέγοντες φέρονται, ἔτι μᾶλλον τοῦ ἀσθενοῦς αὐτῷ περίεστιν· εἴτι που καὶ πιθανὸν ἔχοι, ἐκβαλλομένου κἀκείνου διὰ τὸ τοῦ λέγοντος ὕποπτον. Ἔγωγ' οὖν ἐπὶ πολλοῖς καὶ ἄλλοις τῶν ποιητῶν ψευδηγορίας κατέγνωκα, μάλιστα δὲ ἐφ' οἷς περὶ τῆς τοῦ ῥόδου χροιᾶς

4 Malim εἶχον. 5 Ar. Plut. 128. 519. 6 Cod. χρωμάτων. Vide de hac permutatione Jacobs ad Achill. Tat. p. 839. Corrigendus Syrianus, Rh. Gr. Vol. II. p. 50. οἱ μὲν οὖν, ὡς ἀτελὲς ἐκ πραγμάτων τὸ παρὸν ζήτημα διελόντες οὐδὲ χρήματι ὅλως ἐχρήσαντο. Par. χρώματι.

Digitized by Google

τερατεύεται· ἦρα, φησὶν, Ἀφροδίτης Ἄρης, καὶ Ἀφροδίτη παρὰ φαῦλον τιθεμένη τοῦτον, ἦρα μᾶλλον ἀντ' αὐτοῦ τοῦ Ἀδώνιδος· ζηλοτυπῶν δὲ Ἄρης τὰ παιδικὰ τὸν ἀντίζηλον ἀναιρεῖ· ἀλλ' ἡ θεὸς εἰς ἄμυναν σπεύδουσα προσβάλλει τῷ ῥόδῳ, καὶ ταῖς μὲν ἀκάνθαις τὸν ταρσὸν τοῦ ποδὸς παραπείρεται· τὸ δὲ καταῤῥεῦσαν αἷμα τῷ ῥόδῳ περιχυθὲν, τὴν χροιὰν μεταβάλλει τοῦ ἄνθους, καὶ λευκὸν τὸ πρότερον ὂν ἐρυθρὸν ἐξ ἐκείνου δείκνυσι τοῖς ἐσύστερον· καὶ ἃ μὲν μυθολογοῦσι ταῦτα· πάρεστι δὲ τὸν λόγον ἐξελέγξαι ψευδόμενον· Ἄρης Ἀφροδίτης ἦρα· τίνα φέρει πίστιν ὁ λόγος; ὑπόκεινται πάθει θεοὶ καὶ Ἄρης ἐρᾷ; εἰ μὲν θεὸς ὁ Ἄρης, πάντως ἀνενδεὴς, εἰ δὲ ἐρᾷ, ἐλλειπόμενος, οὐ θεὸς ἄρα· τί γοῦν τὰ μηδόλως πεφυκότα συνεῖναι συνάγουσιν· ἢ θεὸς ἔστω καὶ μὴ ἐρῶν, ἢ ἐρῶν τὸ θεῖον πρόρρημα ψεύδεται· τί δ' ἐλαττοῦται καὶ ἀνθρώπων ἐπιεικῶν δουλεύων ἔρωτι· ἐκεῖνοι σωφροσύνην μεταδιώκουσι, καὶ οὗτος ἀκόλαστος φαίνεται; βούλει συγχωρῶμεν [1] τοῦτο τοῖς ποιηταῖς, πῶς ἡ θεὸς ἐρωμένη ἔρωτος ἀνθρώπου ἀντωθεῖτο τὸν τοῦ θεοῦ· φύσιν ἔχει τὸ μεῖζον ἀεὶ προκρίνεσθαι τοῦ ἐλάττονος, καὶ προκειμένου πολλάκις ῥᾳδίου τοῦ χείρονος ζητεῖν τὸ κρεῖττον πεφύκαμεν, κἂν ᾖ δυσχερές· τί γοῦν ἡ Κύπρις, ἐφιεμένη τοῦ κρείττονος ἅμα καὶ ῥᾴστου τὸ χεῖρον ἐζήτει, καὶ οὗ τυχεῖν ἴσως μὲν εὐπετὲς, ἴσως δὲ καὶ δυσχερές. τὴν γὰρ ὑπεροψίαν οὐκ ἄλλοθεν, ἀλλ' ἐξ αὐτῆς εἶχεν εἰδέναι, ὑπεροπτικῶς πρὸς τὸ κρεῖττον ἔχουσα· ἢ τοίνυν καὶ ἄφρονα ταύτην θετέον, καὶ πρὸς τῇ ἀκολασίᾳ καὶ ἄλλο πάθος ἐχέτω, ἢ θεὸς οὖσα συνέσεως πλήρης οὐκ ἂν ᾑρεῖτο τῶν κρειττόνων τὰ χείρονα. ἀλλ' ἔστω, δεδόσθω καὶ τοῦτο τοῖς ποιηταῖς· πῶς ἐρῶν Ἄρης οὐ τὰ τῶν ἐρώντων πρὸς τὴν ἐρωμένην ἕδρα, ἀλλ'

1 Cod. συγχωροῦμεν.

ἐξ ὧν μᾶλλον καὶ μισητὸς ἐκείνῃ ἔμελλε γίνεσθαι, λυπεῖν οὐκ ἐχρῆν ἐκείνην, εἰ ἀντερᾶσθαι ἠβούλετο· εἰ δ' οὐκ ἤθελεν ἀντερᾶσθαι, τί λοιπὸν ἦν ἐκεῖνα πράττειν, ἐξ ὧν οὐχ ὅπως κερδαίνειν, ἀλλὰ καὶ ζημιοῦσθαι τῷ κακὸν δόξαι μόνον συνέβαινεν. ἀλλ' εἰς ἄμυναν, εἴποι τις, ἔδρα τὸν φόνον, τὴν ὑπερόπτιν λυπῶν; καὶ τί θνητῶν διοίσουσιν οἱ θεοὶ, εἰ πᾶσι δουλεύουσι πάθεσιν. ἐγὼ δὲ, εἰ θεόν τις τὴν Ἀφροδίτην λογίζεται, τὴν λύπην αὐτῆς ἀπολέγω, ὅτι καὶ ῥεῖα ζῆν τοὺς θεοὺς ποιητῶν ἀκούω λεγόντων. Τί δὲ καὶ ἡ πρὸς τὸν Ἄρην τῆς Ἀφροδίτης ἀντίστασις; Ἄρης καὶ τῶν λοιπῶν θεῶν εἰς πόλεμον ἰσχυρότερος, καὶ Ἀφροδίτης ἔμελλεν ἡττᾶσθαι μαχόμενος; ἡ σπουδὴ κενὴ, εἰ οὐχ ἔμελλε βοηθεῖν· ἀλλ' ἔγνω δυσωπεῖν τὸν βροτολοιγὸν; ἀλλ' Ἄρης καὶ μὴ θυμούμενος ἀδυσώπητος, εἰ δὲ καὶ θυμοῖτο, κολαστὴς ἀπαραίτητος· εἰ δέ γε καὶ ταῖς ἀκάνθαις προσέπταισεν, καὶ ἓν τῶν ἀνθέων ἠλλοίωσε τὴν χροιὰν ἐκ τοῦ αἵματος, τί κοινὸν καὶ τοῖς ἄλλοις τὸ μεταβάλλεσθαι· εἰ δὲ τῇ τοῦ θεοῦ δυνάμει, κρεῖττον μεταβαλεῖν ἦν ἑαυτὴν τοῦ πάθους ἰσχύουσαν, ἢ ἀλλοιοῦν ἄνθος, καὶ ποιεῖν ἀκολασίας ἀθάνατον σύμβολον. Πέρας ἔστω τῶν λόγων, μὴ καὶ αὐτὸς ἐκ τοῦ τὸ πάθος ἐλέγχειν τῶν τοῦ ψεύδους κακῶν ἐμπλησθῶ.

Κατασκευὴ ἐκ τοῦ ἐναντίου τοῦ διηγήματος τοῦ κατὰ τὸ ῥόδον.

Ἔγωγε μὲν φιλεῖν οὐκ ἂν ἀρνηθείην τοὺς ποιητάς· εἰ γὰρ ἅπαν μὲν ἐν ἀνθρώποις χρήσιμον ἐκ θεῶν, αὐτοὶ δ' ἐκείνοις προσεχῶς ὀργιάζοντες, τοῖς ἄλλοις φιλαλήθως τῶν μυστηρίων μεταδιδοῦσι, πῶς οὐκ ἐπαινετέον τοῖς γε φρονοῦσιν ὀρθῶς· εἰς πολλὰ μὲν καὶ ἄλλα τούτους ἀψευδοῦντας κατανοῶ· οὐχ ἥκιστα δὲ καὶ εἰς τὰ περὶ τῆς χροιᾶς τοῦ ῥόδου λεγόμενα· οἷα γὰρ λέγουσιν

αὐτοῖς, ἀπιστεῖν τολμῶσί τινες· ἤρα, φασὶν, Ἀφροδίτης Ἄρης· ἀντήρα δ' αὖτη Ἀδώνιδος· τί πρὸς θεῶν ἔχει ὁ λόγος ἄπιστον; οὐκ ἔρως τῶν πάντων κρατεῖ; οὐ γῆς καὶ θαλάσσης δυναστεύει, καὶ ὅσον ἀέρων; οἱ καὶ τὸ τῶν θεῶν γένος ἐκ διαδοχῆς τὸ γένος εἰλήχασιν; οὐ πρῶτον μὲν Ὠφίων καὶ Εὐρυνόμη, εἶτα δὲ Κρόνος καὶ Ῥέα, καὶ Ζεὺς καὶ Ἥρα μετέπειτα; τί καινὸν, εἰ καὶ Ἄρης ἐρᾷ, καὶ ταῦτα θεοῦ; εἰ δὲ καὶ αὕτη τὸν θεῖον ὑπερορῶσα, ἀνθρωπίνῳ ἔρωτι προσανεῖχε, ποῖον ἐντεῦθεν ψεῦδος τοῦ λέγοντος καταγνοίημεν; οὐ πάθος ὁ ἔρως, καὶ τυφλὸν περὶ τὸ φιλούμενον λέγεται; ἢ γὰρ πάθος οὗτος, καὶ κρίσιν ζητητέον ὀρθὴν, παραπασχούσης ψυχῆς, ἢ οὐ πάθος, ἀλλὰ φύσις τῶν ζώων τοῦτο κοινὴ, ἤδη καὶ θεῶν, καὶ Ἀθηνᾶ καὶ Ἄρτεμις γάμον φυγοῦσαι φύσιν θεῶν ὑπερβαίνουσι. Τί δ' ἄπιστον, καὶ τὸ τὸν Ἄρην δυσχεραίνειν ὑπερορώμενον, καὶ τὰ παιδικὰ πρὸς Ἀδώνιδος παρευημερούμενα ἐκτόπως ζηλοτυπεῖν· οὐ τὸ πάθος οἶδεν ἡ φύσις τῶν ζώων, καὶ εἰς μανίαν ὁ ἔρως τρέπεται παρορώμενος; εἰ δὲ καὶ Ἄρης ὁ πάσχων ἦν, καὶ πρὸς θνητὸν τὸ ζηλότυπον ἔχων, οὐδὲν ἀπεικὸς πρὸς φόνον ὁρμᾷν· ἅμα μὲν λυποῦντα τὴν διαθρυπτομένην αὐτῷ, ἅμα δὲ καὶ κολάζοντα τὸν ἀντίζηλον· σπεύδει δ' ἡ Κύπρις πρὸς τὸ ἀμύνειν καὶ λίαν εἰκότως· ὃν γὰρ καὶ θεοῦ προείλετο τὴν ἀρχὴν, ὑπὲρ αὐτοῦ καὶ τὴν ζωὴν προέσθαι, εἰ ἦν, ἠναγκάζετο, καὶ οὐχ ὅτι νικήσειν ἐθάρρει τὸν μιαιφόνον, ἠπείγετο, ἀλλὰ τῷ ἐρωμένῳ τὴν ὑπὲρ αὐτοῦ σπουδὴν ἀφοσιώσασθαι θέλουσα· ἀνάγκης δ' ἐπειγούσης καὶ πρὸς δαίμονα πολλάκις πειρώμεθα μάχεσθαι, οὐχ ὅτι περιεσόμεθα [1] λογιζόμενοι, ἀλλ' ὅσον τὸ ἐξ ἑαυτῶν συνεισφέροντες· τί γοῦν ἄπιστον, καὶ τὸν θεὸν σπεύδειν ἀμύνειν καὶ αἷμα καταρ-

1 Cod. περιεσούμεθα.

ταῤῥεῦσαι τοῦ τραύματος· εἰ δὲ καὶ τὸ ῥόδον τοῖς αἵμασι βάπτεται, καὶ ἡ χροιὰ τοῖς λοιποῖς ἄνθεσι μεταδίδοται, ὡς αἷμα δέξαιτό τις θεῶν, οἷόνπερ ῥέει μακάρεσσι θεοῖς, [2] καὶ οὐ καθὼς τοῖς ἀνθρώποις κατὰ τὴν ποίησιν, οὕτω καὶ τὴν πρᾶξιν ταύτην ἡγήσαιντ' ἂν οὐ κατ' ἄνθρωπον· τέως δ' οὖν τὸ αἷμα εἶναι δεῦσοποιὸν [3] τοῖς πλησιάζουσι πρὸς τὸ ἐρυθρότερον, τίς οὐ τῇ αἰσθήσει καὶ μόνῃ πιστεύσειε. Πέρας ἔστω τῶν λόγων, μήπως ἐκ τῆς τούτων ἀσθενείας καὶ τὸ ἀληθὲς τῆς ἱστορίας ἐξίτηλον γένηται.

Cap. VI.

Κοινὸς τόπος κατὰ λοιδόρου.

Ἄνδρες δικασταί, λόγων ὀλίγων πεπαιδευμένων ἡμῶν κατ' ἀκαθέκτου καὶ λοιδόρου γλώσσης ἀνάσχεσθε· εἰ μὲν γὰρ ἦν φυγόντος τὴν δίκην μηδὲν ἀκοῦσαι κακῶς ὑμᾶς παρ' αὐτοῦ, τυχὸν ἂν τις καὶ καθυφῆκε τῆς ἀγωνίας, ἐς ὃ δεῖξαι τοῦτον τὰ χείριστα πράττοντα· ἐπειδὴ δὲ, ὅσον μᾶλλον ὑμεῖς πρὸς τὸ κολάσαι τοῦτον ἕξετε ῥᾳθυμότερον, τοσοῦτον οὗτος εἰς λοιδορίαν θήξῃ τὴν γλῶσσαν, ποῦ δίκαιον, μὴ τὴν ἀκοὴν ὑποσχεῖν ὑμᾶς λόγοις σώφροσιν, ἵνα κακῶν τῶν αὐτοῦ ληρημάτων ἀπαλλαγείητε; Ἐγὼ μὲν οὖν καὶ πάντας τοὺς κακῶς τὸν δῆμον ποιοῦντας ἐξέτι νηπίου μεμίσηκα, μάλιστα δὲ πάντων τὸν λοίδορον ὡς ἐχθρὸν κοινὸν ἀποστρέφομαι· τῶν γὰρ ἄλλων ἁπάντων ἔστι δήπου καί τιφας ἐκφυγεῖν τὸ κακόηθες, τούτου δὲ τὴν λοίδορον γλῶσσαν οὐκ ἔστιν ἀποδρᾶναι μὴ ὅτι τοὺς ζῶντας, ἀλλ' οὐδ' αὐτοὺς τοὺς ἐκ πολλοῦ τὸν βίον ἀλλάξαντας. Δοκεῖτε δέ μοι τὴν χωά-

2 Il. 5, 340. 3 Cod. δευσιποιόν. Tim. Lex. δευσοποιόν· ἔμμονον καὶ δυσαπόπλυτον.

Digitized by Google

τας αὐτούς, ἵν' ἐκ τοῦ αὐτοῦ νόμου ἑκατέροις τὸ πρόσφορον γίγνηται. Συνοίσει δὲ καὶ τοῖς ἄλλοις τὸ τοῦτον πεσεῖν, καὶ διπλοῦν ἀνθ' ἁπλοῦ τὸ κέρδος ἐσεῖται τῇ πόλει, οἷς τε γεγονὸς τὸ κακὸν ἐξαλείφεται, καὶ οἷς κωλύεται προσδοκώμενον. καὶ ἡ τῆς πάλεως δόξα παραμενεῖ, ὅτι τοσοῦτον πρὸς τὸ κακὸν ἀποπέφυκεν, ὥστε καὶ μέχρι λόγων ἀδοξούντων ἀγανακτεῖν· ῥᾳδία δὲ ἔσται καὶ ἡ τιμωρία ἡμῖν· οὐ γὰρ ὅπλων δεήσει καὶ συμμάχων πρὸς ἀπαιδεύτου γλώσσης κατάλυσιν, ἀλλὰ μόνης ψήφου τῆς παρ' ἡμῶν, καὶ δείξουσι πάντες πάντα κακὰ λοιδορίας τιθέμενον δεύτερα. Δεῖ δὲ τὸ ἀφ' ἑαυτῶν συνεισενεγκεῖν μόνον, κἂν πείσωμεν τοῦ λοιποῦ, μηδένα γενέσθαι τοιοῦτον ἐν ἡμῖν ἕξει· εἰ δ' οὖν καὶ πάλιν ἄλλον ὁ χρόνος δείξει τὸν ἐπ' ἐκείνοις δυσχερανοῦντα, καὶ ὑμᾶς οἱ νέοι πρὸς τὴν κατ' ἐκείνων ψῆφον μιμήσονται.

Cap. VII.

Ἐγκώμιον Αἴαντος τοῦ Τελαμωνίου.

Εἰ μὲν ἦν τὸν ἅπαντα βίον μένον τὸ καλὸν ἀπροσαίωρητον κέντρον ἐνιένδι ταῖς ψυχαῖς πρὸς τὴν μίμησιν, κἂν ὡς ἔχειν ἡγούμην σωτηρίαν ἐπὶ τοῖς καλοῖς· ὡς νῦν γε μὲν καταῤῥυπαίνειν τῇ ἀσθενείᾳ τῶν λόγων τὸ τοιοῦτον εὐδαιμον, καὶ δὴ καὶ τὴν ἐκ τούτου ὠφέλειαν μηδὲν ἐλαττοῦσθαι τοῖς ἔπεσθαι θέλουσιν. Ἐπειδὴ δὲ φύσις αὕτη καλοῦ, ἐπιδιδόναι τοῖς παλλοῖς ἐπαινουμένη, ὡς φύσις αὕτη πυρὸς, ἀφασπαλευομένην ἀξεσθαι, καὶ ὡσανεὶ οὐκ ἦν ὅλως ἡγεῖσθαι καὶ πολλοῦ τινος ἄξιον· ὅθεν ἐπαινετέον καὶ Αἴαντα τὸν τοῦ Τελαμῶνος, ἐκεῖνα περὶ αὐτοῦ λέγοντες, ἃ δὴ καὶ παλαιῶν ἀνδρῶν ἱστορίαι καὶ σοφῶν διεβεβαιώσαντο. Οὗτος πα-

τρίδα ἔσχεν ἀρχῆθεν τὴν Αἴγιναν, νῆσον εὔανδρον καὶ μᾶλλον, ὡς αὐτίκα λέγειν ἁρμόσει, ταῖς πρὸς τὸ θεῖον εὐτυχίαις τοῦ προπάτορος Αἰακοῦ πλησθεῖσαν ἀνδρῶν καλλίστων εὐνόμων, ἀρηϊκῶν, ὡς εἶναι καὶ τοῖς περὶ αὐτῆς ἀναγράφουσι θαῦμα πρὸς τοῖς ἄλλοις τῶν ἀγαθῶν τὸ εὔνομον· τὸ γὰρ ἁπανταχόθεν καὶ πολλοὺς τοὺς ἐπήλυδας ἔχουσαν μηδὲν νοθευθῆναι τὴν τάξιν αὐτὴν καὶ τοὺς νόμους ὡς δυσπαλὲς τοῖς ἐπαινοῦσι ταύτην ἐξύμνηται· καὶ τοιαύτην σχὼν τὴν ἐκ προγόνων πατρίδα οὐδὲν ἧττον εἰς εὐφημίαν τὴν ἐκ πατέρων Σαλαμῖνα ἐκτήσατο, ἧς ἵνα τἆλλα παρῶ, καὶ ὅτι ἀμφισβητούντων αὐτῆς Ἀθηναίων καὶ τῶν προσοίκων, Σόλωνος ἐδέησαν μόνου ἢ μᾶλλον Ὁμήρου πρὸς τὴν διάλυσιν, ὡς μεγάλης οὔσης πάντως προσθήκης, οἷς ἂν δικαίως καὶ προσαρμόσειε τὸ μέγα ἔργον τῶν Ἀθηναίων κατὰ Περσῶν τὸ τῆς εὐφημίας κεφάλαιον. ἀλλ' αἵδε μὲν αἱ πατρίδες, οἱ δὲ πατέρες, ὀνόματός τινος φαύλου ἢ κατ' αὐτὰς τετυχήκασιν; οὐκ ἔστιν εἰπεῖν, Αἰακὸς γὰρ τούτῳ προπάτωρ ὁ τοῦ Διός, τῷ μὲν θεοφιλεῖ τρόπῳ οἰκίζων ἐκ παραδόξου καὶ τὰ ἀοίκητα· τῇ δὲ πρὸς θεοὺς εὐσεβείᾳ αὐχμῶν τοὺς Ἕλληνας ἐξαιρούμενος καὶ ἀμφοτέρωθεν μέγας δόξας, οἷς τε τοὺς μὴ ὄντας παρήνεγκε, καὶ οἷς τοὺς κινδυνεύοντας διεσώσατο· ἀλλ' ὁ πατὴρ αὐτοῦ Τελαμὼν, καὶ σιγῶ τὰ πλεῖστα, ποῖον τῶν κατ' αὐτὸν πόλεμον οὐ κατάρθωσεν, καὶ τίνος οὐ δόξης χάριν παρακεκινδυνευμένος ἔπραττε τὰ πολλά. Λεῆσαν μὲν γὰρ τὴν ἐπὶ τὸ κῶας στέλλεσθαι τὸν Ἰάσονα, συνῆν καὶ οὗτος μετὰ Πηλέως μεγάλη προσθήκη τοῖς ἥρωσι· δεῆσαν δὲ καὶ Ἡρακλεῖ ἐπὶ Τροίαν στρατεύειν καὶ Πριάμον τῷ βουθοίνᾳ [1] συνεξεστράτευσεν, καὶ πρῶτος ἄρξας

1 Eustath. Opusc. p. 347. I. 56. ed. Tafel: τίς γὰρ ἂν οὕτως αὐτοῦ κατακαυχήσηται, εἰ μὴ αὐτὸ τοῦτο βουθοίνας εἴη ἐκεῖνος.

Digitized by Google

τοῦ καταστρέφειν τὴν πόλιν, ἔνθα δὴ ὁ ἐκείνου πατὴρ τοῖς θεοῖς συνεργῶν ᾠκοδόμει τὸ πρότερον, ἄξιος οὗτος καὶ μόνος καταβολεὺς τῇ τύχῃ κριθεὶς τῶν πατρικῶν ἐκείνων οἰκοδομῶν, ἐπὶ τοσοῦτον ἦρθη φιλοτιμίας, ὡς καὶ παρὰ τοσοῦτον κινδυνεῦσαι παραπολέσθαι, παρ' ὅσον καὶ θεοῦ σέβας παρ' αὐτοῦ δεχόμενος ὁ τριέσπερος [2] ἤθελε μὲν δοκεῖν καὶ θεὸς ἐκ τοῦ πρὸς ἐκεῖνον φιλανθρωπεύεσθαι. ὅμως δ' ἠγάπα τιμὴν λαμβάνων θεοῦ, ὡς ταύτην μόνην τῆς τοῦ Τελαμῶνος ἀριστείας οὖσαν ἀντίῤῥοπον· καὶ τοιούτων τῶν γονέων τετυχηκὼς ἔστιν οὗ πολλάκις καὶ μετὰ Πηλέως ἐφοίτα τῷ Χείρωνι καὶ ἀδελφικῆς ὁμοπνοίας οὐδὲν ἧττον τὸ ἴσον ἐφέρετο τῶν μαθήσεων· τὰ πλεῖστα δὲ συνῆν τῷ πατρὶ, φύσει λαμβάνων τὰ τῆς ἀρετῆς διδάγματα. Ἐπεὶ δ' εἰς ἄνδρας παρήγγειλεν καὶ τῆς ἐπὶ Τροίαν στρατείας κοινῶς

Apollod. II. 7. 7. *Διεξιὼν δὲ Ἡρακλῆς τὴν Δρυόπων χώραν, ἀπορῶν τροφῆς, ἀπαντήσαντος Θειοδάμαντος βοηλατοῦντος τὸν ἕτερον τῶν ταύρων λύσας εὐωχήσατο.* Philostr. Imag. II. 24. *Ἡρακλεῖ γάρ που παρὰ Πινδάρῳ ἐνέτυχες, ὁπότε ἐς τὴν τοῦ Κορωνοῦ στέγην ἀφικόμενος σιτεῖται βοῦν ὅλον, ὡς μηδὲ τὰ ὀστέα περιττὰ ἡγεῖσθαι.* Secundum Aelianum V. H. 1. 24. Hercules certabat cum Leprea, *τίς καταδειπνήσει ταῦρον πρότερος — — — καὶ ἐν πᾶσι τούτοις ἡττᾶτο Λεπρέας.* Cfr. notam ad Arsen. Viol. sub prov. *Ἡρακλῆς ξενίζεται.* 2 Arsen. Violeto Histor. p. 131. *φασὶ δὲ Λία, συγκοιμώμενον Ἀλκμήνῃ, πεῖσαι τὸν ἥλιον μὴ ἀνατεῖλαι ἐπὶ τρεῖς ἡμέρας, ὅθεν καὶ ἐπὶ τρεῖς αὐτῇ ὁ Ζεὺς τὸν τριέσπερον Ἡρακλέα ἐποίησεν. — Τριέσπερος λέων* Hercules vocatur a Lycophr. Cass. 33. Placuit haec vox Sophistis: ita Basilaca Ethop. 3. p. 472. *τεθνεὼς ἀπελέγξει τὸν καὶ θεῶν καὶ θανάτων κρατήσαντα, τὸν ἐκ Διὸς τριέσπερον.* Lucian. Somn. c. 17. *χειμερινὸς ὄνειρος, ὅτι μήκισταί εἰσιν αἱ νύκτες· ἢ τάχα που τριέσπερος, ὥσπερ ὁ Ἡρακλῆς καὶ αὐτός ἐστι.* Gall. c. 13. *ἆρά σοι ἀλόγως ἀγαγακτῆσαι κατά σου δοκῶ, ὡς τριέσπερον ἂν ἡδέως ἔτι εἶδον τὸν ὄνειρόν μοι γενόμενον.*

Digitized by Google

τοῖς Ἕλλησιν ἦρξεν ἡ τοῦ Πάριδος παρασπόνδησις, ὁρμᾷ καὶ οὗτος ἐθελοντὴς πρὸς τὴν μάχην, ὡς οὐ κινδύνου πολεμικοῦ, ἀλλὰ δόξης εὐκλεοῦς προκειμένης τοῖς εἰς τὸν πόλεμον ἀπαντήσασιν. ὅθεν καὶ ναυσὶ μὲν τῶν πολλῶν ἠλαττοῦτο μὴ διδούσης τῆς Σαλαμῖνος ἅμα μὲν ἀγαθοὺς, ἅμα δὲ καὶ πολλούς· τὸ μὲν γὰρ ἀρετῆς καὶ τῶν ἐφ' ἡμῖν, τὸ δὲ τοῦ μεγέθους τοῦ τόπου καὶ οὐ τῶν θελόντων κατόρθωμα· ὅσον δὲ τὸ ἔλαττον εἶχεν ἐν ταῖς ναυσὶ, τοσοῦτον τὸ μεῖζον εἶχε τῇ ἀρετῇ, καὶ ταῖς ἀνδραγαθίαις τοὺς ἄλλους ὑπερηκόντιζε· δηλοῖ δὲ τούτου τὴν τόλμαν καὶ ἡ τῶν νεῶν ἐφόρμισις· οὐ γὰρ ἀναμὶξ τοῖς ἄλλοις ἠγάπα τάττεσθαι, ἀλλὰ πρὸς τὸ ἄκρον τῆς νεολαίας τοῦ Ἀχιλλέως ὁρμοῦντος θάτερον ἄκρον ἐκεῖνος κατειλήφει, τῷ τοῦ Πηλέως ἀντιφιλοτιμούμενος, καὶ μαχόμενος διεκαρτέρει πρὸς τὰ δεινὰ, ἐκεῖνα δρῶν, ἃ θαυμαστὸν τὸν δρῶντα ποιεῖ, καί ποτε τοῦ Ἀχιλλέως μηνίσαντος, αὐτὸς τὸ πρωτεῖον ἐπὶ τοῖς ἄλλοις εἶχεν, ὡς καὶ μόνος ὑποστῆναι μονομαχοῦντα τὸν Ἕκτορα· ἀλλ' ἀφίημι τὰ ἐν μέρει, οἷς φέρων σάκος ἦὖτε πύργον κατὰ πόλεμον ἐτολύπευεν, ἀλλὰ πελάσαντος τοῦ Ἕκτορος ταῖς ναυσὶ, καὶ πῦρ κατ' αὐτῶν ἐνιέντος τῇ τοῦ Διὸς ἀρωγῇ, θέλοντος τὸν τοῦ Πηλέως τιμᾶν, τίς ἄλλος οὕτως ἀντέστη ὡς οὗτος, πηδῶν εἰς ναῦν ἐκ νηὸς, καὶ δόρυ κολλητὸν βλήτροισι προβαλλόμενος, καὶ κατὰ στόμα προσυπαντῶν Ἕκτορι· τῆς νυκτὸς δ' ἐπελθούσης καὶ δεῆσαν πρεσβείας πρὸς Ἀχιλλέα τοῖς Ἕλλησι, μόνος οὗτος καὶ πρὸς ἐκεῖνον ἀθωπεύτως ἐπρέσβευσε, καὶ τοῖς Ἀχαιοῖς ἐδίδου θαρρεῖν μετὰ ταῦτα, τοῦ Φθιώτου πρὸς τὴν πρεσβείαν μὴ εἴξαντος· Πατρόκλου δὲ τὸ σῶμα καὶ μετὰ θάνατον μόνος, ἢ κομιδῇ σὺν ὀλίγοις ἀντιταττόμενος Ἕκτορι τῷ φίλῳ γε διεσώσατο· καὶ ἁπλῶς, οὐκ ἦν τι τοῖς Ἀργείοις κατὰ πόλεμον ἐνεργεῖσθαι, μὴ παρόντος τοῦ Αἴαντος· ὥστε

Digitized by Google

καὶ τῆς τύχης ἕρμαιον Αἴαντι τὴν τοῦ Ἀχιλλέως μῆνιν λογίζομαι, ὡσὰν ἐπὶ καιροῦ δείξει τὸν ἄνδρα ὁποῖός ἐστι, καὶ Ἀχιλλέως μὴ παρόντος τοῖς πράγμασιν. Ἔστι δὲ τὸ τούτου φιλότιμον κατιδεῖν κἀκ τῆς τελευτῆς· ἐπεὶ δὴ γὰρ ὡς ἐπίπαν ὁ ἐκ φύσεως θάνατος ἀκλεὴς, ὡς συμβαίνων καὶ τοῖς τυχοῦσιν, ἦν πρέπων πάντως αὐτῷ ὁ ἐπὶ τῆς μάχης θάνατος· ἀλλ' ἐπεὶ οὐκ ἦν αὐτοῦ περιγενέσθαι πολέμιον, ἐξ ἄλλης αἰτίας αὐτουργεῖ τὴν σφαγὴν, καὶ γίνεται ἑκούσιος θάνατος δεῖγμα ψυχῆς, ἐχούσης ὑπεροπτικῶς πρὸς τὸ ζῆν, ὡς ἢ ζῆν καλῶς, ἢ τελευτᾶν εὐκλεῶς. Εἶτα τίς αὐτὸν παραβάλλει τῷ Ὀδυσσεῖ; ἀλλ' ἐγὼ καὶ τοῖς ἀποψηφίσασι τὰ τοῦ Αἴαντος ἐν τῷ τὴν ψῆφον τοῖς τοῦ Ὀδυσσέως ἐπενεγκεῖν, δικαίως μέμφομαι· ἔδει γὰρ, κατ' ἀνδρείαν κρίνειν, ἐπειδήπερ περὶ Ἀχιλλείων ὅπλων ἦν ὁ ἀγὼν, καὶ μὴ συγκρίνειν ἀνδρείαν φρονήσει, ἢ δὴ καὶ τὰ ὅπλα μάταια μὴ κατ' ἴσον ἔχοντας ἰσχυρίζεσθαι· ἄλλως τε καὶ τοῦ Ὀδυσσέως μὴ τοσοῦτον κατὰ φρόνησιν ὑπερέχοντος, ὅσον κατ' ἀνδρείαν Αἴας τοῦ Ἰθακησίου ὑπερεβάλλετο. εἰ γὰρ καὶ ἀνδρείας κρείττων ἡ φρόνησις, ἀλλ' οὐκ ἦν ὅσον ὑπερεῖχε κατ' ἀνδρείαν Ὀδυσσέως ὁ Τελαμώνιος, τοσοῦτον ἐκείνου τῇ φρονήσει ἐλλείπεσθαι· ἔδειξαν δὲ πάντως αἱ τούτου βουλαὶ καὶ τὰ μετὰ συνέσεως ἀριστεύματα, ὥστε τὰ τῶν ἐπαίνων ἄκρα λαβόντα οὐκ ἦν ὅπου καὶ ἐλαττοῦσθαι πέφυκεν.

Cap. VIII.

Ψόγος τοῦ Πάριδος Ἀλεξάνδρου.

Οἶδέ τις καὶ κέρδος ἀπὸ κακίας, καὶ ζημίαν αὖθις ἐξ ἀρετῆς, ὅταν ἡ μὲν, ἤν τι τῶν ἀγαθῶν προΐσχηται, ὡς ἥκιστα ἔχοι τὸν ἐροῦντα τοῖς ἄλλοις περὶ αὐτοῦ, κακίαν δὲ λόγων οὐκ ἔρημον ὁ σύμπας αἰὼν χειρωσάμενος

Digitized by Google

πολλῶν ἀκοαῖς ἐμπιστεύοι ξὺν δέοντι τῷ σκοπῷ· οὐδὲ γὰρ, ἵνα μιμήσωνταί τινες, ἀλλ᾽ ἵνα φύγωσι, τῶν τισι μεμνημένων τῶν κακίστων ἡ πρόθεσις. Κακίαν τοίνυν καθ᾽ αὑτὴν ἐκφαυλίζειν ἴσα καὶ φύσιν ἄλλων διασύρειν πραγμάτων ἐστὶν, ὡς ἑκάστῳ τούτων ξυνηνέχθη τὴν ἀρχὴν ἐξ ἀνάγκης γενέσθαι· φύσις δὲ ἄρα, ὅσα καὶ ἀπαραίτητον, συγγνωστόν· οἷς δ᾽ ἐφ᾽ ἑαυτοῖς ἔχουσι κακοῖς γενέσθαι, καὶ μὴ τὸ χεῖρον ὑπὲρ τὸ καλὸν αἱρετὸν, τούτοις καὶ τὸ μωμεῖσθαι προσήκει· ὡσὰν ἡ τῆς κακίας τούτων διαβολὴ ἀφορμὴ τοῖς ἄλλοις ἀρετῆς γένηται· θατέρου γὰρ κακιζομένου ἡ ἐπὶ θάτερα κλίσις πάντως ἐπαινετόν. Ἔγωγ᾽ οὖν τῶν ἄλλων ἀφέμενος τῷ τέως κακίζω τὸν τοῦ Πριάμου Ἀλέξανδρον, καὶ νόμοις δουλεύων τέχνης οὐδὲν ὅ τι τῶν τούτου ἀδιάβλητον παρεάσω, ἐπ᾽ αὐτῆς τῆς ἀληθείας τοὺς λόγους ποιούμενος. Χώρα τοιγαροῦν Ἀλεξάνδρῳ ἡ μικρὰ Φρυγία, καὶ τοῖς ἰδίᾳ Ἀσιανοῖς πρόσχωρος, λόγον ἔχουσα κέντρου πρὸς κύκλον πρὸς τὴν ἕω Φρυγίαν, ὅπου Ξάνθος ὁ μέγιστος πλημμυρεῖ, τοσοῦτον θαλάσσης ἀπῳκισμένη, ὅσον αὐτῇ τὸ βάρβαρος εἶναι συμβαίνειν τῷ αἰγιαλῷ τοῦ Ἑλληνικοῦ γειτονεύοντος, καὶ τοσοῦτον αὖθις πελάζουσα τῇ θαλάσσῃ, ὅσον τῶν Ἑλλήνων τὰς ἀγχιτάτω νήσους οἰκούντων μηδὲν ἔχειν Ἑλληνικὸν αὐτὴν ὅμορον κατὰ γῆν· καὶ τοιαύτης τῆς χώρας λαχόντι οὐδὲν ἧττον ξυνέβη τούτῳ, καὶ τὰ τῆς πατρίδος φαύλως ἔχειν κατὰ πολύ. Τροία γὰρ αὕτη, ἧς ἐκ καταδίκης θεοὶ πολισταὶ, ὡς περιστῆναι ταύτῃ τὸ σεμνὸν εἰς αἶσχος, καὶ μὴ φθάνειν τοὺς πολιστὰς ὀνομάζεσθαι, πρὶν ἢ καταδίκους εἰπεῖν, καὶ καλὸν ταύτῃ, μὴ πολισθῆναι, ἢ αὖτω πολισθῆναι πονήρως, ἐπὶ προφάσει μηδὲν ἐχούσῃ καλὸν, καὶ ταῦτα θεοῖς, οἷς ὅτι καὶ Λαομέδων ὁ τούτου πρόγονος τὸ τῆς τιμῆς οὐκ ἀπεδίδου πρέπον, ἐστὶ τῷ βουλομένῳ μαθεῖν ἐκ τῆς ἀμφ᾽ αὐτῷ ἱστορίας· καὶ διὰ τοῦτο κἀκεῖνος περὶ

τοὺς θεοὺς ἁμαρτὼν πάντα λόγον ἐπαίνου παρείλετο ἑαυτῷ· οἷς γὰρ ἐν μέρει τὸν Ἀπόλλω θυσίαις ἠμείβετο, οὐκ ἦν καὶ Ποσειδῶνα τιμᾷν, οἷς δὲ τὸν Ποσειδῶνα παρεώρα, καὶ θατέρῳ παρεῖχε μετέχειν τῆς ἀτιμίας, ὃν τέως ἐτίμα παρὰ τὸν ἕτερον· τὸ γὰρ τῶν θεῶν ἴσον τὴν μὲν τοῦ ἑνὸς τιμὴν οὐκ ἐδίδου κοινοποιεῖσθαι πρὸς θάτερον· τὴν δὲ τοῦ λοιποῦ ἀτιμίαν κοινὴν ἐποίει τοῖς δυσίν· οὐ τοίνυν ἦν τὸν Ἀπόλλω τιμᾶσθαι, παρεωραμένου τοῦ Ποσειδῶνος καὶ διὰ τούτων ὁ τέως τὰ εἰς τιμὴν τοὺς θεοὺς διαιρῶν τὰ πάνδεινα ἔπασχεν· τούτου δ' ἐξ ἀνθρώπων γεγονότος, Πρίαμος, ὁ τούτου μὲν υἱὸς, πατὴρ δὲ τοῦ Πάριδος ἐπὶ τῆς ἀρχῆς ἐκαθέζετο, οὐδὲν ἄξιον μνήμης πράξας, οὐ μικρὸν οὐ μεῖζον ὢν εἰκὸς πράττειν τοὺς περιβοήτου εἰληχότας ὀνόματος· ἀλλ' οἰκουρῶν ἦν διὰ βίου τὰ πλεῖστα, καὶ φθάσαν τὸ γῆρας ἀνώνυμον, μόνον ὅτι Φρυγίαν εἰσῆλθε τὴν ἀμπελόεσσαν, καὶ εἶδε θαυμαστοὺς ἄνδρας λέγειν ἐδίδου· ὅ τι δὲ καὶ πράξας μετ' αὐτῶν εἴη οὐδὲν ἔχων λέγειν, παρεχώρει τῶν πρωτείων διηγουμένῳ τῷ Νέστορι· τούτου προῆλθεν Ἀλέξανδρος, πλὴν ἐπὶ κακοῖς τοῖς φροιμίοις, ὀνείρων φρικτῶν τῇ κυϊσκούσῃ ἐπιφοιτώντων, ὅτι τε δαλὸν τέκοι, καὶ ὅτι Τροίαν ἐκεῖνος ἐξάψειεν· γεννᾶται τοίνυν καὶ χερσὶ βουκόλων εἰς τὸ ἐκτεθῆναι πιστεύεται, οἱ δὲ τρέφουσι λαθόντες ἐπὶ σφετέρῳ κακῷ καὶ τῆς πόλεως· πλὴν οὐ κρεῖττον ἢ κατὰ βουκόλους ἀνάγεται, οὐδὲν πλέον πήρας καὶ μοχθηρίας καὶ τοῦ κακῶς εἰπεῖν τὸν πλησίον εἰδώς, ἔστι δ' οὗ καὶ κιθαρίσαι καὶ κορδακίσασθαι πόρρω τῆς ἐμφύτου ἀφιγμένος ἀπαιδευσίας· κἀκ τῆς περὶ τὰ κακὰ ἀσχολίας κόμην περιττὴν καὶ περὶ καλλωπισμοὺς ἀκαίρους ἐσπουδακὼς, καὶ δὴ Φερέκλῳ ὁμοίῳ ὄντι κἀκείνῳ συνίστατο, καὶ ἄλλος ἐπὶ τούτοις καὶ ἄλλος συνήθροιστο· κακή τις ἑταιρεία καὶ νεότης ἀνάγωγος, κἀκεῖνα συνάμα βουλεύονται, ἃ δὴ τοὺς τοιούτους συν-

Digitized by Google

ελθόντας βουλεύειν εἰκός· ὅθεν καὶ κακῶς τοὺς ἰδίους οὐκ ἔχοντες δρᾶν, ἐξ ὧν ἑαυτοῖς συνεπίσταντο, ἐκ τοῦ προφανοῦς κατάφοροι γενησόμενοι, ἀλλοτρίους τόπους καταλαμβάνουσι· καὶ ὅποι ποτ' ἂν ἴοιεν, κακῶς ἐποίουν τοὺς δεξαμένους, κἀὶ τέλος ὅρκων ἀλογήσας καὶ συνθηκῶν, οἷς κατεδεῖτο τῷ Μενελάῳ, τὴν οἱ σύζυγον ἁφαρπάζει, καὶ κακὸς ἐπ' ἀλλοδαπῆς φανεὶς τὸ μοχθηρὸς εἶναι καὶ ἐπὶ τῆς οἰκείας οὐκ ἀπεκρύψατο· ἀμέλει τοι καὶ λαμπρὰν αἴρει ταῖς δυσὶν ἠπείροις τὴν ἔριν, καὶ ξυνάπτει τῇ κατ' αὐτὸν ἀδικίᾳ γένος Ἑλληνικὸν τῷ βαρβάρῳ πρὸς ἀκήρυκτον πόλεμον, ἐφ' οὗ πολλὰ μὲν καὶ ἀμφοτέρωθεν ἴδοι τις ἔργα συνέσεως, πολλὰ δὲ μάλιστα καὶ χειρός· μόνος δὲ Πάρις τῶν συνήθων οὔμενουν οὐκ ἀφίσατο, ἀλλ' ἅπαξ μοιχὸς ἀκούσας καὶ ἄδικος πάντας τρόπους συνιστᾶν βουλόμενος τὸ κακὸν οὐκ ἠσχύνετο, οὔτε τοῖς ἐντὸς συμμαχῶν, οὔτε τοῖς ἐκτὸς ἀνθιστάμενος· κἂν εἴποτέ τις περὶ τῆς Ἑλένης βουλὴν ἐξῆγεν, ὡς οὐκ ἄλλως συνοῖσον τῇ πόλει, εἰ μὴ τὸ γύναιον ἀποδώσουσιν, ἐκεῖνος εὐθὺς τιμωρὸς καὶ κολαστὴς ἀπαραίτητος καλῆς βουλῆς κακαῖς αὐτὸν ἀμειβόμενος δωρεαῖς καὶ ταῖς οἰκίαις παρεισδυόμενος, οὐ λόγον ἐτίθει ἐξ ἀναιδείας, εἶπου καὶ παρὰ τῆς γυναικὸς ὀνειδίζοιτο, καὶ πᾶσι μὲν ἀπηχθάνετο τοῖς Τρωσίν· μόνος δ' Ἕκτωρ ἐθάρρει κακολογεῖν ἐκ τοῦ φανεροῦ, καὶ ἐπιπλήττων δικαίως, ἔστι δ' οὗ καὶ τῆς Ἑλένης παροτρυνούσης ἐξάγει τῆς πόλεως, καὶ μόλις ἐπὶ τῆς μάχης φανέντι, στήλην ἔχοντι κατηγορίας τὴν στήλην, ὑφ' ᾗ δὴ καὶ κέκρυπτο τοξαζόμενος, πάντες μὲν κατηρῶντο, μόνος δὲ Μενέλαος ἐζήτει τούτῳ μονομαχεῖν· οὐχ ὡς σεμνὸν τὸ περιγενέσθαι ἡγούμενος, ἀλλ' ἵνα χερσὶν ἰδίαις τὸν ἀλάστορα τίσηται, κἂν οὕτω ἐγεγόνει, εἰ μὴ τὸ μοιρίδιον ἦγεν ὑπὸ Φιλοκτήτῃ καὶ τοῖς ἐκείνου τόξοις πεσεῖν. Εἶτα τίς αὐτῷ παραβαλεῖ τινα κα-

κοῦργον ἄλλον πρὸς σύγκρισιν; ἀλλὰ πολλοὺς ἂν εὑρήσει, πάντας δὲ κρινεῖ[1] πρὸς τοῦτον, κατὰ πολὺ τὸ ἔλαττον ἔχοντας. ἡ γὰρ ἐκείνων ἑκάστου κακία ἔσχε μὲν δρᾶσαι καὶ αὐτὴ τὰ προσήκοντα, οὐχ οἷα δὲ, ὡς καὶ Ἰλιάδα ποιῆσαι κακῶν· μόνη δ' ἡ τούτου καὶ καθ' αὑτὴν ἀνυπέρβλητος, καὶ τοῖς παθοῦσιν, Ἕλλησί φημι καὶ βαρβάροις, τοσοῦτον δεινὴ καὶ μεγάλη, ὥστε καὶ τῷ παντὶ αἰῶνι διὰ τῆς παροιμίας[2] ταύτην συμπαρεκτείνεσθαι· ἀλλὰ λέγειν ἐκεῖνος τῶν κακῶν οὐκ ἠπίστατο περιὼν, λήγειν δ' ἀνάγκη τὸν περὶ τούτου λόγον διεξερχόμενον.

Cap. IX.

Σύκρισις ἐλαίας καὶ ἀμπέλου.[3]

Καὶ τὰ φυτὰ παρεοικέναι ἀλλήλοις δῶρον καθέστηκε φύσεως· ἐστὶ γὰρ φιλοτιμία ταύτῃ καὶ τὸ παρ-
15 άγειν διάφορα, ὥσπερ γένη, εἴδη ζώων, οὕτω δὴ καὶ φυτῶν· οὐδὲν δ' ἧττον ἀλλὰ καὶ μᾶλλον σεμνὸν αὐτῇ καὶ τὸ προσεοικότα ἀλλήλοις δεικνύναι, μικρῷ τινι τῷ παραλλάττοντι διαστέλλουσαν· ἐκείνῃ μὲν γὰρ τὸ ταύτης πρὸς τὰς τῶν παραγωγῶν ἀποδείξεις καταμανθά-
20 νομεν πόριμον· ταύτῃ δὲ τὸ ἀκριβὲς πρὸς ἅπαν αὐτῆς ἀγάμεθα καὶ σωτήριον· εἴπου γάρ τι καὶ τὸ τῆς ὕλης ταυτίζοιτο, καὶ πρὸς τὸ παρόμοιον τὰ πραχθέντα συστέλλεσθαι ἀναγκάζοιτο, τὸ εἶδος ἐπενεχθὲν καὶ πρὸς τῷ ὁμοίῳ διαφορὰν ἀμηγέπη τοῖς γένεσι τίθησιν, ὅπερ
25 καὶ ἐπὶ ἀμπέλῳ τε καὶ ἐλαίᾳ δειχθήσεται περὶ τούτων ἄρτι διεξιοῦσιν ἡμῖν. Ἐλαία καὶ ἄμπελος ἄμφω δῶρα θεῶν· ἡ μὲν γὰρ Ἀθηνᾶς, τοῦ Διονύσου δ' ἡ ἄμπελος,

---

1 Cod. κρίνει. 2 Apostol. et Arsen. in Violeto p. 303. Ἰλιὰς κακῶν ἐπὶ· ἐπὶ τῶν μεγίστοις συμφοραῖς κεχρημένων λέγεται, ubi vide notam nostram. Adde Boisson. Anecd. Tom. III. p. 177. καὶ τὰ τῶν Λημνίων ἐκεῖνα καὶ τὰ τῆς Ἰλιάδος κακά.

3 Idem thema tractat Nicol. Soph. X. 7.

θεῶν ὁμοίων, πρὸς τοῖς ἄλλοις καὶ τὰ εἰς γένεσιν· ἡ μὲν γὰρ κεφαλῆς Διὸς ἐκ Μήτιδος γέννημα, ὁ δὲ μηροῦ Διὸς ἐκ Σεμέλης κύημα· ὅσον γοῦν ἔσχον οἱ παραγωγεῖς θεοὶ τὸ παρόμοιον τῆς γενέσεως, τοσοῦτον καὶ τὰ παραχθέντα[2] τὸ ταὐτὸν ἔχουσι· τὸ δ' αἴτιον τῆς τούτων παραγωγῆς, ὅτι Ἀθηνᾶς μὲν ταύτης δὴ καὶ Ποσειδῶνος ἀμφισβητούντων τῆς τῶν Ἀθηναίων πόλεως, καί σφισιν ἐπιτρεψάντων κρίνειν, ἐκείνου τὸ ῥᾴθιον δείξαντος αὖτη θαλλὸν ἐλαίας ἀνίησι, καὶ παραυτίκα νικᾷ τὸν ἀντίζηλον· Διονύσιος δὲ ταῖς δεχομέναις αὐτὸν πόλεσι φιλοτιμεῖται τὴν ἄμπελον, καὶ ἄμφω θεῶν προελθόντα φιλοτιμίας ἕνεκα τῆς αὐτῆς οὐδὲν ἧττον καὶ τὴν διαδοχὴν ὁμοίαν ἀνειλήχασιν· οὐ γὰρ ἐκ καρποῦ τοῦ σφετέρου, ὡς τὰ πλεῖστα τῶν ἄλλων, ἀλλ' ἐκ στελέχους γεννῶνται, ἐξισαθείσης γεωργικῇ κοπίδι καὶ τῆς τομῆς, ὡς εὐθὺς βλαστοὺς ἀνεῖναι καὶ μὴ ἐκ τοῦ δυνάμει προάγεσθαι εἰς ἐνέργειαν. καὶ τὸν ὅμοιον τρόπον ταῦτα γινόμενα ὁμοίως αἱροῦσιν ἐν μέρει καὶ ἀριστεῖς δύο, οὓς μάχη καὶ πόλεμος οὐκ ἐκράτησεν, καὶ Ἡρακλῆς μὲν τοὺς τῶν Ὑπερβορέων διερχόμενος τόπους, ὅλον ἐλαίᾳ αἱρεῖ, τῷ καθ' αὑτὴν θαύματι· Τήλεφον δὲ μαχόμενον Ἀχιλλεῖ ἄλλον τρόπον αἱρεῖ ἄμπελος, καὶ συμποδισθεὶς ὁ ἥρως πίπτει καὶ πλήττεται, στεφανοῦται δ' Ὀλυμπιάσιν ἐλαίας κοτίνῳ ὁ τῶν ἀναγωνιζομένων περιγενόμενος, στεφανοῦται καὶ ἀμπέλων κλάδοις ὁ τοὺς ἄλλους παρὰ τὸν πότον νικῶν, ἔστι γὰρ κἀκταῦθα ναμικὸς ἀγὼν καὶ νίκη τοῖς πίνουσι. Τὸν δὲ τῆς ἄνθης καιρὸν τὸν αὐτὸν ἔχουσαι καὶ ἀμφότεραι, ἦρι γὰρ ἀνθοῦσι, καὶ πρῶται τῶν ἄλ-

2 Cod. προχθέντα, scr. παραχθέντα, ut Dem. Lept. p. 497. παραγ
l. 6. μὴ δὴ παραγόντων ὑμᾶς, F. Bekkeri πραττόντων. Eodem modo confunditur προάγειν et πράττειν, vide ad Minutian. p. 733. Ald.

λων σχεδὸν τελεσφοροῦσι· καὶ πάλιν ἅμα τὸν καρπὸν ὕστεραι καὶ παρὰ ταύτας καὶ μόνας τὸ μετοπωρινὸν κάρπιμον δείκνυται, καὶ ἡ βραδυτὴς τοῦ καιροῦ πρὸς τὴν πέπανσιν τὴν εἰς ἄκρον τελεσφόρησιν παροράᾳ· ἅμφω δὲ καὶ κατὰ ταὐτὰ τῷ καρπῷ βρίθουσι, καὶ ῥάγας ἴδοις ἐλαίας παρεμφερεῖς, αἱ δὴ τῶν ἀτελεχῶν ἀπηώρηνται παρ' ἀμφότερα, καὶ παρακινοῦσι πόθῳ δριμεῖ τὸν μεταληψόμενον, καὶ οἱ καρποὶ ἀμφοτέρων στεμφύλῳ συνέχοντες τὸ ὑγρὸν ἐντὸς φέρουσι τὸ στερέμνιον· καὶ παρὰ τὰς τῶν ἄλλων δένδρων φορὰς μόνον ἐχούσας τὸ βρῶσιμον, αὗται πρὸς τῷ βρωσίμῳ θλιβόμεναι καὶ τὸ πότιμον ἔχουσι. τὸ δὲ χρῶμα τούτων ἔστιν οὗ καὶ συμφέρεται, ὅταν βλέπῃς τὸν καρπὸν αὐτῶν ὁμφακα, καὶ αὖθις ὅτε περκάζουσιν· εἰ δὲ καὶ ἐλαίῳ οἱ παρὰ τοὺς ἀγῶνας ἀλείφονται, ἀλλὰ καὶ Ἑκάβην οἶδας οἴνῳ δεξιουμένην πολεμοῦντα τὸν Ἕκτορα. Ἱλαρύνει θάλασσαν χεόμενον ἔλαιον· ἀλλὰ καὶ οἶνος ἱλαρύνει καρδίαν φλεγμαίνουσαν· σύνεργεῖ φωτὶ καὶ πρὸς ἄναψιν ἔλαιον, καὶ ὃ φῶς ὀφθαλμοῖς, ταῖς ψυχαῖς ἀλήθεια· οἶνος[3] δὲ λέγεται καὶ ἀλήθεια· ἀρτύει πεπαῖνον καὶ βρώματα ἔλαιον, ἡδεῖαν καὶ οἶνος πινόμενος τὴν τροφὴν ἀπεργάζεται· καὶ νοῦν ὀκοτίζει εἰς κόρον πινόμενος ἄκρατος, καὶ καχλάζον ἐκχεόμενον ἔλαιον τοὺς ὀφθαλμοὺς ἐκτυφλοῖ, ὡς ἡ κατὰ Πέρσας ἱστορία διδάσκει με· καὶ τὸ μεῖζον, ὅτι καὶ συνάμφω ταῦτα τοῖς Ἀσκληπιάδαις μεγέντα κεκακωμένοις ἐπήρκεσε μέλεσιν. Ἦν εἰπεῖν καὶ ἄλλα πλεῖστα, καὶ παραστῆσαι τούτων τὸ ὄρειον, εἰ μὴ τὰ ῥηθέντα ἀρκούντως ἔχειν ἡμῖν ἔδοξεν.

---

3 Cfr. Arsen. Violet. p. 379. sub prov. οἶνος καὶ παῖδες ἀληθεῖς.

Cap. X.

Ἠθοποιΐα.

Τίνας λόγους εἴποι φειδωλὸς ἀναγκαζόμενος ἑστιᾶν ἑτέρους καλέσαντας πρότερον.

Φεῦ, ὡς λαμπρὸς ἑστιάτωρ ἐγὼ καὶ περὶ τὰ θεῖπνα φιλότιμος· ὡς εὐδαίμων τῶν πολυτελῶν ἀναλωμάτων, ὧν ἑστιᾶν ἄναγκάζομαι τοὺς χθὲς καὶ πρώην καλέσαντας, ὡς εὐκλεὴς τῆς λαμπρᾶς τραπέζης, ἣν οὔπω πρότερον ἐπὶ τῆς οἰκίας ἑώρακα· τί ταῦτα θεοί, πῶς ἐκτέτραπταί μοι τὰ τὴς διαίτης, πῶς ἐξαίφνης τῆς καλῆς ἐκείνης συνηθείας ἐξέστην, ἣν εἶχον ἐξέτι νηπίου καὶ πρότριτα, ποῖος τελχίν μοι τῆς ἀπραγμοσύνης ἐβάσκηνε, τίς δαίμων εἰς τοῦτο ἀποπληξίας ἤγαγεν, ὥστε τὰ ἐμαυτοῦ δαπανᾶν καὶ χαίρειν δοκεῖν ἀναγκάζεσθαι, ἐμοὶ γὰρ οὐδὲ τούτων μόνον ἀρκεῖ τῶν κακῶν, τὸ δαπανᾶν εἰς οὐδὲν χρήσιμον, ἀλλ' εἰ καὶ μὴ προπίνοιμι χαριέντως τοῖς δαιτυμόσι τὸν ἄκρατον, οὐκ οἰστὰ τοῖς παρασίτοις τούτοις καὶ φιλοσκώμμοσι· βαβαὶ τῆς μανίας, ἦν ποτε ταῦτα πρᾶξαι νοῦν ἀνδρὸς ἔχοντος; ἦν ποτε ὀρθῶς βιοῦντα καὶ τοὺς λογισμοὺς ὑγιαίνοντα οὕτω διατεθῆναι πρὸς τὰ οἴκοι, καὶ ἀναλοῦν ἐν ὀλίγῳ τὰ χρόνου συναχθέντα συχνοῦ καὶ σπουδῆς μείζονος; οὐκ ἔστιν εἰπεῖν, εἰ μὴ μαίνομαι· ὤμοι τῶν προτέρων ἐκείνων καὶ καλῶν ἡμερῶν, ὅτε κατ' ἐμαυτὸν ζῶν οὐ μικρὸν περιειργαζόμην. οὐ μεῖζον ἕτερον, ὅτι μὴ πῶς ἂν τὰ τοῦ βίου αὐξάνοιτο, ὅτι ἀγαπητὸν ἦν μοι, ἐπὶ τῶν γονάτων τρύφος φέροντα, θεραπεύειν τὴν γαστέρα, τὴν ἀχάριστον δέσποιναν, τὸ ἀνεμπίστευτον ταμεῖον, τὴν ἀεὶ τοὺς φόρους ἐκλέγουσαν, καὶ αὖθις ἕτερα πράσσουσαν. ὦ πῶς τὸ σῶφρον ἐφίλουν καὶ ἄτυφον καὶ περὶ τὰς δαπάνας μικροπρεπές· ὦ πῶς ἔχαιρον καὶ λι-

Digitized by Google

μώττων, καὶ δι' ἡμέρας πάσης διψῶν οὐκ ἐφρόντιζον· ὦ τῆς λιτῆς ἐκείνης καὶ σχεδίου τροφῆς, τῆς ἀπὸ καρδάμου καὶ ὕδατος· φειδωλὸς παρά τινων ἤκουον, ἀλλ' αὐτάρκη ἐκάλουν ἐγὼ ἐμαυτόν· ὡς ἄγριός τις ὠνειδιζόμην καὶ ἀσύμβουλος ἄνθρωπος; ἀλλ' ἐγὼ φιλόσοφον ὠνόμαζον ἐμαυτὸν, ἀποζῶν ἀποχρώντως τοῖς ἀναγκαίοις, καὶ τῆς τῶν πολλῶν ἀναχωρῶν κοινωνίας, ὡς ὀχληρᾶς, οὐκ ἐκαλούμην εἰς δεῖπνα καὶ ξυνουσίας, ἀλλ' οὐδ' ἐγὼ περὶ τοιούτων ἐφρόντιζον πώποτε· νυνὶ δὲ τί; ἐξίσταμαι νὴ τοὺς θεοὺς ἐμαυτοῦ τὸ παρὸν ἐννοούμενος· τίς ἡ περὶ τραπέζας αὕτη σπουδή; τίς ὁ παρὼν τῶν δαιτουμένων ὄχλος; τί δὲ καὶ παρασίτους ἕκαστος ἐπιφέρεται; τίνος εἰς θεοὺς ἀμπλακίας τὰς ποινὰς ταύτας ὑπέχω τανῦν· ἔθυσα βοῦν, πολλοῦ τινος φεῦ εἰλῆφὼς πρόβατα, μήπω τοῦτο παθὼν πρότερον· ὄρνις ἐπὶ τραπέζης εἶδον ὀπτοὺς, καὶ καθαρὸν [1] ἄρτον ἡτοίμασα, καί σησαμοῦντας, ὦ τοῦ πάθους, παρεθέμην καὶ πόπανα, ἔστησα κρατῆρα καθαροῦ καὶ εὐώδους οἴνου, οἱ δὲ, ὥσπερ λύκοι ἢ θηρία ποθὲν ἐξ ἐρημίας φανέντα, τοῖς μὲν παροῦσιν ἐντρυφῶσι δυσὶ χερσὶ καὶ σιαγόσιν, ὃ λέγεται· ἄλλα δ' ἐκδέχονται πάλιν, καὶ τῆς ἑτοιμασίας ἐμὲ μακαρίζουσιν. ἐγὼ δὲ ζῶ καὶ ἔτι, καὶ τὸν ἀέρα πνέω, καὶ τούτοις ἐξ ἀνάγκης συμφέρομαι, ὦ ἄθλιος καὶ τρισάθλιος καὶ τετράκις καὶ πεντάκις ἐγώ· ἐξαντλῶ τὸν βίον καὶ μακαρίζομαι, ἐκφέρω τὰ τίμια καὶ δοξάζομαι, μωραίνω, καὶ φρόνιμος εἶναι λογίζομαι· φρό-

---

1 ἄρτος καθαρὸς, ex pura tritici farina factus, segregato furfure, quo homines lautiores utebantur. Stob. T. 17. 16. ὁ Διογένης καθαρὸν λαβὼν ἄρτον ἐξέβαλε τῆς πήρας, τὸν αὐτόπυρον, εἰπών· ὦ ξένε, τυράννοις ἐκποδὼν μεθίστασο. cfr. Wyttenb. ad Plut. de Virt. et Vit. p. 101. C. contrarii generis fuit ἄρτος λιτὸς, ὑπαρός. ibid. p. 101. D.

Digitized by Google

φρόνησις ταῦτα καὶ δόξα καὶ εὐφημία, ἢ πολλὴ μᾶλλον μωρία καὶ αἰσχύνη καὶ δυσφημία παρὰ τοῖς ἐπιεικέσι καὶ σώφροσι· παρ' ἕκαστον ἐνοχλοῦσι κρατῆρα προπίνοντες, καὶ τὸ, φίλους καὶ ἑταίρους καὶ συμπότας καὶ συντρόφους λέγουσιν, ὡς ἀπόλοιτο σὺν αὐτοῖς ταῦτα. Ἐγὼ δὲ μὴ καὶ αὖθις ζώειν μηδέποτε, δευτέρων τοιούτων πειραθησόμενον· συχνάκις φιλοτιμοῦνταί καὶ πρὸς ἐμὲ, οὐκ ἐσθίεις, λέγοντες, ἄνθρωπε, λαβὲ τούτῳ [2] τὸ μέλος, ἅψαι κρατῆρος, ἀπόλαυε καὶ τῶν σῶν, εὖγε τῶν ἐμῶν φῃς· καὶ δεῖ τἀμὰ οὕτως ἀσώτως κατασποδοῦν; οὐ φέρω ταῦτα, παρόντες, ἀπολύγομαι τὴν ζωὴν, μία μοι τούτων τῶν κακῶν λύσις, ὁ θάνατος, οὐ χρῄζω ζῆν, εἰ τοιαύταις ἀσχολίαις ἐκδέδομαι, ἀπέλθω παρὰ τοὺς πλείονας, [3] ὅπου σὺν τοῖς ἄλλοις ἐστὶ καὶ τὸ ἄτροφον· οὐ δεῖπνα ἐκεῖσε καὶ φιλοτησίαι καὶ τράπεζαι, οὐ δαιτυμόνες, οὐχ ἑστιάτορες, οὐχ ἕτερον ἄλλο δαπανηρόν· εἰ δὲ καὶ τῶν κακῶν νομίζεται θάνατος, ἔστω καὶ τούτῳ ποινή μοι καὶ τίσις τῆς ἐκπλήκτου ταύτης καὶ μανιώδους ἐπιχειρήσεως, ὡς ἔδει τὴν ἀρχὴν τὴν παρ' ἄλλων κλῆσιν ἀπείπασθαι, ἢ προσέμεινον τότε, ἢ νῦν ἔχειν πράγματα· ὡς ἔδει μηδὲν καθυφέσθαι τῆς συνηθείας, ἢ παραλύσαντα ταύτην νῦν καὶ παρὰ τὴν φύσιν αὐτὴν ἀναγκάζεσθαι· δώσω τοιγαροῦν δίκας ἀξίας, θανὼν ἑκούσιος, δώσω γενναῖον τοῖς ὀψιγόνοις ὑπόδειγμα, ὡς ἂν τοῦ λοιποῦ σωφρονίσω τοὺς κατ' ἐμὲ, καὶ πείσω, ἢ μηδὲν τῶν ἀρχῆθεν ἠθῶν παραλύειν, κἂν εἴτι γένηται, ἢ πολλάκις ἐξ ἀφροσύνης τινὸς παραλύσαντας τοῦ ζῆν ἀνθαιρεῖσθαι τὸν θάνατον.

---

2 Forsan τοῦτο τὸ μέλι. 3 πλείονες, mortui, vide Is. Casaub. ad Diog. L. I. segm. 104.

Cap. XI.

Ἔκφρασις τοῦ Αὐγουστεῶνος.[1]

Τὸ τοῦ θεοῦ τέμενος ἡ σοφία πολλαῖς μὲν καὶ παντοδαπαῖς ταῖς ἐντὸς ὡράϊσται χάρισι, πολλαῖς δὲ καὶ ταῖς ἐκτὸς κεκαλλώπισται, καὶ τούτων τὸ θαῦμα κρεῖττον ἢ λέγειν, ὅτι καὶ σιγῇ μᾶλλον ἐστὶ τοῖς ὁρῶσι τῶν θεαμάτων κατατρυφᾶν, ἢ λόγοις διεξιέναι τὰ καὶ λόγους αὐτοὺς ὑπερβαίνοντα. Οὐδὲ γὰρ ἅπαξ μόνον ἢ δεύτερον ἢ καὶ πλειστάκις ἐστὶν ἰδόντα ταῦτα καὶ μεθ' ὑπερβολῆς θαυμάσαντα ἀγαπᾶν, ἀλλ' ὅσον ἄν τις καὶ βλέποι, μᾶλλον θαυμάζει, καὶ τότε πρώτως ὁρᾶν ἠγεῖται, ὅτε καὶ παραστὰς ἐντρυφᾷ τοῖς θεάμασιν, εἰ καὶ πολλάκις εἶδέ τις[2] καὶ τεθαύμακε. Περὶ γοῦν τούτων[3] τόσον ἀπέχω λέγειν, ὅσον καὶ ἄφθεγκτον κάλλος ἡγοῦμαι τοῦτο καὶ μυστικὸν, καὶ ὃ θεῷ μόνῳ πρέπει, τοῦτο δευτέρως ἔχειν κατ' ἐμαυτὸν πιστεύω, τὸ θεῖον τοῦτο καὶ ἱερὸν σκήνωμα. ὡς εἴπερ ἐστὶν ἐν χειροποιήτοις ναοῖς κατοικεῖν τὸν θεὸν τοῦτον εἶναι καὶ μόνον αὐτὸν ἁπάντων τῶν ὑπὸ ἥλιον· ὃν δ' ἐστὶν βλέπειν ἐπ' ἀριστερᾷ τὸν νεὼν εἰσιοῦσιν ἐξ ἁρμογῆς λίθων ἱστάμενον κίονα, καὶ τὸν ἐπ' αὐτοῦ ἀνδριάντα, τολμητέον δοῦναι τοῖς λόγοις, καὶ ταῦτα παραστῆσαι τῷ μὴ ἰδόντι, καθόσον οἷόν τε· ἔχει γὰρ ὧδέ πη, ὡς ὁ λόγος διέξεισιν· Αὐλεὼν ἐξ ἀρχαίου τῷ θείῳ τούτῳ νεῷ οἰκοδομήσασι

---

1 Ad marg. γρ. τοῦ Αὐγουσταίου, ὃ καὶ μᾶλλον κατὰ τὸν Προκόπιον. [I, 2.] cfr. Nicephor. Gregor. VII. 12. 4. Exhibet descriptionem nostram Boivinus in notis ad Gregoram p. 39. ed. Ven. ex codice nostro repetitam. Quod mihi cum relictis demum Parisiis innotuisset, codicem ipsum cum Boivino conferre non potui, unde factum, ut nostrum apographum aliquando ab illo discrepet, quod accurate notavi. 2 Bo. τε. 3 Bo. τούτου.

Digitized by Google

δημοσίοις περιτετείχισται, οὗ μέσον ὁ Αὐγουστεὼν ἵσταται, καὶ ἔστιν οὗτος Αὐγούστου στήλη Ἰουστινιανοῦ, εἰς τιμὴν ἐκείνῳ σταθεῖσα, ἄρτι τῶν κατὰ Περσῶν πόνων ὑπανακύψαντι. Βάθρον ἐκ γῆς ὑπανέχει τὴν κίονα, τὸ δὲ βάθρον κλίμακες μέχρι καὶ εἰς ἑπτὰ βαθμίδας λευκῆς μαρμάρου ἀνῳκοδόμηνται· τὰ δὲ κάτω τῶν βαθμίδων μέχρι καὶ εἰς τὰς τρεῖς, οὕτω τοῦ χρόνου καινοτομοῦντος κατὰ γῆς κατωρύχαται,[4] ἀπὸ πλατέος τοῦ κάτω εἰς στενὸν λήγουσαι, πλὴν οὐκ ἀφ' ἑνὸς μέρους, ἀλλὰ πανταχόθεν, κατὰ σχῆμα τετράγωνον ὡς ἀναβαίνειν μὲν κάτωθεν, ὁπόθεν τις βούλοιτο, εἶτα δὲ κατανταῖν εἰς ἀγχώμαλον, κἂν ἦν καὶ ἰδεῖν ἐπίπεδον τοῦτο διόλου, εἰ μή τι ἐπ' αὐτοῦ ἐξ ὀπτῆς πλίνθου τε καὶ τιτάνου οἰκοδόμημα κατεσκεύαστο, τέτρασι μὲν ὡς ἰδεῖν κατὰ γωνίας τὰς ἴσας κίοσι συνεχόμενον, οὐ μὴν δὲ καὶ κίοσιν ἄντικρυς, πλὴν ὅσον ἰδεῖν. ἐπιπολῆς γὰρ πλάκες[5] μαρμάρων ἐξυφασμέναι τὰς ἐντὸς πυρομάχας[6] λίθους συγκρύπτουσιν, ὡς ἐστὶ μαθεῖν ἐκ μιᾶς ἀποβαλούσης τῷ χρόνῳ τὴν πλάκωσιν καὶ τὸ τοῦ οἰκοδομήματος σχῆμα εἰς κύβον ἀποτετόρνευται, τῶν ἐξ ἐπιπέδων τὰ κατὰ τὸ πλατίον[7] τέτταρα στοαῖς καλλυνομένων τέσσαρσιν· ἄνωθεν δὲ τούτου πάλιν βάσις ἑτέρα μαρμάρου λευκῆς, καὶ αὖθις ἐπ' αὐτῆς ἄλλη, ἐφ' ἧς καὶ τρίτη, καὶ ζώνη τις ἐπὶ ταύταις ἀπὸ μαρμάρων τετάρτη, ὡς τὰς τρεῖς μὲν ἀπὸ πλατέος καὶ ταύτας εἰς στενὸν καταντᾶν, τὴν δὲ ἐπ' αὐταῖς ζώνην κυκλοῦσθαι, καὶ διδόναι τῷ στύλῳ τὴν βάσιν ἁρμόζουσαν. ἐντεῦθεν ὁ στύλος ἐπῳκοδόμηται, πάλαι μὲν ὡς ἀκούομεν, κεκαλυμμένος[8] ποικίλῳ τεμεσίῳ[9] χαλκῷ, εἰ δὲ πιστευτέον τῷ λέγοντι, οὐ πολ-

4 Bo. ὑπορήχαται. 5 In cod. scriptum videtur: ἐπὶ πολλῆς γαρ πλάκης. recte emendavit Bo. 6 „a nominativo πυρομάχη." Bo. 7 Bo. πλάγιον. 8 Cod. κεκαλυμμένον. 9 In Cod. supra lineam scriptum: ταμασίῳ.

λῷ καὶ ἀργύρου δέοντι, νῦν δὲ γυμνὸς τὸ παράπαν φαινόμενος, ὡς ἀριθμεῖσθαι καὶ τοὺς λίθους αὐτοῦ, [10] ὁπόσοι, καὶ ὅτι πυρομάχαι εἰδέναι, καὶ ὅπως ἁρμόζονται, ἔχων καὶ ζώνας τῆς αὐτῆς λευκῆς λίθου κατὰ τὸν κάλαμον· πλὴν ὅσον τὸ ἴσον πρὸς ἀλλήλας τοῦ διαστήματος ἔχουσαι μέχρι καὶ δεκάδος προΐασιν· ἐντεῦθεν ἄλλαι ζῶναι μαρμάρου λευκῆς, ἀλλὰ συνεχεῖς αὗται, δευτέρα ἐπὶ πρώτῃ, καὶ τρίτη ἐπὶ δευτέρᾳ καὶ ἑφεξῆς, ἄχρις ἐννέα διήκουσαι, πλὴν οὐκ ἐξ ἴσου τὴν ἐποικοδομὴν ἔχουσαι πᾶσαι, ἀλλ' ἐπὶ τὸ πλατύτερον ἀνοιγόμεναι, βάσιν ὥσπερ [11] εὐρεῖαν τῷ ἐπικειμένῳ παρέχουσαι· τὸ δέ ἐστιν ἐπὶ ταῖς ἐννέα ζώναις τὸ δέκατον, ὡς ἂν καὶ τοῦτο τὸ μέρος μὴ στεροῖτο τῆς τοῦ ἀριθμοῦ τελειότητος· τὸ δὲ σχῆμα τοῦ λίθου τετράγωνον, ἀλλὰ κατὰ τὰ μέσα συνιζάνον, ὡς οἷον τὰς γραμμὰς κλᾶσθαι, καὶ λίθοις σημειοῦσθαι τὰς κλάσεις, καὶ παρὰ τούτους καὶ μόνους χαλκῷ τὸ πᾶν τοῦ λίθου καλύπτεσθαι γύρωθεν. ἐντεῦθεν αὖθις συστέλλων ὁ τεχνίτης τὸ οἰκοδόμημα τίθησι λίθον παχὺν, καὶ ἐπ' αὐτῷ ἕτερον πρὸς αὐτὸν μὲν ἐλαττούμενον, ἱκανὴν δὲ βάσιν τῷ ἵππῳ διδόντα· οὐ μόνον γὰρ ἔδει πλάτους τῷ στύλῳ, ἀσφαλείας χάριν τῶν ἐπικειμένων, ἀλλ' ἑτέρωθεν καὶ στενότητος, ὡς ἂν πανταχόθεν ἀρίδηλον ᾖ τὸ ἐπικείμενον τέχνασμα· τὸ δὲ ἵππος ἐστὶ χαλκοῦς, θαυμαστῶς τοῦ σχήματος ἔχων, καὶ ἥκιστα παρορᾶσθαι τοῖς παριοῦσιν ἄξιος, εἰ καὶ πολλάκις τις τῆς ἡμέρας ἐκεῖσε διέρχοιτο· εἴποις ἂν αὐτὸν βλέπων πρὸς ἄνεμον τρέχειν ὁρμῶντα, καὶ τῆς πρὸς ἀνατολὴν ἅπτεσθαι· οὕτως ἄρα τὸ τῆς κεφαλῆς ἐσχημάτισται, ὡς ἀνασεσοβημένην εἶναι καὶ πρὸς βορρᾶν μικρὸν παρεγκλίνουσαν· οὕτως αἱ χαῖται καὶ ὅσαι τρίχες τῇ κεφαλῇ [12] ἐμπεφύκασι, φυ-

10 Bo. αὐτῷ 11 Bo. οἷον. 12 Cod. τῆς κεφαλῆς. Bo. τῇ κεφαλῇ.

Digitized by Google

γοῦσαι τὸ εὔθετον, διεγείρονται καὶ πρὸς ἄνεμον παίζουσιν. Εἰ δέ που σὺν ταύτῃ καὶ τὸν [13] ἀριστερὸν τῶν ἐμπροσθίων ἴδοις ποδῶν, πῶς κατὰ γόνυ κυρτοῦται, καὶ τῶν ἄλλων ἐρηρεισμένων εἰς γῆν αὐτὸς μόνος ἠώρηται, εἴποις ἂν κινεῖσθαι δὴ καὶ τὰ ἄψυχα· εἰ δὲ καὶ χαλινὸν ἔφερεν ἐπὶ στόματος, ὡς ἔχειν εἰκάζειν τὸ πάλαι τὸν ὀρθῶς σκοπούμενον, θάτερον ὑπονοοῖτο δυοῖν, ἢ τῷ ὑτῆρι ἀγχόμενος κροαίνειν ἐκ βίας τῷ ἐμπροσθίῳ, ἢ μὴν ἀνιέμενον οὕτως ἐπιταχύνειν τὰ τῆς πορείας, ὡς μὴ φθάνειν τοῦτον τῆς γῆς ἅπτεσθαι, καὶ προφθάνειν τὸν ὄπισθεν. οὕτως ἄρα ἐκ πνεύματός τινος ἐγκαρσίου ἐμφύτου πρὸς τὴν ὁρμὴν καὶ τὰ στέρνα τῷ ζώῳ εὐρύνονται, ὡς ἐπισημαίνειν καὶ τὰ οἰδήματα· οὕτως ἀκμάζουσα ἡ οὐρὰ ὄπισθεν, οὐ κατὰ τρόπον [14] κειμένη, ἀλλ' οἷον ἀνεγηγερμένη τὸ πρῶτον, εἶτα καθιεμένη παρὰ πόδας ἐς γῆν· ὅρα δὲ καὶ τὸν ἐπιβάτην εὐθὺς, ἱππότου δρομέως ἔχοντα [15] σχῆμα, καὶ τοὺς πόδας παρὰ πλευρὰν ἑκατέραν διέχοντας, [16] εἰ δέ γε καὶ ἐπιβάδας φοροίη, ἀλλ' εἰκάσας [17] ἂν αὐτὸν ἐπὶ γαννυμένῳ τῷ ἵππῳ καὶ κυδρουμένῳ, ὅτι καὶ δίχα κέντρου καὶ μάστιγος ἱκανῶς ἀνυστά οἱ τὰ τοῦ δρόμου καὶ τῆς προθέσεως· καὶ οὕτως ἀτημελήτως οἱ πόδες ἔχουσιν, ὥστε δοκεῖν αὐτοὺς ὑφ' αὑτῶν κρατεῖσθαι, τοῦ καρδιακοῦ ἐξημμένους κινήματος, μηδὲν συνεχομένους ἐς ἐφεστρίδος κατὰ τὸ σύνηθες· ἐπικάθηται γὰρ τῷ ἵππῳ θαρρῶν, ἱππότης νεανικὸς, ὅλος μετάρσιος καὶ ἔοικὼς μακρὰν βλέποντι. ἀνὴρ οὐ τριχώσει φίλος τὰ πρὸς ὑπήνην· τὰς δ' ἀπὸ κεφαλῆς τρίχας ἀπεθρισμένος μὲν τὰς ἐς μέτωπον· τὰ δ' ὄπισθεν οὐδὲ μέχρι αὐχένος, ὅσον καὶ αὐτὸν ὁρᾶσθαι κουρᾷ χαίροντα· οἷον δὲ καὶ τὸ ἐπὶ κεφα-

13 Bo. τό, 14 „an τόπον?" Bo. 45 Cod. ἔχον τό. Bo. ἔχοντα σχήματα. 16 Bo. διέχοντα. 17 Bo. εἰκάσεις ἀ. ἄ. ἐπιγαννυμένῳ.

λῆς κράνος, ὡς μηδὲν ἐπικαλύπτειν καὶ τὸν φοροῦντα κοσμεῖν· οὐδὲ γὰρ κατὰ πλάτος ἐπίκειται, οὐδέ γε κατὰ κύκλον ἀποτετόρνευται· ἀλλ' ὅσον μὲν ἐγγίζει τῇ κεφαλῇ στέφανος εἶναι δοκεῖ, κρατάφους περιγράφων ἐξ ἴσου καὶ μέτωπον· τὸ δ' ἐντεῦθεν καὶ ἄνω ἠρέμα κατὰ μῆκος ἐκτέταται, καὶ εἰς πολὺ φθάνον πτερὰ τῇ κεφαλῇ χρυσαυγῇ γίνεται· καὶ τὸ χρῆμα καὶ ἐς ἐμὲ ἦν ἀκέραιον. ἀνέμου δέ ποτε πνεύσαντος ἐξαισίου ῥιπτοῦνται δύο πτερὰ, καὶ τότε μέγιστα πολλῷ τοῖς ὁρῶσιν ἐφαίνετο, ἢ καθόσον ὁρῶνται κοσμοῦντα τὴν κεφαλήν· ἃ δὴ καὶ ἐς δεῦρο παρὰ τῷ τῆς ἐκκλησίας ταμιείῳ ἀποτεθησαύρισται· ἔσταλται δὲ καὶ σῶμα, ἐντὸς μὲν οὐ περιττῇ τινι καὶ περισσευομένῃ στολῇ, ἀλλ' οἵαν εὐσταλὴς ἂν ἱππότης ἀμπίσχοιτο, ἄνωθεν μὲν μόλις καὶ ἐς ἀγκῶνα, κάτωθεν δὲ πρὸς γόνατα φθάνουσαν· ἀνῆπται δὲ καὶ μανδύαν ἐκτὸς, στολὴν, ὥς φασιν, Ἀχίλλειον, ἢ καί τινα καλύπτουσα τῶν μερῶν κἀκεῖθεν ἐπὶ τὸν ἀριστερὸν ὦμον ἐπικειμένη φθάνει, καὶ μέχρι τῆς τοῦ ἵππου ἰξύος, πολύ τε μέρος περιλαμβάνει τῶν ὄπισθεν, καὶ περιττὴ περικέχυται· αἱ μέν τοι χεῖρες τῷ ἀνδριάντι οὐκ ἀσχολοῦνται περὶ τὸν ἵππον, οὐδ' ὅσον καὶ ἰθύνειν ἱππηλάτου τρόπον δοκεῖν, ἀλλὰ τὴν μὲν δεξιὰν ὑψοῦ ἀνατείνει, καθόσον οἷόν τε, μετά τινος ἀρεϊκοῦ καὶ γενναίου φρονήματος· καὶ ἐμβριθῶς ἀπειλουμένῳ ἔοικε τοῖς ἐχθροῖς· πλὴν οὐκ ἀπονοίας τινὸς καὶ θράσους ἀλόγου, ὡς ἂν οἰηθείη τις, φθάνει γὰρ ἡ λαιὰ, τὴν δεινὴν ταύτην ἀναιροῦσα δόξαν καὶ ὑπεραπολογουμένη τἀνδρὸς εἰς τὰ μάλιστα· κατέχει γὰρ ἐπὶ ταύτης μικρὸν ἀπεχούσης τοῦ σώματος μῆλον χαλκοῦν ἐπίχρυσον, ἐφ' οὗ καὶ σταυρὸς ὁμοίως ἔχων τῆς ὕλης ἵσταται, καὶ ἔοικε δεικνύειν ὁ θατέραν ἐκτετακὼς καὶ μετ' ἐμβριθοῦς ἀπειλούμενος σχήματος, ᾧ θαῤῥῶν ἀπειλεῖται, ὅτι καὶ τὸ μῆλον εἰκονίζειν ἔχει τὸν κόσμον, ὃν

καὶ χειρὶ περισχεῖν πάσης γῆς ἀναψάμενος τὸ κράτος δυνάμει τεθάρρηκε τοῦ σταυροῦ.

Cap. XII.

Θέσις, εἰ πλευστέον.

Καλὰ μὲν τὰ αὐθιγενῆ δῶρα τῶν πόλεων τοῖς ἐποίκοις, ἃς θάλαττα περικλύζει καὶ λιμένες περιστοιχίζουσιν· ἔστι γὰρ χρῄζοντι μόνον λαμβάνειν καὶ μὴ ζητεῖν τὸ χρειῶδες, ὅθεν καὶ ὅτε πορίζοιτο· καλὰ δὲ καὶ τὰ πόρρωθεν ἀφιγμένα διὰ πλοὸς καὶ θαλάσσης, ὡς μὴ μόνον ἐκείνας βρύειν τοῖς ἀλλοδαποῖς ἀγαθοῖς, ἀλλὰ καὶ ἄλλας τούτοις δωρεῖσθαι τὸν ὅμοιον τρόπον ἢ τοῖς οἰκείοις ἐξ εὐμαροῦς. Πλοῦς γὰρ νόημα μὲν ἐκ θεῶν, τόλμημα δὲ γενναίων ἀνδρῶν, ἀπόρου δὲ μηχάνημα φύσεως. Διῃρημένων γὰρ τῶν στοιχείων τοῖς ζώοις μόνος οὗτος ὁ πλοῦς οὐ Δαιδάλου χρῄζει τοῦ μυθικοῦ, ὡς τὸ πεζὸν πτηνὸν ἀπεργάσασθαι, ἀλλ' ἅμα πτηνὸν καὶ νηκτὸν τὸ πεζὸν ἐξ αὐτομάτου δείκνυσι, καὶ ὅπερ ἡ φύσις οὐκ οἶδε, τοῦτο ξύλον μικρὸν καὶ ἱστία καὶ λῖνα ποιεῖ· καὶ τὰ μακρὰν ἐγγὺς γίνονται διὰ τούτου καὶ τὰ διεστῶτα συνάπτονται, καὶ θεοῖς μὲν δεῆσαν τεμεῖν θάλασσαν, ἀπόχρη τῆς φύσεως μόνης ὡς ἀπὸ νήσου ἅμα θατέρῳ ποδὶ ἑτέρας ἐπιβαίνειν νήσου, καὶ οὕτως ἀνύειν τὴν κέλευθον, μακρὰ βεβῶντας, ὡς λέγουσιν· ἀνθρώποις δὲ πρὸς τὸ καὶ θαλάσσης βυθὸν ἐρευνήσασθαι, καὶ ἰχθῦς ἀνελκύσαι, καὶ νήσους οἰκῆσαι, καὶ τοῖς ἀλλοδαποῖς ἐπιμίξαι, καὶ μετενεγκεῖν κόσμου δῶρα, καὶ τὰ παντὸς γνωρίσαι ἀπόρρητα, εἷς πόρος ἐν ἀπόροις καὶ μηχανὴ μία ἐν ἀμηχάνοις, ὁ διὰ θαλάσσης πλοῦς· ὃν εἴτουν πομπίλον τις ἰδὼν τὸν θαλάττιον, εἴτουν καὶ ἐπιπνοίᾳ κινούμενος θείᾳ ξύλῳ καὶ λίθοις ηὐτούργησε, μέγα τι ἐτόλμησεν ἔργον, οὐχ ἥκιστα δὲ καὶ παντὶ τῷ βίῳ ὠφέλιμον· ἔνθεν τοι καὶ πόλις ἐκείνη, ἣν ἀγκαλίζεται κόλπος θαλάττιος, εἰ μὴ πρώτως ἦ καὶ τὰ μάλι-

στα ναυσὶ χρῆται, καὶ ταῖς ἐξ αὐτῶν διοικήσεσιν οὐχ ἧττον, ὅτι μὴ καὶ μᾶλλον τοῖς καθ' ἑαυτὴν νενέκρωται πράγμασι, καὶ ἔστι μόνον, ὅ φασιν, ἁλμυρὸν τὸ γειτόνημα.[1] Ναί φησιν, ἀλλὰ τὸ ἔργον τοῖς εἰς τοῦτο παρεσκευασμένοις ἥκιστα ῥᾴδιον· καὶ τί τῶν καλῶν ἐξ αὐτομάτου καὶ δίχα πόνων γίνεται πώποτε; Ῥᾴδιόν ἐστι τὸ πολεμεῖν, ἀλλὰ τὸ ἐντεῦθεν κέρδος καὶ λίαν μέγιστον· καὶ ὁ φημισμὸς τοῖς νικῶσι καὶ ἡ ἐπὶ τοῦ θεάτρου ἀναῤῥήσις οὐδὲν ἄλλο, εἰ μὴ ὅτι καθώρθωσε τὰ τοῖς πολλοῖς δυσκαθόρθωτα· κἀκεῖνα δὲ πάντως ἐπαινοῦνται τοῖς ἀνθρώποις, ἅπερ παραβαλλόμενα τῇ δυνάμει τῶν ἐπαινούντων αὐτοὺς ἐκείνους ἔχει τὸ ἧττον ὁμολογοῦντας ἔχειν, καὶ διὰ τούτων θαυμάζοντας. Τί τοίνυν ἐξ ὧν ὁ πλοῦς ἔχει θαυμάζεσθαι, οὐ ῥᾴδιος ὢν τοῖς τυχοῦσιν ἀνύειν, ταῦτ' ἀφαιρεῖν οἷά τε δόξει τὸν τοῦ πράγματος ἔπαινον· ἐγὼ δὲ καὶ ῥᾴδιον εἴπω τοὔργον καὶ ἀνυστὸν τοῖς βουλομένοις, εἰ ἀκριβῶς σκοποίη τις· τί γὰρ πόνος πρὸς τὸ θαλάττης τρόπους μαθεῖν καὶ μεταβολὰς πνευμάτων, καὶ τόπους καὶ καιροὺς σημειώσασθαι, καὶ εἰδέναι μέν, ὅτε πλεῖν δεῖ, εἰδέναι δὲ καὶ, ὅτε μὴ δεῖ, καὶ ὁπότε ταῦτα καὶ ἐς ὁπόσα, καὶ οὕτω μεταχειρίζειν τὴν ἐργασίαν πρὸς τὰ ἐμπίπτοντα· ἔστι γὰρ καὶ μικρὸν νέφος φανὲν μεγάλην καταιγίδα σημῆναι παραυτίκα, ἢ καὶ ὀψὲ τῆς ὥρας ἢ καὶ ἐς νέωτα· ἔστι καὶ σελήνης διάφορα πάθη περισκοπεῖν, καὶ ἅπας οὐρανὸς ἀνεῖται τῷ πλέοντι εἰς τὴν τοῦ συνοίσοντος μάθησιν. Ποῦ τοίνυν ἔχει τὸ δυσχερές, εἰ ὅπου ποτ' ἂν ᾖ καὶ τὸν ὁδηγήσαντα ἐπιφέρεται. Ὡς γὰρ οὐκ ἔστιν ἐκτὸς οὐρανοῦ πλεῖν, οὕτω χωρὶς οὐκ ἔστιν εἶναι τοῦ συνοίσοντος πώποτε. Ναί φησιν· ἀλλ' ὁ πλοῦς ἐπικίνδυνον· τύχης μοι δοκεῖς κα-

1 Arsen. Violetum: ἁλμυρὸν δὲ γειτόνημα ἡ θάλασσα· ἔστι δὲ ἡ λέξις Πλατωνική. ἐχρήσατο δὲ ταύτῃ καὶ Ἀλκμὰν ὁ λυρικός.

Digitized by Google

τηγορεῖν, οὐ πλοὸς, τί δὲ τῶν κατὰ κόσμον πραγμάτων τύχην ἐκπέφευγεν, οὐ πᾶσιν ἐφεδρεύει, οἷά τις ἀπαραίτητος τύραννος, καὶ πάντες οὕτως ἐπιχειροῦνται τοῖς ἔργοις κατὰ τῆς τύχης εὐχὰς τὰς μεγίστας ποιούμενοι, ἀγαθῇ τύχῃ τούτων λέγοντες ἐπιβάλλομαι, καὶ ἀγαθῇ τύχῃ στέλλομαι πρὸς ἀποδημίας μακρὰς καὶ τὸ καὶ τὸ διαπράττομαι· τί γοῦν, εἰ καὶ πλοῦς τῶν ἀνθρώπων ὂν τὸ μέγιστον καὶ ἀναγκαιότατον, ὑπὸ τύχην ἔστι καὶ τοῦτο, καὶ ταύτης ἐξῆπται τὸ εὖ ἢ καὶ ὡς ἑτέρως ἀνύεσθαι· ἔστι φυγεῖν γεωργίαν, ὅτι σκηπτοὶ καὶ χάλαζαι λυμαίνονται τοῖς καρποῖς; ἔστι τὰς κατὰ πόλεμον νίκας καὶ τὰς ἐκεῖθεν τιμὰς ἀποδρᾶναι, ὅτι πόνοις τελοῦνται καὶ τοῖς πολεμοῦσι τραύματα γίνεται· εἰ τοίνυν κἀπὶ τοῖς ἄλλοις ἔστι τὸ ἐπὶ θάτερα ἐνδεχόμενον καὶ τὸ τυχεῖν καὶ τὸ μὴ τυχεῖν, καὶ οὐ διὰ τὴν συνενεχθησομένην πολλάκις ἀπότευξιν καταῤῥᾳθυμοῦμεν τῆς ἐργασίας, ἀλλὰ τῇ τοῦ ἐπιτυχεῖν ἐλπίδι ἐπιχειροῦμεν καὶ τοῖς μάλιστα φοβεροῖς, τί τὸ κοινὸν τῆς τύχης ἐπὶ θαλάσσης καὶ μόνης ἄγεις; καὶ δέον τῆς σοφίας θαυμάζειν τοὺς πλέοντας, σὺ δὲ κακίζεις, ὅτι ποτὲ καὶ ἀποτυγχάνοντες γυμνοὶ τῶν φορτίων γίνονται. Μᾶλλον μὲν οὖν καί ποτε ναναγήσασιν οὐκ ἔστιν ἄλλως αὐτοῖς τὴν ἧτταν ἀναπαλαίειν, εἰ μὴ πάλιν διὰ πλοὸς, καὶ πολλοὺς ἂν ἴδοις ἐξαίφνης μὲν ἐκ θαλάσσης πένητας γεγονότας, ἐξαίφνης δὲ καὶ πάλιν ἀπὸ θαλάσσης πλουτήσαντας· εἰ δέ γε πολλάκις καὶ πρὸς τὸ ζῆν κινδυνεύουσιν ἕτεροι, τί νεώτερον τούτων πρὸς τοὺς ἅπαξ γεννηθέντας καὶ τελευτήσαντας· συγχώρει πίπτειν τὸν ἐξ ἀνάγκης πεσούμενον, τὸν δὲ τρόπον ἄφες τῇ τύχῃ τῆς τελευτῆς. Μέγα ὁ πλοῦς καὶ τοῖς ἀνθρώποις ὑπὲρ ἄλλο τι χρήσιμον· τὸ περιττὸν ἐκφέρει, τὸ ἐνδέον ἐπινοεῖ, τὸ ἄπορον καθίστησιν εὔπορον, τὰ ἀναγκαῖα πορίζει, συνάπτει πρὸς ἀλλήλους ἄνδρας ἀλλοδαποὺς, καὶ ἠπείρῳ μι-

Digitized by Google

γνύει πᾶσαν νῆσον ἁμιχθαλόεσσαν, [2] προσπορίζει γνῶσιν τοῖς πλέουσιν, ἤθη ἐξημεροῖ, καὶ τὸ κοινωνικὸν προξενεῖ τοῖς ἀνθρώποις καὶ ἥμερον, καὶ συστατικὸν σχεδὸν γίνεται φύσεως, οἷς ὅ τι τὸ ἥμερον αὐτοῖς συνιστᾷ. Διὸ εἴπερ τισὶ μέλει τοῦ ζῆν, ἢ μᾶλλον καὶ τοῦ ζῆν εὖ, ἀγαπητέον τούτοις τὸ πλεῖν, ὡς ἂν μὴ λάθωσιν ἀπορούμενοι, ὧν ἐξ ἀνάγκης διὰ θαλάσσης ἔμελλον ἐκπορίζεσθαι, καὶ τὸ κακῶς καὶ ἀπόρως ἔχειν τοῦ εὖ ζῆν ἀνθαιρούμενοι· κἂν ἡ τύχη τούτοις δώσει τὴν θάλατταν, μηδὲν ὑπὲρ ταύτην ἄλλο πρὸς τὸ καλῶς ζῆν ἐκζητείτωσαν.

Cap. XIII.

1. Κατηγορία νόμου τοῦ κελεύοντος τοὺς ἀπὸ ναυαγίου καταίροντάς που σκυλεύεσθαι παρὰ τῶν ἐκεῖσε.

Ἐγὼ δὲ, ἀλλὰ καὶ νόμον συνιστῶντα πολιτείαν ἀσπάζομαι, καὶ αὖ πάλιν ἀπολλύντας [1] ταύτην καὶ κειμένους ἀποστρέφομαι· εἰ γὰρ νόμος δῶρον μὲν θεῶν, [2] δόγμα δὲ φρονίμων ἀνδρῶν εἰς ἐπανόρθωσιν πόλεως ὃ κατὰ πολιτείας ἐφευρημένος ἁπάσης, τελχίνων παρείσφρησιν ἄντικρυς, ἀνδρῶν οὐκ εὖ τοῦ φρονεῖν ἡκόντων, παραλήρημα μὲν οὐκ ἂν εἴποιμι, αἰδοῖ τῶν προγενεστέρων· τοιαύτην δὲ πρᾶξιν πῶς ἂν εἴποιμι εὐπρεπῶς, ἢ δὴ ὅταν τῶν πραττόντων ἀπῇ θεὸς γίνεται. Ἔχω γοῦν πολλάκις τὸν νόμον τοῦτον ἀναλεξάμενος κατὰ νοῦν, καὶ λογισμοὺς παντοίους τοσαυτάκις κινῶν μήπου τι χρήσιμον κρύπτῃ, κἀμὲ λέληθεν, οὐκ ἔστιν ὅταν μὴ βλάβην οὐ τὴν τυχοῦσαν ἔχοντα τοῖς χρωμένοις τοῦτον ἐπινενόηκα· τί γὰρ καὶ θαυμάσειέ τις αὐτοῦ, εἰ μὴ καὶ μᾶλλον ὡς εἰκὸς μέμψαιτο, ὅτι ναύτας παλαπειρίους, μόγις

2 Il. 24. 753. 1 Cod. ἀπολύντας. 2 Dem. in Aristog. p. 744.

Digitized by Google

φυγόντας θαλάττιον κλύδωνα, παρὰ τοσοῦτον οὐ βυθισθέντας, παρ' ὅσον καὶ Ποσειδῶνος ἔτυχον ἴλεω, τοῖς ἐκ γῆς περιβάλλει δεινοῖς, καὶ οὔπω καλῶς ἀποθεμένους τὰ φοβερὰ ἐκεῖνα τῆς καταιγίδος καὶ ἄγρια δείματος συνελθόντες ἄνδρες ὁμογενεῖς, εἴποι τις τούτους χερσαῖα κύματα, αὐτονομῶν ἐκ τῆς τέχνης περὶ τὰ συμβαίνοντα, κατακλύζουσιν. ὅτι δὲ δεινῶς ἔχων ὁ νόμος οὗτός ἐστι καὶ παντελῶς Ἑλληνικοῖς ἡμέροις ἔθεσιν ἀλλόκοτος πέφυκεν, ἔστι τῷ βουλομένῳ μαθεῖν ἐξ ἄλλων κειμένων νόμων, οἷς ὡσπερεὶ τειχίοις ἡ ἡμετέρα πολιτεία στοιχίζεται. Οἱ γὰρ περὶ κλοπῆς νόμοι οὐκ ἄλλου χάριν τιμωροῦνται τὸν κλέπτοντα, καὶ τὰ παγχάλεπα διατιθεῖσιν ὡς βλέπομεν, ὅτι μὴ ὅπως τοῖς κυρίοις τὰ ἴδια διασώζοιντο, καὶ κλέπτης ταῖς δίκαις ὑπάγεται, ἵνα μόνος οὐ φανερῶς ἁρπάζων τῷ δικαίῳ ἀντικρουόμενος ὑφαιρεῖται τὰ τούτῳ ὡς ἥκιστα διαφέροντα· καὶ γίνεται κύριος τεταπλῶς ἐκ νόμων, ὁ προσάπαξ τῶν ἰδίων εἶναι δεσπότης παρὰ τοῦ κλέπτου μὴ συγχωρούμενος· καὶ ἁπλῶς πάντα ὀλίγου δέω λέγειν, αἱ λῃστεῖαι, οἱ φόνοι, αἱ ὕβρεις, αἱ πληγαὶ, τὰ ἁρπάγματα παρὰ μίαν ταύτην τὴν αἰτίαν εἰς ἀδικίας λόγον ἀνάγονται, ὅτι γίνεσθαί τινες κύριοι θέλουσιν, ὧν οὐκ ἔστιν αὐτοῖς μετὸν οὐδαμῶς· καὶ γὰρ λῃστεύων μέν τις ἁρπάξει τὰ μὴ προσήκοντα, καὶ τὸν τέως εὔπορον ἐξ αὐτομάτου καθίστησιν ἄπορον. φονεύων δὲ ζωὴν ἀφαιρεῖται, ἧς κύριος οὐκ ἐγένετο πώποτε· καὶ ὑβρίζων καὶ πλήττων τοῖς ἀλλοτρίοις πάντα ἐπιχειρεῖ, ἐκείνων ὑπερτρεῖν ἀξιῶν, οὓς οὔτε φύσις οὔτε μὴν νόμος καθ' οἷον δή τινα τρόπον αὐτοῖς καθυπέταξιν· ἕκαστος γάρ φασιν αὐτὸς ἑαυτῷ τίμιος· οἱ γοῦν περὶ τούτων νόμοι, ὁμόσε τοῖς ἀδικοῦσι χωροῦντες οὐδὲν ἀλλ' ἢ τοῖς κυρίοις τὰ ἑαυτῶν ἀνασώζουσι, πρὸς τῷ καὶ τιμωρεῖν ἀξίως τὸν ὀπωσοῦν ἀδικήσαντα· πῶς οὖν οὐκ ἄλογον πάντη καὶ πέρα δεινῶν, πάντας μὲν τοὺς νόμους

τοὺς ἀδικουμένους τῶν ἐπιτιθεμένων περὶ πλείονος τίθεσθαι, μόνον δὲ τὸν παρόντα πᾶσαν ἐκχειρίαν διδόναι τοῖς θέλουσιν ἀδικεῖν, καὶ πᾶσαν χεῖρα κινεῖν, ἀνέδην ἁρπάζειν καὶ μεθ' ὕβρεως τὰ ἀλλότρια· καὶ πρέπον ἐλεεῖν πάντως τὸν δεινῷ ναυαγίῳ χρησάμενον, τὸν δὲ καὶ μᾶλλον ἐπαίρειν τοὺς ἄλλους αὐτῷ ἐπικεῖσθαι, καὶ δίκας ἀπαιτεῖν τὸν ταλαίπωρον τὰς μεγίστας, ὧν ἔπαθεν ἐξ ἀνάγκης καὶ βίας ἀκούσιος, ἀλλ' οὐκ ἔπραξεν, ὡς δέον ὄν, ἢ μὴ παθεῖν ἐκ θαλάττης, ἢ παθόντα καὶ ἐκ τῆς γῆς ταὐτὰ ἢ καὶ χείρονα πείσεσθαι. Ναί φησιν, ἀλλὰ παρανομοῦντας τούτους τὰ εἰς τὸν πλοῦν καλῶς ἔχει τιμωρεῖσθαι τῇ τῶν φορτίων ἀποβολῇ, ὧν χάριν καὶ παρηνόμησαν τῇ τυχούσῃ ξηρᾷ προσαρράξαντες, ἧ μὴ προσίσχειν ἀπείρηται τοῖς ἐκ θαλάσσης καταίρουσιν. Καὶ τίς αἰτία τούτοις, εἴπερ ἴσως καὶ παρανομῆσαι ἀναγκασθήσονται· ἀκούσιον πταῖσμα καὶ παρὰ γνώμην παρὰ τοῖς τὰ δίκαια κρίνουσιν οὐκ εὐθύνεται, σὺ δ' ὡς δοκεῖς καὶ τοῖς βιασθεῖσι δίκην ἐποίσεις, ὅτι ἀνάγκης οὐκ ἐγένοντο κρείσσονες, ἀλλὰ τὸ τῆς ἀνάγκης σθένος ἀδήριτον ἔγνωμεν, καί τις ἁμαρτὼν παρὰ γνώμην ἐλέους ἢ τιμωρίας ἄξιος μάλιστα· τί γὰρ καὶ κολάσεις τὸν ἅπαξ κολασθέντα παρὰ τῆς τύχης καὶ δαίμονος; εἰ μὲν γὰρ ἐκεῖσε καθῆραν θέλοντες, οὐδ' ἐγὼ μάχομαι, τιμωρεῖσθωσαν καὶ τῆς τῶν καλῶν ἀμελείας δίκας διδότωσαν, εἰ δ' ἅπαξ γεγονότες τοῦ φέροντος κλύδωνος οὐκ ἐδυνήθησαν ἀντισχεῖν, τί τιμωρεῖν δικαιώσει τις, οὓς ἄξιον ἐλεεῖν; τί δὲ καὶ θαλάσσης ἀγριωτέρους ἀνθρώπους πείσει γενέσθαι, τὰ καὶ θαλάσσης ἀνασωθέντα σκυλεύοντας· τὸ γοῦν ἀλλήλων ἅπτεσθαι καὶ τρώγειν ἀνθρώπεια κρέα, τίς οὐκ ἂν εἴποι καὶ πέρα παρανομίας ἄντικρυς; τί γοῦν διὰ τούτων καὶ τοὺς ἐν πολιορκίᾳ κατακρινεῖ τις; ὅτι βίας κατεπειγούσης καὶ τῶν ἀπηγορευμένων ἥψαντο, ἢ τὸ μὲν πραχθὲν τῇ ἀνάγκη

ὡς εἰκὸς ἀνοίσει, αὐτοὺς δὲ θήσει πάσης εὐθύνης ἐπέκεινα. Τί δὲ, ἀλλὰ καὶ φονεὺς ἀκούσει ποτὲ, ὁ γυμνὸν ξίφος ἰδὼν καθ' αὑτοῦ καὶ τὴν τομὴν προφθάσας καὶ κατακτὰς τὸν κτενοῦντα, τὰ δρᾶσαι τοῦ προπαθεῖν προτιμήσας τὰ ὅμοια; οὐκ ἔστιν εἰπεῖν· τί τοίνυν συνάπτεις, ἅπερ ἀνάγκη καὶ γνώμη μερίζουσι, καὶ τὰ ἐξ ἀνάγκης συμβαίνοντα εὐθύνειν ἐθέλεις, ὡς ἀπὸ γνώμης γινόμενα· αὐτοὶ δὲ καὶ τὸ λοιπὸν τοὺς κυρίους ἀφαιροῦνται, καὶ μηδὲν πλέον τοῖς ἀδικουμένοις γίγνοιτο, ἢ τὸ μὴ τὸ μέρος ἀλλὰ τὸ πᾶν ζημιοῦσθαι ἐξ ὧν καὶ τὸ περιλειφθὲν ἀποβάλλοιεν.

2. Εἰς τὸ ἐναντίον περὶ τοῦ τοιούτου νόμου καὶ τῆς τοιαύτης συνηθείας.

Εἰ μὲν ἦν, ὦ βουλὴ, ἐνταῦθα συναγομένους ἡμᾶς ἐκεῖνα μόνα πειρᾶσθαι κινεῖν, ὅσα τὸν ἡμέτερον δῆμον ταῖς ἀληθείαις λυμαίνονται, ἀλλὰ μὴ ἁπαξαπλῶς πᾶσιν ἐπιχειρεῖν, τοῖς καὶ μόνην βλάπτειν δόκησιν ἔχουσι, καλῶς ἂν εἶχεν ἂν θαῤῥοῦσι τοῖς λοιποῖς ἡμῖν σιωπᾶν καὶ μηδὲν λέγειν ὑπὲρ τῶν ἅπαξ καλῶς δεδογμένων, οἷς ὑπῆρξε προτέροις οὖσιν εἰς τάξιν ἀρίστην καὶ κόσμον καταστῆσαι τὰ καθ' ἡμᾶς· ἐπεὶ δὲ καὶ τῶν πάντη σταθερῶν καὶ ἀμώμων ἡ τῶν πολλῶν πιθανότης ἅπτεσθαι πέφυκεν, ὥστε μετὰ τῶν ἄλλων καλῶν, ὧν ὁ χρόνος κατακαυχᾶται καὶ σοφῶν ἀνδρῶν νόημα τῷ χρόνῳ δοθὲν καὶ βεβαιωθὲν τῷ χρόνῳ πάλιν καὶ παραπόλλυσθαι, εἰκότως σύνοιδα ἐμαυτῷ, εἰ παρασταίην νόμῳ καλῶς ἔχοντι κινδυνεύοντι, τὰ μεγάλα τῇ πολιτείᾳ καλὰ διαθήσων καὶ τὸ μέρος εὐεργετήσων τὸν δῆμον, ἀνθ' ὧν ὅλης ψυχῆς προθυμίαις οὐκ ἐῴην ἂν ἱεροσυλεῖσθαι τὰ τίμια. Ἡ γὰρ ἀρίστου νόμου ἀκύρωσις ὄνομα μὲν ἔσχε κοινὸν, λύσις νόμου λέγεσθαι· εἰ δέ τις ἐπιστατικώτερον ἐπιβάλῃ, εὑρήσει τὸν τὸ πρᾶγμα ἱεροσυλίαν καλοῦντα οὐχ ἁμαρ-

Digitized by Google

τόντα τοῦ δέοντος· νοῦ γὰρ ἱερᾶς εἰκόνος ἱερὸν ἐκμαγεῖον τὸ τοῦ σοφοῦ ἐνθύμιον πέφυκεν, ὃ καὶ ἅπαξ τῷ κόσμῳ δοθὲν, εἴτις ἐκποδὼν ποιοίη κλέπτων τῇ πιθανότητι, ἄφθορικὸς ἔσται πάντων τῶν ἐν τῷ κόσμῳ κτημάτων τε καὶ πραγμάτων τὸ ἱεροπρεπέστατον. Δεῖ τοιγαροῦν καὶ ἡμᾶς μὴ ὅλους γίνεσθαι τῶν ὁμόσε χωρούντων τῷ νόμῳ λόγων, ἀλλ' ἑαυτοῖς ἐπαμύνειν τὸ μῦσος, καὶ πάντα τρόπον καλῶς ἔχοντα νόμον μὴ ἐᾷν ὑπὸ γλῶσσαν κατήγορον γίνεσθαι· κατὰ τί γάρ τις τούτου τοῦ νόμου θαυμάσειεν; ὅτι παρανομοῦντας ἄνδρας τὰ εἰς τὸν πλοῦν καὶ μὴ πρὸς θάλασσαν καρτεροῦντας καὶ κλύδωνα, δέον ὂν παντὶ σθένει πρὸς αὐτὰ διαμάχεσθαι τιμωρεῖν ἐθέλει πικρῶς, ὡς ἄν τις εἴποι φυγοπολέμους φανέντας καὶ περὶ τὴν μάχην ῥιψάσπιδας· ὅτι οὐ δίκαιός ἐστιν, οὐδὲ δικαίαν τὴν καταδίκην τίθησιν· ἀλλὰ μὴν, εἴπερ τις ἄλλος τῷ δικαίῳ προσέσχηκεν, ὡς αὐτίκα δειχθήσεται, ἀλλ' ὅτι οὐ συμφέρει τῷ δήμῳ τῷ ἡμετέρῳ· ἀλλὰ μὴν εἴπερ ἄλλο τι τὸ συμφέρον, ὡς αὐτίκα ἐροῦμεν, προΐσχεται· ἀλλ' ὅτι ἄδοξος; ἀλλὰ φανήσεται τούτου ὁπόσον τὸ ἔνδοξον, εἰ καὶ τοὺς ἄλλους νόμους σκοποίημεν· οἷς ὅσον τὸ συμφωνεῖν ἔχει κειμένοις, ὡς ἐγὼ λέγω καὶ πάντες καλῶς καὶ εἰς δόξαν ὅτι πλείστην τῆς πόλεως, τοσοῦτον ἔχει τοῖς χρωμένοις καὶ τὸ δοξάζεσθαι. Αὐτίκα τοίνυν νόμοι μὲν κυροῦσι τὸ γέρας τῷ ἀριστεῖ, καὶ δοκιμάζει μὲν ὁ τοῦ πολέμου καιρὸς τὴν ἐκείνου προαίρεσιν· δοκιμάζει δὲ μετὰ ταῦτα βουλὴ κατὰ νόμους προβαίνουσα τὸ ἆθλον τῆς ἀριστείας ἐπάξιον. οὐ μὴν δὲ καὶ τὸν δειλὸν κατὰ πόλεμον ὁ νόμος οὗτος παρ' οὐδὲν ἡγεῖται καὶ τίθησιν ἀβασάνιστον· ἀλλ' οὔπω καλῶς φθάνει τῷ ἀριστεῖ τὸ γέρας ἀποδιδοὺς, καὶ τιμωρίαν ἀξίαν τῷ φυγόντι τὸν πόλεμον ἐπιτίθησιν. Εὐεργέτης ἀπὸ νόμων στεφανοῦται τῆς πόλεως, καὶ προδότης ἀπὸ νόμων δικαίως εὐθύνεται, καὶ

Digitized by Google

οὔτε τὸ καλὸν ἐπαινεῖται δίχα τῆς ἀπὸ τῶν νόμων βουλήσεως, οὔτε τὸ κακὸν μισεῖται χωρὶς τοῦ σοφῶς γνωματεύσαντος. Συμμαχεῖ τις τῷ δήμῳ, καὶ ἀπὸ νόμων ἔστι τῷ συναγωνιζομένῳ τὸ ἔπαθλον, ἀλλὰ δύςνους ἄλλος ἐφάνη, καὶ προσχωρῶν τοῖς ἐχθροῖς· οὐδὲ τούτοις ὦσιν οἱ νόμοι, μὴ κατ' ἀξίαν ὑποσχεῖν τὰς δίκας, εἰ μόνον εἰς χεῖρας τῶν πολιτῶν γένηται· καὶ ἁπλῶς οὐ μᾶλλον τῇ ἀρετῇ παρὰ τῶν νόμων κυροῦται τὸ γέρας, ἢ τῇ κακίᾳ ἡ κόλασις· ἔστι δέ γε πολλάκις καὶ ἐξ ἑνὸς νόμου ἀμφότερα τῶν ἀξίων ἐπιτυχεῖν, ὡς δῆλον ὄν, ὅτι ὃ πραχθὲν τὸν πράξαντα μεγαλύνει, τοῦτο καὶ μὴ πραχθὲν τὸν μὴ πράξαντα ἐκφαυλίζει καὶ τὸ μηδὲν τίθησι. Τί τοίνυν ὁ νόμος οὗτος ἔχει τὸ πρὸς τοὺς ἄλλους ἀπᾷδον, ὅπως ἂν καὶ κακίζηται; οὐκ ἀμελὴς καρτερίας ὁ ναύτης, ὁ πρὸς τὴν τυχοῦσαν καταίρων ξηρὰν, οὐ τὸ καθ' ἑαυτὸν φιλοκίνδυνος, [1] οὐκ ἀθαλάττευτος, καὶ μόνον ἀνέμου κτυπήσαντος αὐτὸς τὸν νοῦν ἐπὶ πολὺ ῥιπιζόμενος; εἰ μὲν οὐκ ἔλπίζων πόλεμον ἐκ θαλάττης καὶ κλύδωνος τῷ πλεῖν ἐπεβάλετο, ἀγνωσίας ὅτι πλείστης ἀλώσεται περὶ τὰ πάντη δῆλα τυφλώττων· τί γὰρ θαλάττης εὐριπιστότερον, τί δὲ καὶ ἀστατώτερον ὕδατος; εἰ δὲ προσδοκῶν ἀνέμους ἐξ ἀνάγκης καὶ κλύδωνος εἶτα καθυφῆκεν ἐπὶ καιροῦ τῆς σπουδῆς, καὶ πρὸς ἓν βλέπει τὴν γῆν χειμαζόμενος ὅπη τύχῃ καταίρων, καὶ χεῖρον ἐντεῦθεν ναυάγιον τοῖς συμπλέουσι προξενῶν, ἀγαπῶν μόνον, εἰ βλέπων γῆν τελευτήσειε, τί μὴ καὶ ἅπαξ σωθεὶς κολαστέος, ὡσὰν ἐκ τύχης, ἀλλ' οὐκ ἐκ τέχνης σωθείς· κρεῖττον τῇ τέχνῃ χρώμενον κινδυνεύειν, ἢ παρὰ τέχνην ναῦν μεταχειρίζοντα σώζεσθαι. Τίνα τῶν ἰατρῶν ἐπαινέσεις, τὸν πάντα τὰ τῆς τέχνης ἐργασάμενον, ἔπειτα μὴ περιγενόμενον τοῦ νοσήματος, ἢ τὸν παρ'

---

1 supra φιλο scriptum est φυγο.

Digitized by Google

οὐδὲν θέμενον τὰ τῆς τέχνης, κἂν τύχῃς πολλάκις τὸν ἀσθενῆ σώσαντα; τίνα φήσεις πολέμαρχον, τὸν πολέμου νόμοις χρώμενον, κἂν μὴ νικᾷ καὶ τῶν ἐχθρῶν περιγίνεται, [2] ἢ τὸν ἐξ ἀκοσμίας ἀτάκτου πολλάκις νικήσαντα; οὐκ εἶδες πολλάκις καὶ οὕτω νικῶντας οὐδὲν ἧττον τῶν ἡττωμένων τὰ πάνδεινα πάσχοντας; οὐκ εἶδες ἰατρὸν εὐθυνόμενον ὅτι κακῶς ἐθεράπευε; διδότω καὶ ναύτης δίκας ἀξίας, ὅτι κακῶς καὶ παρὰ τὸν νόμον τῆς ναυτικῆς τὴν ναῦν ἔσωσεν· ὅτι ἕρμαιον τύχης καὶ οὐκ ἐκ τέχνης ἡ σωτηρία τοῖς πλέουσι γέγονε· καὶ ὃν αὐτὸς τοῦ μένειν καὶ καρτερεῖν πρὸς τὰ τῆς θαλάσσης δεινὰ προὐτίμησε κίνδυνον, τοῦτον εὑρέτω κἂν σέσωστο· τί φορτίων μεταποιήσεται, ὧν ἅπαξ τῷ φέροντι κύματι παρεχώρησε; τί νηὸς ἀνθέξεται, ἧς ἐξέστη τῷ κλύδωνι; μόνον ἐζήτει τὸ σῶμα σωθῆναι, καὶ ταῦτα πάντα τῷ Ποσειδῶνι ζωάγρια ἔθυεν, ἔστω ταῦτα καὶ πλέον οὐκ ἔστι ζητεῖν δίκαιος· ἕκαστος τῆς σωτηρίας ἀπογινώσκων κατὰ τοῦ ἰδίου φόρτου εὐχὴν ἂν τοῖς θεοῖς ὡς εἰκὸς ἐποιήσατο, εἰ μόνον σωθήσεται; σωζέσθωσαν τοίνυν μόνοι καὶ τὰς συνθήκας σωζέτωσαν, ὧν πρὸς τοὺς κρείττονας ἐποιήσαντο· τί κοινὸν αὐτοῖς πρὸς ἐκεῖνα, ἅπερ καθάπαξ καθωσιώσαντο; τί δ' ὁ νόμος αὐτοὺς ἀδικεῖ, τῶν ἀλλοτρίων ἀποστερῶν, ὅτι θεοῖς προσανέθεντο; οὐκ ἐπαινεῖται κἂν ὅπου τύχῃ τὸ δείλανδρον· οὐ στεφανοῦται τὸ φιλοκίνδυνον, δότωσαν τοιγαροῦν δίκας καὶ οὗτοι ὧν ἐξήμαρτον δειλανδρήσαντες. Ναί φησιν, ἀλλὰ ζώοις ὑπὲρ πᾶν ἡδὺ τὸ ζῆν πέφυκεν· ἔστω τοῦτο· τί πρὸς τὸ ζῆν αὐτοὺς ὁ νόμος προσίσταται; ἐχέτωσαν ὅπερ ὁμολογοῦσι ποθεῖν· ἀπίτωσαν ζῶντες, τοῖς οἰκείοις ἀνασωζέσθωσαν, οὐδὲν ὁ νόμος ἐμποδὼν αὐτοῖς πρὸς τὸ ζῆν γίνεται· ἐγὼ δὲ θαυμάζω καὶ τῶν κατὰ τοῦ

2 sic codex.

Digitized by Google

τοῦ νόμου λεγόντων, τί εἶπον ἄν, εἰ καὶ τῆς ζωῆς ἀφῃρεῖτο τούτους τὸ δόγμα πρὸς τῇ νηῒ καὶ τοῖς πράγμασιν· ὅπου γε καὶ ζῶντας αὐτοὺς ἀπολύοντες ἀποτομίαν καταγινώσκουσι, καίτοι γε οὐχ ἱκανὸν εἰς ἀπολογίαν τὸ προτεινόμενον· ὅτι μὲν γὰρ ζωῆς οὐδὲν ἥδιον οἶδα καὶ πέπεισμαι, ὅτι δὲ διὰ τοῦτο καὶ τῶν ἀγαθῶν μὲν ἀμελητέον, τῶν κακῶν δ' ἀνθεκτέον οὐκ ἂν ὁμολογήσαιμι πώποτε· καὶ τί λέγω τὴν ἐμὴν περὶ τούτου γνώμην, ἐξὸν ἐκ τῶν νόμων μαθεῖν τῶν προστιμώντων θανάτου' οἷς ὑπῆρξε φυγεῖν ἐκ φιλοζωΐας τὸν κίνδυνον· τί γὰρ τὸ τοιοῦτον προταθὲν ἀπέχρησε τῷ ῥιψάσπιδι, ὥστε μὴ παρὰ τῶν νόμων ὑποσχεῖν ζημίαν τὸν θάνατον; τί τῷδε, τί τῷ δεῖνι, ὥστε παρευθὺς μὴ κολάζεσθαι; πολλὰ ἂν ἔχοιεν λέγειν τυμβωρύχοι καὶ κλέπται, πολλὰ φονεῖς, πολλὰ τῶν ἁλωκότων ἕκαστος, ἃ εἰ προείδοντο μὴ σώζοντα τούτους, οὐκ ἂν τὴν ἀρχὴν ἐπεχείρουν ταῖς κακουργίαις καὶ παραπώλοντο, ἐγὼ δὲ καὶ τὸ θανεῖν ἐνδόξως ὑπὲρ τὸ ζῆν ἥδιον κέκρικα· καὶ οὗτος ὁ λογισμὸς πολλοὺς παρασκευάζει πίπτειν, ἔνθα τοῖς νέοις πίπτειν καλόν· ἢ γὰρ καλῶς ζῆν ἢ καλῶς τεθνηκέναι σοφοῦ τινος ἤκουσα λέγοντος· ὁ ὑπὲρ ἀρετῆς θάνατος οὐκ ἀνώνυμος, ὁ ὑπὲρ κοινῆς δόξης οὐκ ἀκλεής, ἀλλ' εἰκόνες καὶ στῆλαι καὶ μνήματα. Ἔτι δὲ καὶ λόγοι τινὲς ἐπιτάφιοι μνημεῖα διηνεκῆ τῶν ἅπαξ καλῶς θανόντων εἰσί· τί τοίνυν ὡς ἰσχυρὸν προτενεῖ τις τὸ ζῆν, καὶ κακίαν μεγίστην ναυτῶν ἐπικαλύψαι πειράσεται, εἰ κακὸς ὁ νόμος ὁ συνιστῶν ἀρετὴν, σχολῇ γ' ἂν ἕτερος καλὸς ἀκούσαι[3] ποτέ. ναί φησιν· ἀλλὰ μετριωτέραν ἔδει τὴν τιμωρίαν γίνεσθαι, κατὰ λόγον τοῦ πλημμελήματος, καὶ τί τοῦ πραττομένου γένοιτ' ἂν μετριώτερον; φυγῆς ἀπὸ πατρίδος τιμῶνται, ἀλλ' εἱρκταῖς συγ-

3 Cod. ἀκούσοι.

κλείονται καὶ δεσμοῖς περιβάλλονται· ἀλλ᾽ ἀτιμίας κυροῦται ψήφισμα κατ᾽ αὐτῶν, ἀλλ᾽ ἄλλο τι τῶν χαλεπῶν, ἢ καὶ θάνατον κατακρίνονται, ζημίαν πάσχουσι μόνην καὶ ταύτην ὡς ἐξ ἐράνου τινός· καὶ τὸ κοινὸν τῆς τιμωρίας ἀνάλγητον γίνεται, καὶ τὸ μεῖζον ὅτι καὶ ἐπὶ ξένης· εἶπω δὲ καὶ ἐπ᾽ ἐρημίας, ὅπου μηδεὶς ὁ συνειδώς, οὐκ οἰκεῖος, οὐ ξένος αὐτοῖς πάσχουσιν, εἰ δέ σοι καὶ μέγα λογίζεται τὸ στερηθῆναι τούτους τῶν ὄντων, μέγα καὶ τὸ ἁμαρτεῖν οὕτως· σὺ δ᾽ ἀξιοῖς καὶ κατὰ λόγον τοῦ πλημμελήματος τὰς τιμωρίας ἐπάγεσθαι· τί τοίνυν ὃ συμβαίνει, οὕτω τοῦ νόμου δικαιοῦντος, τοῦτ᾽ ἀξιοῖς γίνεσθαι· μικρόν ἐστι τὸ παρακεκινδυνευμένως ἐπιχειρεῖν, καὶ τόσαις ψυχαῖς ἐπιφέρειν τὸν κίνδυνον; μικρὸν ὦ βουλὴ, ὦ νόμοι καὶ ἔφορος δίκη, τὸ μηδὲν ἀντιστῆναι πρὸς τὸ δεινὸν, ἀλλ᾽ ἅπαξ πάντας χαλάσαντα οἴακας ἐφεῖναι τῇ θαλάσσῃ τὸ πᾶν τοῦ πληρώματος, κἂν σοφοὶ, κἂν ἀριστεῖς κἂν βουλευταὶ εἶεν οἱ πλέοντες, καὶ μέγα ὄφελος τῇ πατρίδι, μηδὲν ἐπὶ νοῦν τίθεσθαι, νῦν δὲ χάρις τῇ τύχῃ, ὅτι τοῖς οἰκείοις ἐπανεσώσατο ἕκαστον, εἰ δὲ ζημιοῦνται κοινῶς πολλῶν ἐπιτρεχόντων τοῖς ναυαγοῦσι, τὸ ξένον οὐδὲν, ὅτι καὶ κοινῶς τὸ μικρόψυχον πάντων καθήψατο. ναί φησιν, ἀλλ᾽ οὐκ ἠδυνήθησαν ἀντισχεῖν πρὸς τοσαύτην φορὰν θαλάσσης καὶ κλύδωνα· οἶδα τὸν νοῦν, ὡς βίαν προβάλλῃ θαλάσσης ἀγριαινούσης, συγγνώμην ἐντεῦθεν θέλων θηρᾶν· ἐγὼ δ᾽ ὅτι καὶ τὸ ἀκούσιον πταῖσμα παρὰ τῶν νόμων εὐθύνεται, λέγειν ἐῶ, καὶ ἀφίημι καὶ φόνον ἀκούσιον εὐθυνόμενον, καὶ ἄλλα πλεῖστα, ὧν ἡ γνώμη τῶν πραττόντων ἀφέστηκεν, ὡς ἀξίαις δίκαις καὶ ταῦτα ὑπόκειται· ὅτι δ᾽ ὁμολογεῖς τὸ πταῖσμα κἂν λέγῃς ἀκούσιον, ἐπαινῶ· ποῖον δὲ πταῖσμα παρὰ τοῖς νόμοις ἀνεύθυνον; τὸ τὰ τῆς πόλεως ἐκφέρειν ἀπόῤῥητα βασάνοις ἐταζόμενον οὐκ ἀκούσιον; ἀλλὰ τὸ χειμῶνι περιπεσόντας ἄλλους

σφοδρῷ μὴ ἀνελέσθαι τὰ τῶν πεσόντων ἐν τῇ ναυμαχίᾳ σώματα οὐκ ἀκούσιον· τί δὲ διὰ τοῦτο ταῦτα κρίνονται καὶ ἀνεύθυνα; οὐκ ἔχει τις δεῖξαι ταῦτα, κἂν πολλὰ κάμοι, κἂν εἴ τι λέξειας, ἡττήθης θυμοῦ, ἡττήθης κινδύνου, ἡττήθης κλύδωνος; δέξαι καὶ δίκην ἐκ νόμων τὴν πρέπουσαν, τιμώρει σαυτὸν ἑκουσίως τῷ τὴν κόλασιν δέχεσθαι· δεῖξον περιαλγήσας τῇ ἥττῃ τῷ ἀξιοῦν τιμωρεῖσθαι, ὅτι τὰ τῆς τύχης σοι συνέπεσεν ἐπ' ἀριστερά· δῆλον θοῦ πᾶσι, καρτερῶν πρὸς τὰς δίκας, ὡς ἐκαρτέρησας ἂν καὶ τότε εἴπερ ἦν καὶ πρὸς θάνατον. Ἐπαίνει νόμον ὡς ἰατρὸν, ὅτι σου καὶ τὸ παρὰ γνώμην εὐθύνει, ἵνα πρὸς πᾶν συμφέρον στομώσῃ σε. ὡς ἂν καιροῦ καλοῦντος καὶ πάλιν ποτὲ στερρῶς ἀντιστῇς τοῖς κινδύνοις, κἂν ἐπανατείνηται θάνατος, δέξῃ καὶ τοῦτον ἡδέως, ὡς δόξαν ἐς ἀεὶ προξενοῦντά σοι· ἀγάπησον δόγμα γενναίων ἀνδρῶν, μὴ τὴν κόλασιν δυσχεράνῃς, ἀλλ' ἐξέτασον τὸν σκοπὸν, καὶ πατρὸς εὑρήσεις κηδεμονικώτερον [4] τὸν νομοθετήσαντα· μονονοὺ βοῶντα διὰ τοῦ νόμου, ὡς χρή σε τέκνον ὁμόσε παντὶ κινδύνῳ χωρεῖν, καὶ μηδὲν ἀδοξίας λογίζεσθαι φοβερώτερον· οὐκ ἔστιν ἅπας θάνατος φοβερός· ἔστι καὶ θάνατος κρείττων ζωῆς, ἔστι καὶ ἐπὶ νεότητι τελευτὴ τοῦ εἰς γῆρας βαθὺ ζῆν προτιμότερον, κἂν ἐπιστῇ κινδυνεύων καιρὸς προβαλοῦ τὸ θάρρος, προβαλοῦ τὰς ἀγαθὰς ἐλπίδας [5], ὥσπερ γενήσῃ μαχόμενος· εἰ δὲ καὶ χρεὼν τελευτᾶν, καλῶς τελεύτα καὶ τὸν ἅπαντα χρόνον ζήσῃ μνημονευόμενος. ἡττήθης πολλάκις, τοῦτο γὰρ φιλοζωΐας καὶ φύσεως, δέχου τὴν δίκην παιδεύουσαν, καὶ ὥσπερ ἂν εἰ νοσῶν ἐζήτεις τὸν ἰατρεύσοντα, κἂν ποτε καὶ προσέφερεν ἀηδὲς ἐκεῖνος, εἰκὸς ἦν δέχεσθαι διὰ τὴν ὑγίειαν, τὸν αὐτὸν τρόπον λόγισαι

4 Cod. κηδεμωνικώτερον. 5 Dem. pro cor. p. 258. ἐγχειρεῖν ἅπασι τοῖς καλοῖς, τὴν ἀγαθὴν ἐλπίδα προβαλλομένους.

Digitized by Google

καὶ τὸν νόμον οὐ κατ' ἔχθραν τινὰ καὶ δυσμένειαν, ἀλλ' εὐμενῶς σοι τὴν ἰατρείαν προσάγοντα, ὅτι καὶ πάλιν σοι τοῦ πλέειν καιρὸς ἐπιστήσεται, καὶ πάλιν δυσμενανεῖ θάλασσα, καὶ πάλιν ἔσται κλυδώνιον, καὶ τότε εἴσῃ σαφῶς οὐ τιμωρηθεὶς, ἀλλὰ διδαχθεὶς, ὅπως ἀντιστήσῃ πρὸς κλύδωνα· καὶ τοῦ λοιποῦ σεαυτὸν τῆς ἀμελείας αἰτιασάμενος ἑτέροις ἂν διδάσκαλος πιθανώτερος γένοιο.

Τέλος τῶν προγυμνασμάτων.

Digitized by Google

IX.

ΑΝΩΝΥΜΟΥ ΠΡΟΓΥΜΝΑΣΜΑΤΑ.[1]

Cap. I.

Μῦθος.

Λύκος, ὁδοῦ πάρεργον[2], ἄνῳ περιτυγχάνει τινί. ὡς οὖν ἐντὸς τῶν ἰδίων ἀρκύων ἀναμφιλέκτως ἐκεῖνον εἶχε, καὶ δεῖπνον ποιεῖν ἔμελλεν, ὥσπερ οὐκ ἀποχρῶσαν ἑαυτῷ τε τροφὴν κἀκείνῳ συμφορὰν τοῦθ' ἡγούμενος, καὶ τὴν ἀπὸ τῶν λόγων προστίθησι· καὶ κατειρωνευόμενος τοῦ ἀθλίου, μὴ δέδιθί, φησι πρὸς αὐτὸν, οὐ γὰρ οὕτως ἔγωγε ἀδίκως διάκειμαι, ὥστ' ἀκατάγνωστόν σε περὶ

1 Descripsi ex codice Ven. 444. ubi titulus est: τὰ προγυμνάσματα τῆς ῥητορικῆς. De auctore nihil constat, Christianum fuisse, e progymnasmatibus ipsis elucet. 2 Plut. Thes. c. 9. ταύτην, ὁδοῦ πάρεργον, ὡς μὴ δοκοίη πάντα πρὸς ἀνάγκην ποιεῖν, ὑποστὰς ἀνεῖλε. Lucian. Jup. trag. c. 21. εἰ γοῦν μὴ ὁ Θησεὺς — ὁδοῦ πάρεργον ἐξέκοψε τοὺς πανούργους, etc. Nigrin. c. 1. ὁδοῦ πάρεργον ἥκω σοι εὐδαίμων τε καὶ μακάριος γεγενημένος. Icaromen. c. 71. ἀλλ' εἶτι σοι καὶ ὁδοῦ πάρεργον ἱστόρηται, καὶ τοῦτο εἰδῶμεν. cfr. Wyttenb. ep. crit. p. 36. Jacobs ad Philostr. Im. p. 606.

Digitized by Google

τὸν σαυτοῦ βίον εὑρών τι τῶν ἀπευκταίων σε δρᾶσαι, ἀλλ' ἐν μέρει τὰ πραχθέντα ἡμῖν ἐν τῷ βίῳ πλημμελήματα πρὸς ἀλλήλους ἑκάτερος ἐκκαλύψωμεν. κἂν μὲν χείρω τὰ ἐμὰ τῶν σῶν, ἀπολύου ἤδη τοῦ ἐξ ἐμοῦ σοι ὑφορωμένου κινδύνου, καὶ πρὸς τὰς σὰς νομὰς ἀδεῶς μάλ' ἀπότρεχε· ἢν δ' ἐλεγχθῇς [3] παρελάσας ταῖς ἀδικίαις ἐμὲ, αὐτὸς σὺ κύριος τῆς ψήφου γίνου, εἰ μὴ δίκαιος εἴης δίκας ἐμοὶ δοῦναι τοιοῦτος ἁλούς. Ταῦτ' εἰπὼν καὶ τὰ πλημμεληθέντα οἱ προσέθηκε· τὰ δ' ἦν, ὅσων προβάτων καὶ αἰγῶν διασπαραγμοὶ, μυρίων ἐρίφων καὶ ἀρνῶν ἁρπαγαὶ, βοῶν πνιγμοναὶ, καὶ τέλος φυλάκων αὐτῶν δήγματα, ἢ καὶ φόνοι τούτων τετελεσμένοι. Ταῦτα καὶ τοιαῦθ' ἕτερα ὁ λύκος ὑφειμένως πως καὶ ὑποκεκορισμένως διεξιὼν, ὡς μὴ δοκεῖν εἶναι ταῦτ' ἀδικήματα, ὡς αὐτὸς ᾤετο, καὶ τὸν ὄνον τὰ οἰκεῖα λέγειν προὐτρέψατο. Ἐκεῖνος δ' ἐπεὶ τὰ καθ' ἑαυτὸν ἐξετάζων οὐδὲν ἦν εὑρίσκων ἄξιον καταγνώσεως, οὐδὲ γὰρ σύνοιδεν ἑαυτῷ τι τῶν ἀπειρημένων οὐδαμῶς δεδρακότι, τέλος ἀπορῶν, διέξεισί τι τοιοῦτον, ὡς δῆθεν πλημμέλημα. Φορτίον γάρ φησί ποτε τοῦ δεσπότου ἐπιφερόμενος, καὶ βαδίζων, λάχανα δ' ἦν αὐτὸ, μυίας ὑπογαργαλισάσης με, μὴ ὑποφέρων, ἔκαμψα τὸν ἐμαυτοῦ τράχηλον, ὅπως ταῖς [4] μυκτῆρσι ταύτην ἀποφυσήσαιμι, οὕτως δὲ τυχὸν φύλλον ἓν τῶν λαχάνων ἐκεί-

3 Cod. ἐλεχθῇς. Solenne in his formis vitium. Rhet. Graec. Vol. VII. c. XII. θ. ἀναμφίλεκτον ἡ ἀντινομία. Mon. ἀναφίλεγκτος. Jos. bell. Jud. I. 24. 1. καὶ ἐκ τῶν φημιζομένων ἔν τι διελεγχθὲν ἅπασι πίστιν ἐπιθεῖ. Par. 1423. διαλεχθὲν. omisso ἐκ. I. 24. 8. κατηγόρητο γοῦν τις ἄρτι κατηγορήσας, καὶ τῷ πρὸς αὐτοῦ διελεγχθέντι συναπήγετο. Par. 1423. διαλεχθέντι. Apsin. p. 712. ἀνάμνησις τῶν ἤδη λεγχθέντων. Par. λεχθέντων. cfr. Jacobs. ad Achill. T. p. 738. ad Philostr. Im. p. 665. Lect. Stob. p. 33. 4 Cod. ταῖς.

Digitized by Google

κρεμασθὲν, καὶ τοῖς ἐμοῖς ὀδοῦσιν ἐμπαγὲν, διαμασησάμενος ἐκεῖνο κατέπιον· ἀλλ᾽ εὐθὺς καὶ τούτου τὰς δίκας ἀπέτισα, ὑπὸ τοῦ δεσπότου παρομαρτοῦντος πολλὰς τῷ ῥοπάλῳ, ὅπερ κατεῖχεν ἐκεῖνος, κατὰ τοῦ νώτου σφοδρῶς βληθεὶς, ὡς καὶ πάλιν ἐξεμέσα παραχρῆμα αὐτό. Οὕπω τέλος εἶχε τῷ ἀθλίῳ τὰ τῆς ἐξαγορεύσεως καὶ τὸν λόγον ὁ λύκος ὥσπερ ἄλλον ἄρνα τινὰ ἡρπακὼς, τῆς ἀδικίας, ἐβόα· τοῦ ὑπερφυοῦς πλημμελήματος· εἶτ᾽ ἐχώρει σε μέχρι νῦν ἡ γῆ, ἀλιτήριε, τοσοῦτον βδέλυγμα, τοσοῦτον ἄγος, τοσοῦτον μίασμα; βαβαὶ τῆς ἀγνωμοσύνης, ἧς ἐπεδείξω πρὸς τὸν σὸν δεσπότην τὸν ἄθλιον, ὃς ἐπὶ τοῖς λαχάνοις, οἷς ἐνίδρωσε σπείρων, συνεχῶς ἄρδων, ἀνακαθαίρων, ἐκτίλλων, ἄλλα ὅσα ἐπ᾽ ἐκείνοις ἀνατλὰς, ἐφ᾽ οἷς μόνοις τὰς τῆς ζωαρκίας ἐλπίδας ἔτρεφεν, ἐξαίφνης τὸ ἐπ᾽ αὐτοῖς κέρδος ἀπολώλεκεν ὑπὸ σοῦ· δηλοῦσι γὰρ αἱ ἐκείνου πληγαὶ, σφοδρῶς, ὡς ἔφης, καταφερόμεναί σου, τὴν τῆς ψυχῆς δεινὴν τρῶσιν ἐκείνου, ἣν ἐβλήθη καιρίαν, σοῦ καταφαγόντος τὰ λάχανα· ἀλλ᾽ ὡς ἔοικεν οὐκ ἀποχρῶσαν ἡ δίκη τὴν πληγὴν ἐκείνην εἰς πρᾶξιν κρίνασα, ἐποίησε πρὸς τὸ λεῖπον τῆς ποινῆς ἀποταμίευστον, ἐπεὶ καὶ τὸ πρᾶγμα αὐτὸ δηλοῖ ἐναργέστατα, μηδόλως διερευνωμένῳ μοι θηραθῆναί σε. Ταῦτα ὁ λύκος εἰπὼν, διασπαράττων τὸν ὄνον ἐπιπηδήσας καὶ δεῖπνον ποιεῖ τὸν δύστυχον· ὃ καὶ πρὸ τῆς ἐξαγορεύσεως ἔργον ἐκείνῳ, κἂν εἰ προσποιούμενος δῆθεν δικαιοσύνην, ἑαυτὸν μὴ δοκεῖν ἀδίκως ἐκεῖνον φαγεῖν τάχα κατέστησε, ταὐτὰ ποιῶν τοῖς τῶν ἀνθρώπων ἀδικωτάτοις, οἳ τὰ τῶν πλησίον ἁρπάζοντες ἐπισεμνολογοῦσι τὴν πρᾶξιν, καὶ λόγοις ἀδικωτέροις δικαιοσύνην τὴν ἀδικίαν δοκεῖν ἀποδεικνύειν ἐπιχειροῦσιν.

Digitized by Google

Cap. II.

Διήγημα τὸ κατὰ τὸν Πολύδωρον. [1]

Ἀνήρπαστο μὲν ἐκ μέσης Ἑλλάδος Ἑλένη, καὶ Ἀλεξάνδρῳ συνῆν ἐν τῇ Τροίᾳ, τῷ Πάριδι· τὸ δὲ γ᾽ Ἕλληνες ἅπασι κοινὴν ὕβριν τὸ πρᾶγμα τίθενται, διά τοι τοῦτο καὶ ἀθρόοι πρὸς Ἴλιον πλέουσι, καὶ τὰ περὶ τὴν Τροίαν πάντα εὐθὺς τῷ στρατεύματι ἀνηρπάζετο, χῶραι ἐληλατοῦντο, πόλεις ἐνεπιμπρῶντο, φρούρια κατεστρέφετο. Ὡς οὖν ὁ πόλεμος ἑτεραλκὴς, [2] καὶ τὴν κατασκαφὴν ὅσον οὔπω καὶ αὐτῇ τῇ Τροίᾳ ἠπείλει, καὶ τὸν κίνδυνον τοῖς ἔνδον φοβερὸν μάλα ἐπέσειε, καὶ τὰ πράγματα ἐπὶ ξυροῦ [3] τοῖς Τρωσὶν ἀκριβῶς διεκρέματο, ὁ τούτων βασιλεὺς γέρων Πρίαμος πράττει τι σοφὸν καὶ τῆς ἡλικίας τῆς ἑαυτοῦ ἄξιον, καὶ τὴν τύχην ὡς ἐδόκει ἀντισοφίζεται· τοὺς μὲν γὰρ ἄλλους αὐτοῦ παῖδας τῷ πολέμῳ ἐκδίδωσιν, ἐπείπερ ἡλικία προὐτρέπετο, ἕνα δ᾽ αὐτῶν ἀπαλὸν πάνυ καὶ πολεμικῶν ἔργων δι᾽ ἡλικίαν ἄγευστον ἐπιτυγχάνοντα πρὸς τὸν Θρᾳκῶν τότ᾽ ἄρχοντα Πολυμήστορα πέμπει, καὶ πολλοῦ φίλον ἐκείνῳ δοκοῦντα· μετ᾽ ἐκείνου δὲ καὶ χρυσὸν ἱκανὸν ἐκπέμπει, Ζώπυρόν τε, τοῦ γε νῦν καὶ τῆς Τροίας καὶ τῶν πραγμάτων πάλιν ἀνόρθωσιν. Καὶ ὁ μὲν οὕτω σοφῶς διεπράξατο, ἐκπέμψας τοὺς μὲν ὑπὲρ πατρίδος τοῖς πολεμίοις συμπλέκεσθαι, τὸν δὲ διὰ πατρίδα τῷ φίλῳ φυλάττεσθαι. Ὁ δὲ βάρβαρος δέχεται τὸν Πολύδωρον καὶ τὸν χρυσὸν ἐπιδέχεται, καὶ ἀδίκους εὐθὺς ὀφθαλμοὺς ἐπιβάλλει τοῖς χρήμασι, καὶ θάνατον μὲν παραχρῆμα τοῦ μειρακίου καταψηφίζεται· ἀλλὰ τὸ τοῦ

---

1 Idem tractavit Niceph. Basil. p. 441. 2 Il. H. 26. *μάχης ἑτερακλέα νίκην.* 3 De hac dictione, ex Il. K. 173. profecta vide notam ad Arsen. Viol. p. 226.

πολέμου ἄδηλον ὑφορώμενος τέως ἐπέχει τὴν χεῖρα ὁ Φρὺξ, καὶ συντηρεῖ δῆθεν τὸν παῖδα, καὶ τὸν φιλοῦντα πρὸς αὐτὸν ὑποκρίνεται· ἐπεὶ δὲ μάθοι τὸν πύργον τῆς Τροίας Ἕκτορα πεπτωκότα, ὁμοῦ δὲ καὶ τὸν ἐμπρησμὸν ταύτης τῷ ἀναφερομένῳ καπνῷ τεκμήραιτο, τότε δὴ τότε, ὅνπερ πάλαι βασιλίσκον ἄδινε, φανερῶς ἀναῤῥήγνυσι, καὶ ἔνθα ὁ παῖς διατρίβοι γενόμενος, καιρίαν βάλλει τὸν νέον, καὶ μετὰ τοῦ χρυσοῦ καὶ τὸ ζῆν ἀπεστέρησεν. Ἀλλ' ἡ δίκη, καίτοι τὰ πολλὰ ἐν ἅπασι διαμέλλουσα, ἐνταῦθα οὐδόλως ἀνέχεται· διὰ τοῦτο καὶ γῆς μὲν κατορύξαι τὸν νεκρὸν οὐ παραχωρεῖ, πελαγείῳ δὲ ῥεύματι ῥίψαι παρασκευάζει. Ἀλλ' ἡ θάλαττα οὔπω τῶν Ἑλλήνων ἀποπλευσάντων ἐξαποπτύει Πολύδωρον, καὶ ὁ νεκρὸς τῇ Ἑκάβῃ γνωρίζεται, καὶ τὸ τοῦ βαρβάρου δρᾶμα ταύτῃ ἀνακαλύπτεται, καὶ φανερῶς ἀμύνασθαι τὸν ἐχθρὸν οὐκ ἰσχύουσα, ἅτε πάντων ἔρημος καὶ αἰχμάλωτος, δόλῳ τὴν δολερὰν ψυχὴν ἀνθυπέρχεται, καὶ ὅθεν ἔγνω τὴν ἐκείνου γνώμην ἁλισκομένην, ἐκεῖθεν τὴν πλεονεκτικὴν ψυχὴν νουνεχῶς δελεάζει τε καὶ τεθήρακε· καὶ εἰς χρυσοῦ φυλακὴν αὐτὸν μετὰ τῶν ἰδίων μεταπέμπεται παίδων· ὁ δὲ τὸν φίλον χρυσὸν ἀκούσας οὐ διαμέλλει, ἀλλὰ σὺν τοῖς παισὶν ὡς εἶχε τάχους ἐφίσταται, ὁ κόραξ ἐπὶ τὸ πτᾶμά φασιν, καὶ τὴν σκηνὴν οὐδαμῶς ὑποπτεύσας μετ' αὐτῶν τὴν σκηνὴν εἴσεισι, καὶ οὕτως Ἑκάβη τοῦ παιδὸς στερηθεῖσα διὰ χρυσὸν τὸν φονέα ἑαυτῇ δι' ἐλπίδα χρυσοῦ μέτεισιν· ὑπὸ γὰρ τῶν ἔνδον Τρωάδων τὰ τέκνα μὲν ὁρᾷ κατασφαττόμενα, ὡς παῖδα σφάξας κἀκεῖνος, ὡς ἂν τῆς τῶν φυσικῶν ἀλγηδόνων δριμύτητος καὶ αὐτὸς αἴσθοιτο· τοὺς δ' ὀφθαλμοὺς ἐξορύττεται, ὡς ἀδίκως ἐνστηριχθέντας τῷ ῥᾳδίως αὐτοὺς χέοντι.

Digitized by Google

Cap. III.

Χρεία.

Οἱ φρονοῦντες εὖ, φησι Σοφοκλῆς, κρατοῦσι παντα-χοῦ.

Ὅδε δὲ Σοφοκλῆς τῶν τραγικῶν τὸ κεφάλαιον· καὶ ὥσπερ Ὅμηρος ἐν πολλοῖς ποιηταῖς μόνος ἔξοχον τὸ κοινὸν ὄνομα εἴληχεν, οὕτω Σοφοκλῆς ἐν πολλοῖς τραγικοῖς τραγικὸς ὀνομάζεσθαι δίκαιος, ὑπεράρας πάντας τοὺς τοιαῦτα ποιήσαντας· μᾶλλον δὲ ταῖς μὲν ὑποθέσεσι καὶ τῷ μέτρῳ τραγικὸς, ταῖς δὲ γνώμαις ἡρωϊκὸς ὁ ἀνὴρ ἀναφαίνεται, μόνος ποιητῶν ἐν ἰαμβείοις ἡρωϊκὰς γνώμας ἐκθέμενος, καὶ ἐν πᾶσι μὲν, ὅσοις ἐξέθετο, σοφὸς ἐπωνύμως ἐκρίθη, καὶ κλέος ἔτι σμικρὸν ἤρατο· ἐν οἷς δὲ περὶ φρονήσεως φιλοσοφεῖ, τοσοῦτον πλέον, ἢ ἐν τοῖς αὐτοῦ λοιποῖς θαυμάζεται, ὅσον κἀκεῖνα κατὰ τῶν ἄλλων τῶν αὐτοῦ τὴν νικῶσαν φέρει καὶ πάσαις ψήφοις κρατεῖ. Τί δὲ περὶ τούτου ἀπεφήνατο· ἡ ἐντελὴς φρόνησις, φησιν, ἐν πᾶσι κρατεῖ, καὶ τοῖς μὲν ῥήμασιν οὕτως ἡ ψῆφος μικρὰ, εἰ δὲ τῷ νῷ μεγάλη, μαρτυρήσει λόγος ὁ ῥηθησόμενος. Ὁ φρονήσεως γὰρ ἀκραιφνοῦς εὐμοιρῶν εἰς νέους μὲν ἔτι τελῶν εὐθὺς ἀπὸ γραμμάτων κακίας ἀρετὴν ἀνθαιρήσεται, κἀντεῦθεν πᾶν ἀγαθὸν ἐξασκήσει, καὶ παιδείας πάσης ἀνθέξεται, οἷς ὡπλισμένος εἰς ἄνδρας γραφεὶς, τίσι τῶν ἀρίστων οὐκ ἂν προσβάλοι, καὶ προσβαλὼν, ποῖα τούτων οὐ μεθ' ὑπερβολῆς κατορθώσαιτο· βουλεύων εὐστόχως βαλεῖ, δικάζων τὴν ὀρθὴν ἐξενέγκοι, ἐξαίρετα γὰρ τῶν ἄλλων κατορθώματα φρονήσεως· ἂν στρατηγῇ, μεγάλως εὐδοκιμήσει, μετ' ὀλίγων πολλοὺς, καὶ μετ' ἀσθενεστέρων ῥωμαλαιοτέρους[1] τροπώσεται· ἃ γὰρ φρόνησις ἐν πολέμοις ἐργάζεται, ἀνδρία οὐκ οἶδεν, ἃ δ' ἀνδρία, ἢ φρονήσεως οὐ

1 Sic codex, et infra p. 603. l. 32. ῥωμαλαῖος.

Digitized by Google

χωρὶς, ἢ οὐκ ἀκινδύνως, εἴ τι καὶ δράσειεν· ἄρχων ὁ φρονῶν εὖ, οὐχ ὑπὸ τοῦ ἀξιώματος ἐκεῖνος, ἀλλ' αὐτὸς τὴν ἀρχὴν κατεκόσμησε, καὶ ὅσον ἐστὶ τὸ τῆς βασιλείας χρῆμα, λαμπρῶς ἔδειξεν ἂν ἰδιώτης, βασιλέων ἐπικρατέστερος. Ὁ μὲν γὰρ τῶν ὑφ' ἑαυτὸν ἄρχει, ὁ δ' εὖ φρονῶν καὶ βασιλέων, εἰ τύχοι, κρατεῖ· καὶ ὁ μὲν ἔστιν ὅτε τὴν ἀρχὴν κλέπτεται ἢ φανερῶς ἀφαρπάζεται, τῷ δὲ ἄσυλόν τε πάντη καὶ ἀναφαίρετον τὸ κράτος μεμένηκεν· ἂν εὐτυχὴς, εὐτυχέστερος τῷ πλεονεκτήματι, ἂν δυστυχὴς, παραμυθεῖ τὴν τύχην τῷ κτήματι· πῶς δ' ἂν καὶ δυστυχῆ ὀνομάσειας, ὃς τοῦ εὐδαιμονεστάτου τῶν παρ' ἀνθρώποις ἀγαθῶν εὐτυχὴς γέγονε· σιωπῶν τῶν λεγόντων θαυμασιώτερος, οἶδε γὰρ, οὗ κρείττων λόγου σιγή· ὁμιλοῦντι δ' αὖθις πάντες κεχήνασι, τὸ μέλιτος γλύκιον ῥέον [2] ἐκεῖνο ὑποδεχόμενοι, καὶ ἁπλῶς, ἵνα μὴ τὰ καθ' ἕκαστα λέγοιμι, ὁ φρενῶν εὖ ἔχων, ἐν ἀνθρώποις ὑπὲρ ἄνθρωπον φαίνεται· εἰ δέ τις ἀτυχεῖ τούτου τοῦ χρήματος, καὶ πάντων ἀγαθῶν ἀτυχέστατος πέφυκε· τῶν μὲν γὰρ ἀνθρώποις εὑρημένων ἀγαθῶν ἢ οὐδενὶ τὴν ἀρχὴν ἐπιχειρήσεται, ἢ ἐπιχειρησάμενος, οὐδὲν πλέον ἢ πληγῶν καὶ πόνων ὅσων ἀναπλησθεὶς, ὡς ὁ τοῦ κωμικοῦ Στρεψιάδης [3] κενὸς ἀπελεύσεται· ἃ γὰρ γνῶσις ἐφεῦρε, πῶς ταῦτα τῇ ἀγνοίᾳ κατορθωθήσεται, καὶ μὴ ὅτι γε ἀφ' ἑαυτοῦ ὁ τοιοῦτος οὐδὲν τῶν ἁπάντων ἀγαθῶν κτήσεται, ἀλλὰ καὶ, ἅπερ φύσις ἢ τύχη ἴσως πρὸς αὐτὸν ἐφιλοτιμήσαντο, ταχέως ἠμαύρωσε καὶ τελείως ἀπέσβεσεν· ἂν ἐξ εὐπατριδῶν, αἰσχύνη τῷ γένει, ἂν Νιρεὺς, χείρων Θερσίτου, ἂν Μίδας, ταχέως Ἶρος καθίσταται, μᾶλλον δὲ τοῖς χρήμασι συναπόλλυται· πλοῦτος γὰρ ἄνευ φρονήσεως ὑγιοῦς οὐ μόνον οὐ παραμένει, ἀλλὰ καὶ τὸν ἔχοντα ἑαυτῷ συναπόλλυσιν· ἂν ῥωμαλαῖος, μὴ μόνον οὐδὲν ἀπόνασθαι τοῦ πλεονεκτή-

2 Il. A. 249. 3 Arist. Nub. 1321. sqq.

Digitized by Google

ματος δύναται, ἀλλὰ καὶ καθ' ἑαυτοῦ τοῦτο ἐκτήσατο, ῥώμη γὰρ φρονήσεως ἄνευ ἵππος ἀκριβῶς ἀχαλίνωτος, ὃς ὅσον θρασύτερος, τοσοῦτον τῷ ἐπιβάτῃ τὸ πτῶμα δεινότερον ἀπεργάζεται. σιωπῶν μὲν οὗτος οὐδενὸς ἄξιος, ὁμιλῶν δ' αὖ καταγέλαστος, καὶ τὸ ὅλον εἰπεῖν, ὁ μὴ φρονῶν εὖ μέσον λογικῶν εἰς ἄλογον τελεῖ. Ταῦτα καὶ τὰ τοιαῦτα ἐννοῶν ὁ σοφὸς Σοφοκλῆς τὸ φρονεῖν εὖ πάντων κράτιστον νουνεχῶς ἀπεφήνατο· ὥσπερ γὰρ οἱ ὀφθαλμοὺς ὑγιεῖς καὶ ἀπειλικρινημένους πλουτήσαντες, ὅποι πορεύονται, ἀπροσκόπτως καὶ ἀσφαλῶς μάλα φέρονται, οὕτως οἱ ἐντελεῖ φρονήσει συζῶντες ὀρθῶς πᾶσι πράγμασιν ἐπιβάλλουσιν· ὃ γὰρ ὀφθαλμοὶ σώματι, τοῦτο σύνεσις ψυχῇ πέφυκεν, εἰ δέ γε βούλει, ὃν τρόπον ἥλιος πάντων μὲν ἑκασταχόθεν ὑπέρκειται, ἀστῆρσι δ' ἐν μυρίοις μέγιστος πολλῷ τῷ μέσῳ καὶ διαυγέστατος πέφυκεν, οὕτως ὁ φρονῶν εὖ πάντων ἀνώτατος· λαμπρότατος δὲ καὶ περιφανέστατος ἐν ἅπασι φαίνεται. Τὴν ἅλωσιν τῆς Τροίας εἰς νοῦν λαβέ μοι· ἦν γὰρ δεκέτης χρόνος καὶ μυρίον ἡρώων πλῆθος ἐκπορθῆσαι οὐκ ἴσχυσεν, καὶ διὰ τοῦτο ἀπειρηκότες ἀπέπλεον, ταύτην ἑνὸς ἀνδρὸς φρόνημα ἐν μιᾷ καὶ μόνῃ φυλακῇ νυκτὸς παρεστήσατο, καὶ ἧς ἔμπροσθον ὑπὲρ ἀριθμὸν ἵπποι ἔμψυχοι προσβαλόντες καὶ ἀρετὴν ἐπιδειξάμενοι παντοίαν πεπτώκασι, ταύτης εἷς ἄψυχος καὶ ἀκίνητος κατεχρεμέτισατο καὶ κατωρχήσατο, σοφίαν ἑνὸς ἔμφρονος φέρων ἢ καὶ αὐτόν. Διά τοι τοῦτο καὶ τῶν ἀναχθέντων εἰς Τροίαν πάντων Ἑλλήνων πτολίπορθος μόνος Ὀδυσσεὺς ἀνηγόρευται. Ὁ δέ γε Περσῶν μέγας βασιλεὺς Ξέρξης, ὃς μετὰ τὸ πάντας σχεδὸν τοὺς ὑπ' οὐρανῷ ὑφ' ἑαυτῷ ποιήσασθαι, καὶ στοιχείων αὐτῶν ἔδοξε κατευμεγεθεῖν, οὐ συνέσει οὗτος ἑνὶς ἀνδρὸς τοῦ Θεμιστοκλέους κατεστρατηγήθη, μετὰ τὴν οἰκουμένην ἅπασαν ἄντικρυς τῇ Ἀθηναίων ἐπεισπεσών· ὁ δὲ Περικλῆς πρότερον τοι-

οὑτων ὑπὸ συνέσει τῶν γερῶν ἔτυχεν, οἷον οὐδεὶς τῶν ἁπάντων μέχρι καὶ νῦν. Μετὰ γὰρ τοὺς πολλοὺς καὶ γενναίους ἐκείνου ἀγῶνας, οὓς οὐκ ἐν ἄλλῳ τινὶ τῶν ἁπάντων πλὴν συνέσει καὶ βουλῇ κρείττονι λαμπρῶς ἐπεδείξατο, Ὀλύμπιος ἀνερρήθη παρ᾽ Ἀθηναίων· οὕτω τὸ φρονεῖν εὖ ἰσχυρὸν, ὥστε τῆς τῶν κρειττόνων αὐτῶν ἐπωνυμίας καὶ ἀξίας τοὺς ἔχοντας ἀξιοῦν, ὅθεν καὶ ἡ τῶν ποιητῶν κορωνὶς τὸν τῶν Ἑλλήνων βασιλέα εἰσάγει οὐ παλαμναιοτάτους τινὰς ἢ πλῆθος τόσον καὶ τόσον, ἢ ἄλλο τι τῶν ἁπάντων ζητοῦντα πρὸς τὸ ῥίψαι τὴν Τροίαν· ἀλλὰ δέκα μόνον, οἷος ὁ Πύλειος, ἄνδρας συμφράδμονας περσέπολιν Ἀθηνᾶν φέροντας προκυρωσάμενον ἀκριβῶς, ὅπερ ὕστερον Σοφοκλῆς ἀπεφήνατο, μηδὲν εἶναι τὰ πάντα πρὸς τὴν ἰσχὺν τῆς συνέσεως. Οὗ δὴ πλεονεκτήματος καὶ Σοφοκλέα πλουσίως μάλ᾽ εὐμοιροῦντα ὑπερθαυμάζειν πάντας εἰκὸς, τοιαῦτα περὶ τῆς ἀκριβοῦς φρονήσεως μέγιστα μικροῖς σαφῶς ἄγαν ἀποφηνάμενον.

Cap. IV.

Γνώμη Δημοσθένους.[1]

Δεῖ δὴ χρημάτων, καὶ ἄνευ τούτων οὐδὲν ἐστι γενέσθαι τῶν δεόντων.

Καὶ εἰ δεινότατος ἐν ῥητορείᾳ Δημοσθένης, ὡς οὐδεὶς ἕτερος γέγονεν, ἀλλ᾽ οὐ χρεία ῥητορικῆς δεινότητος τῷ προθεμένῳ ἐγκωμιάζειν τὸν ῥήτορα. Τὰ γὰρ κατ᾽ ἐκεῖνον καὶ ψιλῶς τε καὶ ἀτέχνως πάντη λεγόμενα οὐκ ἔστιν εἰπεῖν, εἰς ὅσον εὐφημίας ἐπαίρει τὸν ἄνδρα, φύσει τὸ ὑψηλὸν ἔχοντα, καὶ λόγων ἐπεισθέσεως οὐδόλου δεόμενον πρὸς συγκρότησιν· ὁ δέ γε βουλόμενος τοῦτο, οἷόν ἐστι, διαγινώσκειν τὰ περιαδόμενα ἐκείνου

1 Cfr. Nicol. Soph. IV. 2.

Digitized by Google

λοιπὰ θαυμαστὰ ὡς πλεῖστα περιδραμών, τοῖς λόγοις ἐκείνου ἐγκυψάτω, καὶ ἐκ τῶν ὀνύχων [2] μανθανέτω τὸν λέοντα, ἐν οἷς καὶ ἄλλα μὲν μύρια δημηγορεῖ, πλεῖστην ὅσην γενναιοτάτην γνώμην μαρτυροῦντα τἀνδρὶ, καὶ φιλόσοφον τὸν ῥήτορα ἰσχυρῶς ἄγαν ἀποφαινόμενον· ἃ δὲ περὶ συμφέροντος τοῦ δήμου δημηγορῶν ἀπεφθέγξατο, οὐκ ἔστιν εἰπεῖν, ὅσον ὑψοῖ Δημοσθένην, πρός γε πολλοῖς ἄλλοις καλοῖς καὶ τὴν ἐπωνυμίαν ἐκείνην διϊσχυρίζονται. Τίνα δὲ καὶ τὰ γνωματευθέντα τἀνδρί· χρήμασι περιῤῥεῖσθαι τὰ τοῦ Δημοσθένους κοινὰ ταμιεῖα δεῖν μάλα φησὶ καὶ οὐδὲν τῶν δεόντων χρημάτων ἄνευ κατορθωθῆναι δυνάμενον· καὶ ἃ μὲν ἀπεφθέγξατο ταῦτα· εἰ δὲ καὶ ἄριστα, τοῖς λεχθησομένοις νῦν ἐλεγχθήσεται· δῆμος γὰρ χρημάτων κοινῶν εὐπορῶν, οὐδὲν ὅλως ἄχαρι ὑποστήσεται, μᾶλλον δὲ τί τῶν συμφερόντων οὐκ ἂν ἐργάσαιτο, τὰ γὰρ χρήματα πόλεις τὰς μὲν προσούσας ἀσφαλῶς συντηρεῖ, τὰς δ' οὐκ οὔσας προστίθησι, στρατεύματα ἄπειρά τε καὶ ἀνυπόστατα συνίστησι, καὶ στόλους ὑπὲρ ἀριθμὸν πήγνυται, ὧν καὶ φήμῃ μόνῃ τοῖς ἐχθροῖς φοβεροὶ οἱ ἔχοντες καθεστήκασιν, ἂν δὲ καὶ προσβαλεῖν αὐτοῖς δέῃ, πολλοὺς ἂν ἐκεῖ τοὺς ἀριστέας θεάσαιο, ἐπεὶ καὶ τὰ γέρα πολλὰ, καὶ ὅσα οἱ νικήσαντες βούλονται, κἀντεῦθεν τοὺς μὲν ῥᾷστα τρέπονται, τοὺς δὲ πανωλεθρίᾳ διδόασιν· εἰ δὲ καί τινες ὑπὲρ αὐτοὺς τὴν ἰσχὺν εὑρεθεῖεν, πρὸς οὓς ὅπλοις χρῆσθαι ἀδύνατον, χρήμασι τούτους κατεγοήτευσαν, καὶ τὸ ὅλον εἰπεῖν, ἐπρίαντο, τὴν κατ' αὐτῶν ἐκείνων ὁρμὴν εὐχερῶς πάνυ τοῖς δωρήμασι κατακλείσαντες, καὶ πρὸς σπονδὰς τὰς μετ' αὐτῶν εὐκόλως αὐτοὺς συνελάσαντες, καὶ καταδουλοῦντες κἀκείνους δουλείαν πολλῷ χαλεπωτέραν καὶ αἰσχροτέραν

2 Cod. ἐρύγων. Notum proverb. ἐξ ὀνύχων τὸν λέοντα, vide Arsen. Viol. p. 236.

Digitized by Google

τῆς ὧν πολέμου ῥοπῇ παρεστήσαντο. ὧν μὲν γὰρ ὅπλοις ἐκράτησαν, σώματα τούτων κατεδουλώσαντο, οὓς δὲ χρήμασιν ἐξωνήσαντο, γνώμαις αὐτῶν ἐβασίλευσαν· ὅσῳ τοίνυν γνώμη πολλῷ κρεῖττον σώματος, τοσούτῳ τὸ γνώμας καταδεδουλῶσθαι τοῦ σώματα τοῖς μὲν πεπονθόσι φαυλότερόν τε καὶ χαλεπώτερον, τοῖς δὲ δεδρακόσιν ὑψηλότερον καὶ λαμπρότερον πάνυ καθέστηκε. Τοῖς δόξασι τῇ εὐπορούσῃ βουλῇ τέλος ῥᾴδιον προστίθεται· ἐπιστῆμαι δὲ καὶ τέχναι καὶ ἀρεταὶ, καὶ ἄλλα πάνθ' ὅσα τὸν τῶν ἀνθρώπων βίον ψυχαγωγεῖ τε καὶ κατακοσμεῖ, μεθ' ὑπερβολῆς ἐν αὐτοῖς· ἔνθα γὰρ οἱ μισθοὶ, ἐκεῖ καὶ τὰ τοιαῦτα σπουδάζεται· ἔνδεια οὐδέ τινος τῶν ἁπάντων ἐν τούτοις, ἀλλὰ καθημένοις οἴκοι παντ' ἀγαθὰ ἐπιῤῥεῖ, τῶν ἀφ' ἑκάστης πόλεώς τε καὶ χώρας ἐμπόρων συχνῶς καταγομένων, καὶ θεραπόντων δίκην τὰ πρὸς χρείαν πάντα προσαγόντων αὐτοῖς, κἀντεῦθεν πάντας ὑφ' αὑτοὺς ποιοῦνται, τοῖς πᾶσιν ἀγαθοῖς καταβρίθονται καὶ βαθείας εἰρήνης καταπολαύουσιν· ὧν τί μακαριώτερον ἂν ἢ ζηλωτότερον γένοιτο, καὶ ἁπλῶς εἰπεῖν πάντα μὲν εὐχερῆ τοῖς εὐετηρίαν κοινῶν χρημάτων ἔχουσι πάρεστι, δυσχερῆ δ' ἅπαντα πάλιν ἄπεστιν· ὁ δέ γε πενίᾳ συζῶν καὶ χρημάτων κοινῶν γυμνὸς δῆμος οὐδὲν ὅπερ τῶν δεινῶν οὐχὶ πείσεται· προσβαλόντων ἐχθρῶν ἢ δουλείας τὴν ζωὴν ἀνταλλάξεται, ἢ μὴ τοῦτο βουληθέντες διαφθαρήσονται τέλεον, σοφία δὲ καὶ τέχνη καὶ μηχαναὶ καὶ βουλαὶ τὸ εὔστοχον παρ' αὐτοῖς ἔχουσαι οὐδὲν ἔσονται χρημάτων ἀπόντων· πᾶσι γὰρ τούτοις τὰ χρήματα τέλος τίθησιν· εἰ δ' ἄπεστι ταῦτα, ἢ κἀκεῖνα συναπογίγνεται, ἢ εἰ πάρεστιν, ἀδολεσχία μόνον μάταιος πάρεστιν· κἀντεῦθεν τὰ μὲν προσόντα τοῖς τοιούτοις ἀνδράσιν ἀγαθὰ ταχέως ἀπέπτη, τὰ δὲ δυστυχῆ κοσκινηδὸν φέρεται, καὶ τέλος ἠπορηκότες ἢ μετανάσται τῆς ἑαυτῶν γίνονται, οὗ τί δυστυχέστερον

Digitized by Google

γένοιτο· ἢ τοῖς ἐχθροῖς διασπάραγμα γεγονότες οἱ μὲν τέλεον διεφθάρησαν, οἱ δ' ἀθλίως αἰχμάλωτοι ἄγονται, ὅπερ τοῦ τελείως φθαρῆναι πολλῷ δεινότερον. Ταῦτα καὶ τὰ τοιαῦτα ἐννοοῦντα τὸν Δημοσθένην, τὴν ἐπικαιροτάτην ἐκείνην φωνὴν ἀφεῖναι κατέπεισεν.

Ὥσπερ γὰρ ἱέραξ, ἂν μὲν πτερῶν τε καὶ ὀνύχων ἱκανῶς ἔχῃ, μὴ μόνον ἀνώτερος τῆς τῶν ἐχθρῶν ἐπηρείας φαίνεται, ἀλλὰ καὶ κατὰ κράτος ἐκείνην καταστροποῦται, ἂν δ' ἀκριβῶς αὐτῶν ψιλωθῇ, πρὸς τῷ μηδὲν τῶν αὐτῷ συμφερόντων ἐν ἔργῳ ἔτι δύνασθαι καὶ τοῖς ἐχθροῖς διασπάραγμα γίνεται, οὕτω δῆμος εὐπορῶν μὲν κοινῶν χρημάτων πᾶσιν ἀγαθοῖς ἐντρυφῶσι, καὶ πάσης ἐπηρείας ὑπέρκεινται, τούτων δὲ γυμνωθεὶς φθορὰν ἀντενδύονται. Τὴν τῶν πάλαι Περσῶν ἀρχὴν ἄκουε, οἳ τὴν ὑφήλιον σχεδὸν ἅπασαν ὑφ' ἑαυτοὺς ἐποιήσαντο, οὐκ ἐν ἄλλῳ τινὶ ἢ τῇ τῶν χρημάτων ἀφθονωτάτῃ περιουσίᾳ· οἴκους γάρ φασιν ὅλους μεστοὺς χρυσίου τὸν μέγαν βασιλέα κεκτῆσθαι Περσῶν. Ὅθεν τὸν κωμικὸν καὶ ἐν ἅπασι μὲν τοῖς ἀποφανθεῖσιν ἐκείνῳ λοιποῖς ἄγαν ἐκπλήττομαι, λίαν συνεστῶτα τοῖς πράγμασιν ἐπιβάλλοντα, ἐν οἷς δὲ τὴν τῶν χρημάτων ἰσχὺν ὁπόση τίς ἐστιν ἀπεφήνατο,[3] οὐκ ἔστιν εἰπεῖν, ὅσον τὸν ποιητὴν ὑπεράγαμαι· τὰ πάντα γάρ, φησι, τῷ πλούτῳ δεδούλωται, τὴν αὐτὴν Δημοσθένει περὶ τῶν αὐτῶν ψῆφον ἐξενεγκών. ἣν γὰρ Ἀριστοφάνης γνώμην περὶ τοῦ πράγματος διὰ καταφάσεως μόνης φθάσας ἐκύρωσε, ταύτην Δημοσθένης ὕστερον διὰ καταφάσεως ἅμα καὶ ἀποφάσεως σοφῶς συνεπέρανεν, ἥσπερ πολλοὶ μὲν ἀκροαταὶ γενήσονται, καὶ τὸν εἰπόντα Δημοσθένην θαυμάσονται, κατ' ἀξίαν δὲ οὐδεὶς, οὔμενουν ὡς ἀδύνατον τὸ πρᾶγμα παντάπασιν.

V.

---

4 Aristoph. Plut. 128. sqq.

Digitized by Google

Cap. V.

Ἀνασκευὴ, ὅτι οὐκ ἀληθῆ τὰ κατὰ τὴν πλάτανον τὸ φυτόν.

Τοῖς ποιηταῖς ὅσον τέχνης καὶ ἀκριβείας ἐν τοῖς ἑαυτῶν ποιήμασι καὶ παρατηρήσεως λόγου ἐμέλησε, τοσοῦτον ἐν τοῖς τοιούτοις ἀλήθεια παντάπασιν ἐκείνοις καταπεφρόνηται καὶ ἀπέῤῥιπται, καὶ θαυμαστὸν οὐδέν· οἳ γὰρ ἐν τοῖς μεγίστοις τῷ τοῦ ψεύδους πατρὶ προσεῖχον, καὶ περὶ τὸ σέβας ψευδόμενοι οὐκ ἐφρόντιζον, πῶς ἂν οἱ τοιοῦτοι περὶ πραγμάτων τοὺς λόγους ποιούμενοι ὁδεῦσαι τὴν εὐθεῖαν ἐζήτησαν. διατί τοῦτο καὶ ἀλλοκοτά τινα καὶ ἀπίθανα παρετήρησαν, οὐδὲν ὑγιὲς εἰς τὸν βίον παράγοντες, καὶ νῦν μὲν ἐπτερωμένους ἀνθρώπους ἀναπλάττοντες, νῦν δ' ἀνθρωπόμορφα θηρία καὶ τοιαῦθ' ἕτερα παραληροῦντες καὶ παραπαίοντες ὁἰκοθεν τὸν ἔλεγχον φέροντα, καὶ τῷ βουλομένῳ παντὶ ἐκ τοῦ ῥᾴστου, ὡς οὐδὲν τῶν ἁπάντων εὔθραυστα καὶ ἐν πᾶσι μὲν ὅσοις ἐξέθεντο, περιφανῶς ὀνειροπολοῦσιν ἢ καὶ μεμήνασιν· ἅπερ δὲ περὶ τοῦ φυτοῦ τῆς πλατάνου διερυθολογήσαντο, ὡς καταγέλαστα, ὡς παράφορα, καὶ τῆς αὐτῆς τερατολογίας οὐδόλως ἀνάξια. Τίνα δ' ἃ πρὸς ταύτῃ φασί· τὼ τοῦ Ἀλωέως παῖδε ἀνελθεῖν εἰς οὐρανοὺς ἐβουλεύσαντο, καὶ ὄρη συνθέντε καὶ ἀνάβαθρα ποιήσαντε ἀνέρχεσθαι ἐπεχείρησαν· ἀλλ' ὁ θεὸς αὐτοὺς ἄνωθεν κεραυνοῖ· τῶν δὲ τεθνηκότων ἡ ἀδελφὴ θρηνοῦσα οὐκ ἔληγε, καὶ τὸ πάθος οὐχ ὑπομένουσα αἰτεῖ τὸν θεὸν εἰς φυτοῦ φύσιν μεταβαλεῖν· τοῦ δὲ κατανεύσαντος εἰς τὴν πλάτανον, ἣν ὁρῶμεν, φυτὸν μεταβάλλει ἡ κόρη, καὶ ἅπερ μὲν τοῖς ποιηταῖς ἐτερατολογήθη, τοιαῦτα· εἰ δ' εὐέλεγκτα τοῖς ῥηθησομένοις φανήσεται. Τὼ τοῦ Ἀλωέως παῖδε ἀνελθεῖν εἰς οὐρανοὺς ἐβουλεύσαντο, ἀνθρώπου υἱοὶ καὶ ἄνθρωποι ὄντες, πῶς τὰ ὑπὲρ ἄνθρωπον ἐβουλεύσαντο, καὶ ἦν οὐδ' εἶδον διαιταν, ἀντὶ

τῆς συνήθους καὶ φίλης πῶς ἠρετίσαντο, εἴπερ ἐκ τῆς οἰκείας εἰς ἑτέραν ἡμᾶς μεταβῆναι συμβαίη, οὐκ ἔστιν εἰπεῖν, ὅσον τὸ πρᾶγμα δυσχερῶς φέρομεν, καὶ ταῦτ' οὔσης κἀκείνης ὁμοίας γῆς καὶ ἀνθρώπους τοὺς αὐτοὺς κεκτημένης, καὶ γῆν ἅπασαν, ἐφ' ἣν ἐγεννήθησαν καὶ ἐτράφησαν, ἑκόντες ὄντες ἐκεῖνοι ἀρνηθῆναι ἀνασχόμενοι, εἰς χῶρον ἐκ διαμέτρου ἐνηλλαγμένον, καὶ περὶ οὗπερ οὐδ' ἤκουσαν ἐβουλεύοντο μετοικίζεσθαι· ἀλλ' ἔστω, διδόσθω εἰς οὐρανὸν βουληθῆναι τούτους ἀνελθεῖν, συνθέντε δὲ ὄρη, καὶ ἀνάβαθρα κατασκευάσαντε, ἀνέρχεσθαι ἐπεχείρησαν· πρῶτον μὲν, πῶς αὐτὰ μετεκίνησαν, ἢ εἰς ἓν τὰ ὄρη συνήγαγον, ἢ μᾶλλον πῶς τῶν χώρων, ἐν οἷς ἡδραιοῦτο ταῦτα, ἀπέσπασαν, εἰ μὲν γὰρ ἀστήρικτα ἐπέκειτο ταῦτα τῇ γῇ, ἦν ἂν καὶ οὕτως ἄπορον, πῶς τοσαῦτα ὄρη νεανίαιν δυοῖν ἐκεκίνητο· ὅμως δὲ ἴσως ἂν ἐδόκει ἔχειν τινὰ τὸ πρᾶγμα οὕτω παραδοχήν· ἐπεὶ δὲ τῇ γῇ ταῦτα οὕτως ἐμπέφυκεν, ὡς μηδενὶ τῶν ἁπάντων κινῆσαι δυνατὸν, πλὴν τῷ καὶ πᾶσαν τὴν γῆν δυναμένῳ, λείπεται ἢ μετὰ τῶν ὀρῶν καὶ πᾶσαν τὴν γῆν ἐκείνους τότ' ἀνατρέψαι, ἢ μηδὲ τὰ ὄρη ὅλως δυνηθῆναι μετακινῆσαι· ἔπειτα δὲ, ὁπόσης καὶ τῆς ἀναβάθρας κατασκευασθείσης ἐπειρῶντο ἀνέρχεσθαι, ἡ γῆ ἅπασα οὐδὲ πολλοστημόριον τοῦ οὐρανίου ὕψους τι εὕρηται, καὶ μέρη τινὰ ταύτης σμικρότατα καὶ μηδαμινὰ συντεθέντα τὸν οὐρανὸν ἂν ἔφθασεν; ὥσπερ ἂν εἰ ᾠοῦ ἔνδον στοᾶς μεγίστης κειμένου, καὶ ὡς εἰκὸς τοῦ ἀκροτάτου ταύτης ὕψους παντάπασιν ἀπολειπομένου, συντιθείς τις τὰ περὶ τὸ ᾠὸν ἐκεῖνο κεγχρώδη ἐπαναστήματα, τῷ τῆς στοᾶς ἐκείνης ἄκρῳ ἐξισοῦν ταῦτα πειρᾶται· ἀλλὰ τὰ τοιαῦτα μὴ μόνον ἀδύνατα, ἀλλὰ καὶ γέλως πλατὺς λεγόμενος·[1] καὶ ὁ θεὸς αὐτοὺς ἄνωθεν κεραυ-

1 Cfr. Niceph. Progymn. p. 473. εἰρωνεία ταῦτα καὶ γέλως πλατύς.

Digitized by Google

νοῖ· τίνος χάριν; εἰ μὲν γὰρ ἔμελλον ἀναβήσεσθαι, καὶ τὴν ἐκείνου βουλὴν πέρας ἂν σχεῖν, εἰκὸς ἦν ταῦτα ἐκεῖνον ψηφίσασθαι, ὅπως τοῦ ἐπιχειρήματος αὐτοὺς ἀναστείλῃ· ἐπειδὴ δὲ ἤδει ἀνηνύτοις ἐπιχειροῦντας, τίς ὁ σκοπὸς κεραυνοῖς ἐκείνους κωλῦσαι, καὶ βασκαίνειν δόξαι τοῖς καὶ χωρὶς τοῦ κεραυνοῦ παύσασθαι τῆς ἀλόγου ὁρμῆς ἀναγκασθησομένοις μετ' οὐ πολύ. ἀλλ' ἔστω καὶ ταῦτα· τούτων δὲ τεθνηκότων ἡ ἀδελφὴ θρηνοῦσα οὐκ ἔληγε, καὶ τὸ πάθος μὴ φέρουσα τὸν θεὸν ἐξαιτεῖ, εἰς φυτοῦ φύσιν μεταβαλεῖν· ἀδίκως ἀπολωλέναι τοὺς ἀδελφοὺς ᾤετο, ἢ τῶν δικαίων ἐπιτυχόντας· οὐ μὴν καλῶς ἐκείνους παθεῖν ἔκρινεν, ἄχθεσθαι μᾶλλον τούτοις ἐχρῆν, οὐχὶ δὲ τοσοῦτον τῶν ὑβριστῶν κήδεσθαι, ὡς ὑπὲρ αὐτῶν καὶ θρηνεῖν ἄπαυστα· εἰ δ' ἀναξίως παθεῖν ἐκείνους ᾤετο, τοῦ θεοῦ κατηγόρει σαφῶς· καὶ ἄδικον ἐκεῖνον τοῖς δάκρυσιν ἀπεφαίνετο, καὶ πῶς, ὃν ἐχθρὸν ἡγεῖτο, χάριν ἐζήτει, πῶς δὲ κἀκεῖνος τὴν αἴτησιν τῆς ἐκεῖνον μισούσης ἔπλησεν· ἀλλ' οὐ μᾶλλον κἀκείνῃ τὴν αὐτὴν τιμωρίαν ἐπήγαγε, τοῦ ἔργου μὲν μὴ κοινωνησάσῃ τοῖς ἀδελφοῖς, τῆς αὐτῆς δὲ γνώμης διὰ τοῦ ἄπαυστα ὑπὲρ ἐκείνων θρηνεῖν ἐχομένῃ· ἣν λυπεῖν ἔδει, ταύτην ἐψυχαγώγει, τοὺς ἔρωτας αὐτῆς ἐκπληρῶν· τί δὲ ταύτῃ καὶ τὸ μεταβαλεῖν εἰς φυτόν; εἰ μὲν γὰρ ἤθελε διὰ τὴν λύπην φθαρῆναι, αἶνον μᾶλλον ἐχρῆν ζητεῖν, καὶ τοῦτον τὸν τρόπον τοῦ ποθουμένου τυχεῖν, εἰ δὲ σώζεσθαι, τί μεταπεσεῖν εἰς ἑτέραν φύσιν ἐζήτει, ἵν' ἀναίσθητος ἔχῃ τοῦ πάθους; ἀλλ' οὖν εἰς ἑτέραν φύσιν μεταστοιχειωθῆναι μᾶλλον ζητεῖν ἐχρῆν, ἀτιμοτέραν δηλαδή, οὕτω καὶ τοὺς ἀδελφοὺς γὰρ ἂν μᾶλλον τιμᾷν ἔδοξεν, οὐχὶ δὲ εἰς τοιοῦτον ὡραῖον φυτόν, καὶ ἑαυτὴν διὰ τὸ πάθος ἀτιμάζειν εἰκὸς ὄν, καλλωπίζεσθαι διὰ τῆς ἐξαλλαγῆς· ὄντως οὐδεὶς λαλίστερος ἢ ψευδέστερος ποιητῶν γέγονεν.

Cap. VI.

Κατασκευή, ὅτι ἀληθῆ τὰ κατὰ τὴν πλάτανον.

Τοῖς ποιηταῖς, χάρις ὅτι πολλή, οἷς ἐν τοῖς ποιήμασιν ἑαυτῶν μετὰ τῆς τέχνης καὶ ἀκριβείας καὶ τοῦ ἀληθοῦς οὐδόλως ἠμέλησαν, ἀλλὰ τῇ μὲν ἀκριβείᾳ τῆς τέχνης ταῦτα ἐκόσμησαν, τῇ δ' ἀληθείᾳ τῶν λεγομένων τὸ βέβαιον αὐτοῖς ἐχαρίσαντο· ἅτινες ἐξετάζειν μὴ βουλόμενοι ἢ καὶ μὴ δυνάμενοι ἀνασκευάζειν ἐπιχειροῦσιν, ὡς δῆθεν ἄπιστα, καὶ ἐπὶ πᾶσι μὲν οὖν ἀληθείας πρὸ τῶν ἄλλων οἱ τοιοῦτοι ἐφρόντισαν, ἐφ' οἷς δὲ περὶ τοῦ φυτοῦ τῆς πλατάνου διεξίασιν, οὐκ ἔστιν εἰπεῖν, ὅσον τὴν ἀλήθειαν τοῦ ψεύδους προετιμήσαντο· τί δὲ καὶ φασι; τὼ τοῦ Ἀλωέως παῖδε εἰς οὐρανὸν ἀνελθεῖν ἐβουλεύσαντο· πρὸς τῆς ἀληθείας αὐτῆς τί τῷ λόγῳ ἀπίθανον πρόσεστιν; οὐ πάντως τὰ ἄνω φρονεῖν καὶ ζητεῖν ἐδιδάχθημεν; οὐ τὸ παρ' ἡμῖν θεῖον ἄνωθεν; εἰ δ' ὅθεν προήλθομεν, ἐπανελθεῖν ἐπειγόμεθα, θαυμαστόν; τοὐναντίον ἂν ἦν μᾶλλον θαυμάσιον, εἰ τῶν οἰκείων ἐπιλαθόμενοι τοῖς ἀλλοτρίοις αἰεὶ προστετήκειμεν, καὶ οὐρανὸν ἀφέντες τῇ γῇ προσηρείσθημεν. Εἰ δ' οὐρανόσε πάντες ἀνελθεῖν ἐπειγόμεθα, πῶς ἄνθρωποι κἀκεῖνοι ὄντες εἰς οὐρανὸν βουληθῆναι ἀνελθεῖν οὐ πιστεύονται; ἢ πῶς οἱ ταῦτα περὶ αὐτῶν λέγοντες ἀπαράδεκτοι; καὶ ὄρη συνθέντε καὶ ἀναβάθρας ποιήσαντε ἀνέρχεσθαι ἐπεχείρησαν, καὶ τοῦτο εἰκότως, ἐπεὶ γὰρ ἔτι σώμασι προσεδέδεντο, ὁμοίαν καὶ τὴν ἀνάβασιν ἐποιήσαντο· εἰ μὲν γὰρ τοῦ σκήνους ἐνῆν αὐτοῖς γυμνωθῆναι καὶ πνεύματα μόνα λειφθῆναι, ἀσώματον καὶ ἄνυλον ἂν, ὡς εἰκὸς ποιῆσαι καὶ τὴν ἀνάβασιν ἐπεχείρησαν· ἐπεὶ δὲ μετὰ σωμάτων ἔτι ὄντες ἐτύγχανον, σωματικὴν καὶ τὴν ἀναβάθραν διενοήσαντο, ἀλλ' ὁ

Digitized by Google

θεὸς ἄνωθεν αὐτοὺς κεραυνοῖ· ἐπεὶ γὰρ εἶδε τούτους ἀνελθεῖν μὲν προθυμουμένους, οὐ τευξομένους δὲ, ὥσπερ ἐπόθουν, μετὰ σώματος γὰρ εἰς οὐρανοὺς ἀναβῆναι ἀνθρώπῳ ἀμήχανον, γυμνοῖ τούτους τοῦ χοϊκοῦ βάρους, καὶ τοῦ ποθουμένου καταξιοῖ, καὶ τοῦ σωματικοῦ δεσμοῦ λύσας τούτους εἰς οὐρανοὺς εὐχερῶς ἀνελθεῖν παρεσκεύασεν· ἡ δὲ ἀδελφὴ θρηνοῦσα τούτους οὐκ ἔλιγε, τί γὰρ ἀδελφοῦ γνησιώτερον ἅμα καὶ συμπαθέστερον; ἄλλως τε καὶ ταύτης ἀδελφῶν τηλικούτων ἀθρόον στερηθείσης, καὶ ἀθλίως, ὡς ἐκείνῃ ἐδόκει· διά τοι τοῦτο καὶ τὸ πάθος μὴ φέρουσα αἰτεῖ τὸν θεὸν, μεταβαλεῖν εἰς φυτὸν, κατὰ λόγον καὶ τοῦτον· ζῆν μὲν γὰρ οὐκ ἠδύνατο, τὸ σφοδρὸν τοῦ πάθους οὐ στέγειν ἰσχύουσα, εἰς ἄλλην δὲ φύσιν μεταπεσεῖν ἢ ἀποθανεῖν οὐκ ἐζήτησεν, ἵνα μὴ ἑαυτῇ μᾶλλον, ἀλλ᾽ οὐ τοῖς ἀδελφοῖς τῇ μεταβολῇ δόξῃ χαρίζεσθαι· τὸ μὲν γὰρ εἰς ἕτερόν τι μεταβαλεῖν ἢ καὶ τελείως φθαρῆναι ἐκείνῃ ἂν μόνῃ λυσιτελεῖν ἔδοξε, τῆς λύπης ἀπαλλαγείσῃ, καὶ τῶν σπαραγμῶν, οἷς ζῶσα ξυνῆν, τοῖς θανοῦσι δ᾽ οὐδέν· τῇ δὲ οὐ τοῦτο σκοπὸς τῆς μεταβολῆς, ἀλλὰ καὶ τὴν ἀναισθησίαν τοῦ πάθους διὰ τοῦτο ἠγάπα, ἵνα τὸ εἶναι μονιμώτερον καὶ μακρότερον ἔχουσα, τοῖς δάκρυσι τοῖς οἰκείοις τιμᾷν διὰ παντὸς ἔχῃ τοὺς ἀδελφούς· τοῦτο γὰρ ἐκείνῃ τὸ σπουδαζόμενον, ἀγεράστους ἐκείνους λειφθῆναι μηδέποτε, ὥστε οὐχ ἑαυτῆς ἀλλὰ τῶν ἀδελφῶν χάριν καὶ τὴν τοιαύτην μεταβολὴν ᾑρετίσατο· εἰ μὲν γὰρ ἦ ἀθάνατα ζῆν ἢ πρὸς τὴν τοῦ πάθους δριμύτητα διαρκήσειν ἐπίστευε, τὴν μεταβολὴν οὐκ ἂν παρεδέξατο, ἀλλ᾽ ἐφ᾽ ἧς φύσεως ἦν μᾶλλον μένειν ἠγάπα, ὡς ἂν διττῶς τοὺς ἀδελφοὺς θεραπεύῃ τῷ τε ταλαιπωρεῖν διὰ παντὸς καὶ τῷ κλαίειν ὑπὲρ ἐκείνων ἑκάστοτε. ἐπεὶ δὲ τό τε πάθος ἐπὶ θύρας ἠπείλει τὸν θάνατον, καὶ ἑαυτὴν ἐκείνη θνητὴν ἄλλως ὑπίστατο, μεταβαλεῖν ἐζήτησεν, ἐφ᾽ ἧς φύ-

Digitized by Google

σεως οὐδενὸς τῶν τριῶν τούτων διαμαρτεῖν ἔγνωκε· καὶ μεταβαλοῦσα, εἰς ὅπερ ὁρᾶται, ἀναισθήτως ἔχει τοῦ πάθους, καὶ διαρκεστέραν τὴν διάνοιαν κέκτηται· καὶ δακρυρροοῦσα τοὺς ἀδελφοὺς τοῖς νενομισμένοις τιμᾷ· καὶ τὰ τρία γὰρ ταῦτα φυτοῖς πέφυκεν, ἀναισθησίαν ἔχειν παντὸς, τῇ διαδοχῇ παραμένειν, καὶ προχεῖν ἑκάστοτε δάκρυα· τοῦ θεοῦ δὲ κατανεύσαντος εἰς τὴν πλάτανον, ἣν ὁρῶμεν, φυτὸν μεταβάλλει ἡ κόρη· ἧς γὰρ τὴν γνώμην τῶν ἀδελφῶν ἀπεδέξατο, ταύτης καὶ τὴν αἴτησιν προσεδέξατο· οὐκ εἰς καρποφόρον δὲ, ἀλλ᾽ εἰς ἄκαρπον δένδρον μετῆλθεν, ὅτι οὐ κεκοσμῆσθαι ἐβούλετο, καὶ καρποῖς περιστέφεσθαι, καὶ διὰ λύπην ἐναλλαγεῖσα ἔπειτα καλλωπίζεσθαι· ἄλλ᾽ ἄκαρπος πάντη καὶ ἀκαλλώπιστος διατελεῖν μᾶλλον ἠγάπα, ὡς ἂν ἡ πρὸς τοὺς ἀδελφοὺς λύπη ταύτης διὰ τῆς ἀκοσμίας καὶ τῆς ταλαιπωρίας δημοσιεύηται· ἐπὶ τούτοις ἀληθεῖς πάντες οἱ ποιηταὶ, καὶ οἱ τούτοις ἀντιλέγειν πειρώμενοι, οὐκ ἔστιν εἰπεῖν, ὅσον ψεύδονται.

Cap. VII.

Κοινὸς τόπος κατὰ ἱεροσύλου.

Τά τε ἄλλα, ὦ ἄνδρες δικασταὶ, καὶ τὴν ὀφειλομένην πᾶσαν εὐλάβειαν πρὸς τὸ θεῖον ἡμῶν πάντων ἀπονεμόντων, οἱ τούτου καταφρονηταὶ τὴν ἀξίαν ἀποτινύτωσαν· εἰ γὰρ τὰ εἰκότα μὲν ἡμεῖς εἰς τὸ θεῖον τελοίημεν, τοὺς δ᾽ ἀσελγαίνοντας εἰς αὐτὸ ἐξὸν ἐπισχεῖν οὐ κωλύοιμεν, μὴ ὅτι γε οὐδὲν πλέον ἡμῖν ἔσται, ἀλλὰ παρά γε κριτῇ [1] τῷ θεῷ ἀκριβῶς ἴστε τὴν αὐτὴν τοῖς

1 Julian. ep. 1. p. 372. A. παρ᾽ ἐμοὶ κριτῇ. ep. 24. pag. 372. A. εἰ μὲν ἔχει μέτριον ὑπό σοι κριτῇ. Heliodor. II. 7. ταῦτα μὲν ἔφη καὶ ἐπαίνων ἄξια κατ᾽ ἐμὲ κριτήν. Lucian. Asin. p. 78. ed. Courier. καὶ αὕτη δικαιοτάτη ἀμοιβὴ ἐδόκει τότε, εἰ ἦν τὰ πράγματα ἐν ὄνῳ δικαστῇ. ubi vide notam.

Digitized by Google

βεβήλοις ἡμεῖς εἰςπραξόμεθα, ὥστε διὰ τῶν αὐτῶν ἡμᾶς τε αὐτοὺς ἐξαιρήσομεν, ὧν καὶ ἡ γνώμη ἡμᾶς φθάσασα ἠλευθέρωσεν, καὶ ὁ ἱερόσυλος σωφρονιζέσθω, ἵνα γνῷ μὴ καταφρονεῖν, ὥνπερ οὐδεὶς κατ' ἀξίαν τιμᾶν δύναται· ἄλλως τε καὶ πῶς ἂν τοῦ λοιποῦ τὸ θεῖον κατὰ τῶν ἐπηρεαζόντων ἐπικαλεσαμένων ἡμῶν εἰσακούσαιτο, εἰ νῦν οὕτω καταφρονούμενον ἡμεῖς αὐτὸ παραβλέψομεν; μάλιστα δ' ἀκριβῶς τὴν εἰς τὸ θεῖον παροινίαν τοῦ ἁλιτηρίου τούτου σκοπήσετε, εἰ τὰ ἡμέτερα ἄρτι ἐνθυμηθείητε· ἡμεῖς, ὦ ἄνδρες, ἄνωθεν, ὥσπερ τινὰ κλῆρον πρῶτον διεδεξάμεθα, τὸ θεῖον τιμᾶν μὲν καὶ σέβεσθαι· τῆς δὲ τοιαύτης ἐννοίας τεκμήρια καὶ ἄλλα μὲν πλεῖστα ἐνδείκνυσθαι, μετὰ δέ γε τῶν ἄλλων καὶ τῷ χρυσῷ καὶ ἀργύρῳ. λίθοις τε τῶν τιμίων καὶ μαργάροις τὰς θείας εἰκόνας κατακοσμεῖν τε καὶ περιστέφειν, καὶ τοῖς παρ' ἡμῖν δοκοῦσι τιμίοις τὰ ὄντως τίμια δεξιοῦσθαι, καὶ εἰκότως, ἐπεὶ γὰρ τὰς ἀξίας ἡμεῖς ἀμοιβὰς ἀποδιδόναι τῷ θείῳ, ὥνπερ δωρεῶν ἀφθόνων παρ' αὐτοῦ ὅσαι ὧραι καταπολαύομεν, οὐ δυνάμεθα, τῶν γοῦν δυνατῶν οὐκ ἀπολείπεσθαι δέον κρίνομεν· διὰ τοῦτο καὶ περιὼν [2] ἴδοι τις τοὺς ἡμετέρους νεὼς ταῖς

---

2 Cod. περιών. scripsi περιῶν. Nihil frequentius hac confusione. Pausan. IX. 14. 1. εἰς Λεῦκτρα ἰέναι πανδημεί. Angel. εἶναι. ibid. §. 6. διεξιέναι τῆς ὁδοῦ τὰ στενὰ καὶ δύσβατα ἤμελλεν. Angel. διεξεῖναι. Apsin. p. 709. τί δαὶ ἀφιέντες γράψετε ἐξιέναι καταλύειν τοὺς νόμους. Par. ἐξεῖναι. Vita Josephi 32. τοὺς ἐξιέναι θέλοντας. Par. 1423. ἐξεῖναι. c. 55. ἐπὶ τὸν πόλεμον ἐξιέναι. Par. 1423. ἐξεῖναι. c. 61. ἔδοξε δύο μὲν ἀπιέναι πρὸς τοὺς Ἱεροσολυμίτας. Par. 1423. ἀπεῖναι. Bell. Jud. II. 10. 5. παριέναι τὸ πρόσταγμα. Par. 1429. παρεῖναι. III. 5. 4. ἐξιέναι δὲ τοῦ στρατοπέδου δέον, ὑποσημαίνει μὲν ἡ σάλπιγξ. Par. 1429. ἐξεῖναι. III. 10. 10. ἐξιέναι διὰ μόνης τῆς ἐπὶ Τιβεριάδα φερούσης ὁδοῦ. Par. 1429. ἐξεῖναι. VII. 1. 3. καὶ κατ' ὄνομα

τοιαύταις τιμίαις ὕλαις κεκαλλωπισμένους, καὶ περιαστράπτοντας πόῤῥωθεν, ἅπερ οὗτος, ὡς ἔοικεν οὐδόλως ἀποδεχόμενος, ἀλλὰ καὶ τῆς πρὸς τὸ θεῖον τιμῆς ἡμᾶς μυσαττόμενος, ἀσεβὲς ἔργον διενοήσατο, καὶ ταῦτα βλέπων πρὸς ἑαυτὸν τοιαῦτα ἐφθέγξατο· τί, λέγων, οἱ μάταιοι οὗτοι τὸν τοσοῦτον χρυσὸν καὶ τὸν ἄργυρον εἰς οὐδὲν δέον ἐνταῦθα κατέχεον, καὶ τὰς εἰκόνας ἐν αὐτοῖς περιέσχον, καὶ λίθους καὶ μαργάρους ἀπείρους κεῖσθαι κενοὺς ἐν τοῖς ναοῖς ἐπεσώρευσαν; ὄντως, τί ποιοῦσιν, οὐκ ἴσασιν, ἀλλ' ἔγωγε νύκτωρ ὑπεισελθὼν πάντα ταῦτα ὑφελοῦμαι καὶ τοὺς ἐνδεδυμένους ταῦτα γυμνοὺς ποιήσομαι, κἀντεῦθεν ὑπὲρ τοὺς ἄλλους αὐτὸς γενήσομαι, καὶ πάντας ὑπ' ἐμαυτὸν καταστήσω. Ταῦτα καὶ τὰ τοιαῦτα οὗτος μὲν οὐ μόνον ἀκολάστῳ γλώττῃ καὶ γνώμῃ ἐφθέγξατο, ἀλλὰ καὶ χειρὶ ἀκολαστοτέρᾳ πράττειν ἀπήρξατο, ἡ δέ γε δίκη, καίτοι τὰ πολλὰ μακροθυμεῖν εἰωθυῖα, ἐνταῦθα οὐδὲ μικρὸν ἀνασχέσθαι δέχεσθαι ἀλλ' εὐθὺς φωραθῆναι τὸν μιαρὸν εὐδοκεῖ· καὶ τοὺς νεωκόρους ἀνίστησι πρὸς τὴν τούτου κατάσχεσιν· μὴ τοίνυν φιλανθρωπότεροι τοῦ θείου ὑμεῖς δόξαι θελήσητε, συγγνώμης αὐτὸν ἀξιώσαντες, τὸ γὰρ δὴ φαινόμενον αὐτὸς ἐνταῦθα νῦν κρίνει, τῇ δ' ἀληθείᾳ ἡμεῖς περὶ τοῦ θείου διὰ τῆς ψήφου ταύτης δοκιμαζόμεθα, εἰ ἄρα γε ζηλοῦμεν ὑπὲρ αὐτοῦ, ἢ λόγοις μόνοις αὐτῷ χαριζόμεθα· νῦν γὰρ ἢ δικαίως καταψηφισάμενοι τούτου τοῦ ἀσεβοῦς, τὴν εἰς

καλῶν ἐπῄνει τε παρόντας Par. 1423. 1426. παριόντας. VII. 6. 4. ἀκίνδυνον δὲ παρέχων τὴν ἀναχώρησιν τῷ τελευταῖος ἀπιέναι. Par. 1423. ἀπεῖναι. VII. 8. 7. ὅτι μέλλουσιν ἀπιέναι. Par. 1423. 1425. ἀπεῖναι. Aristid. τέχν. B. p. 520. 1. πολιτικὸς δὲ ἀνὴρ οἰκήσειεν ἂν προσελθεῖν τοιούτοις, ὀνόμασιν ὅπου δ' ἂν προσίῃ κ. τ. λ. ita ex emendatione Norrmanni. Ald. et Par. προσείη. cfr. Jacobs ad Achill. Tat. p. 579.

Digitized by Google

τὸ θεῖον εὔνοιαν ἡμῶν ἀκριβῶς βεβαιώσομεν, ἢ συγγνώμης αὐτὸν ἀξιώσαντες, τῆς βδελυρᾶς γνώμης αὐτῷ κοινωνεῖν σαφῶς ἀπελεγχθησόμεθα. Δεινὸν ὁ τυμβωρύχος, πῶς γὰρ οὐ; ὃς πρός γε τοῖς ἄλλοις καὶ εἰς τὴν κοινὴν φύσιν ὑβρίζων οὐκ αἰδεῖται· ἀλλ' ὁ ἱερόσυλος πολλῷ τῷ μέσῳ τυμβωρύχον ὑπερεβάλετο· ὁ μὲν γὰρ εἰς ἀνθρώπους πλημμελεῖ, ὁ δὲ ἱερόσυλος εἰς τὸ θεῖον τολμᾷ· καὶ ὁ μὲν εἰς νεκρὸν, ὁ δὲ εἰς ζῶντα θεὸν πεπαρώνηκεν· ὅσον τοίνυν ἀνθρώπου νεκροῦ ζῶν θεὸς διενήνοχεν, τοσοῦτον ἱερόσυλος τυμβωρύχου παρανομώτερος· καὶ ἀγνώστως μὲν τρῶσαι καὶ ἀβουλήτως φονεῦσαί τις ἔσχεν εἰπεῖν ὁ τοιούτοις ἁλοὺς δηλαδὴ πλημμελήμασιν· ὃ δέ γε ἱεροσυλῶν τε προβαλέσθαι τοιοῦτον οὐκ ἔχει, ἀλλὰ καὶ βεβούλευται, καὶ προέσκεπται, καὶ πρὸ τῆς πράξεως τὴν γνώμην ἱερόσυλος εὕρηται, ὥστε καὶ ὃ μόνον τοῖς ἄλλοις κακουργοῦσιν εἰς λόγον ἀπολογίας λείπεται, τὸν ἱερόσυλον καὶ τοῦτο ἐξέφυγεν· ὁ δὲ τοιοῦτος οὐ μόνον μετὰ τὴν πρᾶξιν, ἀλλὰ καὶ πρὸ ταύτης ὑπεύθυνος· δεινὸν οὖν, εἰ τὸν καὶ πρὸ τῆς πράξεως τιμωρίας ἄξιον ἡμεῖς καὶ μετὰ τὸ πέρας τῆς ἀσεβείας τοῦτον ἐλευθερώσομεν· ἄλλως τε οὐκ ἔστιν ἁπλοῦν, ἀλλὰ πολλαπλοῦν τε κακὸν ἱερόσυλος, κλέπτης γὰρ καὶ τυμβωρύχος καὶ ληστὴς, καὶ φονεὺς, καὶ τὸ ὅλον εἰπεῖν ὕδρα τις ἀτεχνῶς μυθικὴ, ὁ γὰρ θεοῦ καταφρονῶν πῶς ἀνθρώπων ἂν ὤκνησεν; ὁ μὴ τοὺς ζῶντας φοβούμενος, πῶς λόγον τῶν νεκρῶν ἐποιήσατο; ὁ τὰ τίμια ἀτιμάζων, πῶς τῶν φαυλοτέρων ἀπέσχετο, ἀλλ' ὡς εἰκὸς κλοπᾶς καὶ τυμβωρυχίας μυρίας κατωρθωκὼς, οὕτως εἰς τὸν κολοφῶνα [3] τῆς κακίας ἐχώρησεν ὁ ἐπάρατος· καὶ μετ' ἐκεῖνα ἔργῳ μὲν ἱερόσυλος, γνώ-

3 Apostol. Cent. XI. 52. κολοφῶνα κακῶν ἐπέθηκας· ἤτοι τὸ τέλειον καὶ πλῆρες. Vide Heind. ad Plat. Theaet. p. 153. c.

Digitized by Google

μη δὲ δυσσεβὴς ἀπελέγχεται· οὐδὲ τὸ εἰς τοσαύτην μανίαν καὶ τόλμαν ἐλθεῖν ἂν ἐπήρθη, εἰ μὴ περὶ τὸ σέβας πονήρως διέκειτο, ὥστε μὴ τὰς τοῖς ἱεροσύλοις μόνον κειμένας, μηδ' ἁπλῆν τινα, ἀλλὰ πολλαπλασίαν τὴν δίκην ἀποτισάτω· ὅσων γὰρ ἀτοπημάτων ἔνοχος φαίνεται, τοσαύτας καὶ τὰς ποινὰς ἀποδοῦναι καταδεδίκασται· τοιοῦτον δὲ τοῦτον καταστάντα, τίς ἂν τολμήσειεν ἐξαιρήσεσθαι, πρὸς ἔλεον ἡμᾶς ἐκκαλούμενος, φίλοις μὲν γὰρ καὶ προσήκουσιν ὡς ἄγος οὗτος ὁρᾶσθαι δίκαιος, γυναικὶ δὲ καὶ παισὶν ἐσχάτη συμφορὰ δεῖ νομίζεσθαι· εἰ δὲ καὶ περισταῖεν οὗτοι καὶ χεῖρας πρὸς ἱκεσίαν ἀνάσχοιεν, ἃς αὐτὸς χεῖρας βεβήλοις χερσὶ φεῦ ἀπεγύμνωσεν ἐνθυμήθητε· ἂν δὲ καὶ τὰς τῆς κεφαλῆς τρίχας ἐκτίλλωσι, μὴ τοῦ παρ' αὐτοῦ περιαιρεθέντος κόσμου τῶν θείων εἰκόνων ὑμεῖς ἐπιλάθησθε, μὴ τοῖς δάκρυσι τὴν ψῆφον ὑμῶν ὑποκλέψωσιν, ἵνα μὴ παρὰ κριτῇ ὑψηλοτέρῳ καὶ φοβερωτέρῳ δικαστηρίῳ δακρύων ὅσων ὑμᾶς ἀναπληθῆναι παρασκευάσωσιν· ἄλλως τε καὶ πῶς δι' οὓς μᾶλλον ἀπολωλέναι χρεών, δι' αὐτοὺς τὴν σωτηρίαν οὗτος κομίσαιτο· σωθεὶς γὰρ οὗτος νυνὶ τῆς οἰκείας βδελυρίας ἀναπλήσει τοὺς ἑαυτοῦ παῖδας, διδάσκαλος ταύτης ἄριστος αὐτοῖς καταστάς, ὥστε ὁ νῦν εἰς αὐτὸν ἔλεος εἰς πλατυσμὸν τῆς αὐτῆς παροινίας γενήσεται. καὶ μὴν εἰ οἱ πρὸς ἀνθρώπους ἀσελγαίνοντες τοῖς νόμοις ὑπάγονται, πῶς οἱ κατὰ τοῦ θείου μεθύοντες τοὺς νόμους ἐκφεύξονται; ποῦ δὲ τῇ δίκῃ χρησόμεθα, εἰ μὴ καθ' οὗ καὶ ἡ ἄνωθεν δίκη κατεψηφίσατο, τοῦτον ἐναργῶς φανερώσασα; τί δὲ καὶ λυσιτελέστερον ἂν γένοιτο τοῦ τιμωρηθῆναι τὸν ἱερόσυλον, οὐ μόνον γὰρ αὐτὸς θανὼν τοῦ λοιποῦ τοιαῦτα τολμῶν παύσεται, ἀλλὰ καὶ τοὺς ὁμογνώμονας αὐτῷ τῆς τοιαύτης μανίας ἰσχυρῶς ἀνάψεται· ἀλλὰ μηδ' ἐργῶδες τὸ πεσεῖν τοῦτο οἴεσθαι, ὕδραν αὐτὸν ἀκούσαντες· οὔτε γὰρ Ἡρακλέους, οὔτε σὺν αὐτῷ

καὶ Ἰόλεω,[2] ἀλλὰ νεύσεως ἡμῶν μόνης δεόμεθα, καὶ παραυτίκα κεφαλὴν τὴν μιαρὰν ἐκθερίσομεν. Οἷα δὲ καὶ ἐκβήσεται ἱεροσύλου τιμωρηθέντος; τὸ γὰρ θεῖον θεραπευθήσεται, καὶ πρὸς ἡμᾶς εὐμενέστερον τοῦ λοιποῦ βλέψει, οὗ τί ἂν εὐτυχέστερον ἢ μακαριώτερον γένοιτο.

Cap. VIII.

Ταπεινώσεως ἐγκώμιον.

Ὥσπερ οἱ τὴν τῶν ὄντων γνῶσιν εὑρεῖν τε καὶ παραδοῦναι σπουδάσαντες οὐ τοῖς καθ' ἕκαστα καὶ μερικοῖς τῶν πραγμάτων προσβαλεῖν δεῖν ἐγνώκεσαν, ἄπειρα γὰρ ἐκεῖνα καὶ διὰ τοῦτο τῇ ἐπιστήμῃ ἀπερίληπτα, ἀλλὰ τὰ καθόλου μᾶλλον καὶ γενικὰ ὡς εὐαρίθμητα ζητήσαντες, καὶ τὰ εἰκότα ἐν ἐκείνοις φιλοσοφήσαντες, καὶ διαγνόντες αὐτὰ οὔτε ἐπιτυχεῖς τοῦ ζητουμένου γεγόνασι, καὶ τοῦ παντὸς ἐπιστήμονες, ὡς ἐνῆν, καθεστήκασιν, ὡς ἐξ ἀπόπτου τινὸς τὰ πάντα ἐκεῖθεν ἀκριβῶς θεωρήσαντες, τὸν αὐτὸν δήπουθεν τρόπον καὶ οἱ τὰ κατὰ θεὸν κατορθώματα ἐγκωμιάζοντες, ἅπαντα προελόμενοι μὴ κατὰ μέρος ταῦτα ζητείτωσαν, ὑπὲρ ἀριθμὸν ὄντα, μηδενὸς ἑκάστου ἐκείνων ἀποπειράσθωσαν· ἄμήχανον γὰρ παντὶ, καὶ πάντη σχεδὸν ἀδύνατον, τοσοῦτον πλῆθος μὴ ὅτι γ' ἐγκωμιάζειν, ἀλλὰ καὶ ψιλῶς μόνον ἀπαριθμεῖν βούλεσθαι. ἀλλὰ τὸ τούτων πάντων αἴτιον, καὶ δι' οὗ ταῦτα τὸ εἶναι ἔχει, εὑρέτωσαν, κἀκεῖνοι ἐγκωμιάσαντες οὕτως ἐπαινέται τῶν καθ' ἕκαστα εὑρεθῆναι δυνήσονται. Ἐπαινετέον οὖν τὴν ταπείνωσιν, ὅπως τὰ κατὰ θεὸν ἅπαντα κάλλιστα ἐγκωμιασθείη, καὶ ὡς εἰκὸς ἀνακηρυχθείη πρὸς ἅπαντας· δι' αὐτῆς γὰρ ἅπαν, ᾧ,

2 Cod. Ἰωλέως. scr. Ἰόλεω. Suid. Ἰόλαος. ἥρως τις τιμώμενος παρὰ Ἀθηναίοις. Ἰόλεως δὲ Ἀττικῶς.

Digitized by Google

τι καλὸν καὶ τίμιον κατορθοῦται καὶ ἀναφαίνεται· ἥτις πατρίδος μὲν τοσούτῳ κρείττονος ἁπασῶν ηὐμοίρησεν, ὅσῳ καὶ τόπῳ ἐκείνων αὕτη διέστηκεν, ἣ καὶ μεγέθει ὑπερεβάλλετο, καὶ οὐρανὸν ἐσχηκυῖα πατρίδα, θεὸν πατέρα ἐκτήσατο· ὅσαν γὰρ φύσει μέγιστόν τι καὶ ὑψηλότατον τὸ θεῖον καθέστηκε, τοσοῦτον βουλῇ καὶ θελήματι τετα-πείνωται· ὅπερ δὴ μέγιστον χρῆμα καὶ πρῶτον εὐεργετεῖ, ἃς καὶ πρῶτον περὶ αὐτὸν δυνάμεις δεδημιούργηκε, καὶ φωτὸς τοῦ οἰκείου αὐτοῖς μεταδοὺς τὴν ταπείνωσιν εἰς φυλακὴν τοῦ φωτὸς ἐκείναις προσεδωρήσατο, ὅπως τῷ μὲν φωτὶ μεγάλως ἐπισεμνύνωνται, τῇ δὲ ταπεινώσει τὸ φῶς συντηρῶσι, καὶ οὕτως αἰεὶ πεφωτισμέναι τυχχάνοιεν. Ὅτι δὲ ταπείνωσις ἀγγέλοις τὸ φῶς συντηρεῖ, ἐναργῶς ἔδειξεν ὁ μὴ ταύτην δεξάμενος, καὶ διὰ τοῦτο μὴ μόνον τοῦ φωτὸς ἀθλίως ἐκεῖνος ἐκπεκτωκὼς, καὶ σκότους κληρονόμος γενόμενος, ἀλλὰ σὺν τοῖς ὁμόφροσι καὶ αὐτὸς οὐρανοῦ καταῤῥαχθεὶς, οὐ μέχρι γῆς αὐτῆς, ἀλλὰ καὶ πέρα βαράθρων γῆς· ἐκ δὴ τούτου δῆλον, ὅτι ταπείνωσις ἐν οὐρανοῖς κρατεῖ, καὶ τοῖς ἐκεῖ κτίσμασι τὴν δόξαν χαρίζεται, καὶ διὰ τοῦτο καὶ οὓς φωράσεις μὴ πειθομένους αὐτῇ, ὑπερορίους ἐκεῖθεν τούτους ποιεῖται, δεσμοῖς ἀλύτοις καθυποβληθῆναι καταδικάζουσα· τί δὲ τὸν οὐράνιον διάκοσμον ἐπιστατεῖ καὶ διακοσμεῖ ἡ ταπείνωσις, τὸν δ' ὑπ' οὐρανὸν ἑτέρῳ τινὶ παρεχώρησεν; οὔμενουν· τίς γὰρ οὐκ οἶδεν, ὡς τὰ στοιχεῖα οὐκ ἐν ἄλλῳ τῳ τὴν διαμονὴν καὶ τὴν σύστασιν ἔχει, ἢ τῷ συγκεκρᾶσθαι ἀλλήλοις καὶ συνηνῶσθαι, ὅπερ ἐκ τοῦ ταπεινοῦσθαι καὶ ἀλλήλοις καθυποτάσσεσθαι καὶ καθυπείκειν αὐτοῖς μάλα λαμπρῶς περιγίνεται, ἅπερ συνιστάμενα, καὶ τῷ παντὶ τούτῳ τὸ εἶναι καὶ τὸ καλῶς εἶναι χαρίζεται· ὧραι δὲ πόθεν τὴν ἀρίστην ταύτην χορείαν διηνεκῶς ἐξελίττουσί τε καὶ ἀπαρτίζουσιν; οὐ τῷ ὑποχωρεῖν ἀλλήλαις [1] καὶ

1 Cod. ταῖς ἀλλήλαις.

Digitized by Google

ὑπερίστασθαι; ἡμέρα δὲ καὶ νὺξ, οὐ πρὸς ἀλλήλας ὑποταγῇ χρώμεναι, τὴν διαδοχὴν ἅμα καὶ διαμονὴν κέκτηται, οὐδὲ φυτὰ ταπεινώσεως ἄνευ σώζεσθαι δύναται, ἀλλ᾽ ἐπελθούσης ἢ λαίλαπος βιαίας ὁρμῆς, ἢ ῥύμης ὑδάτων, εἰ μὲν ἀνθίσταται, καὶ πρὸς αὐτὴν ἀντίτυπα γίνεται, ἢ παραχρῆμα προθέλυμνα πίπτει, ἢ κατακλᾷ τῇ βίᾳ· εἰ δ᾽ ὑποχαλᾷ καὶ ἐνδίδωσι, καὶ ταπεινούμενον κάτω κύπτει, κρείττω τῆς ἐκείνων ἰσχύος αὐτὰ γέγονεν· ἀλλ᾽ οὐδὲ κεραία μὴ ὑποχαλῶσα καὶ ὑπενδιδοῦσα τὴν ναῦν καὶ τοὺς ἐν τῇ νηὶ ἢ καὶ ἑαυτὴν ἀκινδύνους διασώζειν δύναται, ὥστε πᾶν εἴτι ἐν οὐρανῷ καὶ ὑπ᾽ οὐρανὸν ταπείνωσις συγχωρεῖ, καὶ τὸ εἶναι τούτοις χαρίζεται, οὐ μὴν ἀλλὰ καὶ πρὸς ἀνθρώπους ἐλθεῖν βουληθεῖσα, ὡς ἂν καὶ ἡμᾶς τῶν αὐτῶν ἀγαθῶν ἀναπλήσειε, διὰ τίνος κατῆλθε; μήτοιγε δι᾽ ἀγγέλου ἢ σεραφεὶμ, ἢ πολυομμάτου, ἢ ἄλλης τινὸς τῶν τοιούτων δυνάμεων; οὐδαμῶς, ἀλλ᾽ ὁ πατὴρ αὐτῆς, οἷα γνήσιον παῖδα ἐναγκαλισάμενος σὺν αὐτῇ πρὸς ἡμᾶς λαμπρῶς μάλα κάτεισιν, ἅμα μὲν δεικνύων, ὡς οὐδέποτε ταπείνωσις ἐκείνης ἀφίσταται, ἅμα δὲ καὶ ὅσου τιμᾶται τὴν παῖδα γνωρίζων ἡμῖν, καὶ κατελθὼν εἰς ἅπαν τὸ τῆς σωτηρίας ἡμῶν μυστήριον, συνεργῷ ταύτῃ κέχρηται· γεννᾶται γὰρ καὶ ἐκ γυναικὸς καὶ ἐν σπηλαίῳ, καὶ δούλου μορφὴν λαμβάνει, καὶ ὡς τῶν ῥυπαρῶν εἷς αἰτεῖ κάθαρσιν, καὶ ὑπὸ δούλου τουτὶ δέχεται μὴ δεόμενος, ἅπερ οὐδὲν ἄλλο ἢ ἄκρα ταπείνωσις ἀπειργάζετο, μετὰ δὲ τὸ τοιούτοις ἔργοις ταύτην ἀνακηρύξαι. καὶ λόγοις ἡμῖν αὐτὴν παραδίδωσι, νῦν μὲν, μάθετε ἀπ᾽ ἐμοῦ, ὅς πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, βοῶν, νῦν δὲ σκώληκα καὶ οὐκ ἄνθρωπον ἑαυτὸν ἀποκαλῶν, αὖθις δὲ καὶ τὸ κέρδος ὁμοῦ ταύτης ἐπαγγελλόμενος, πᾶς ὁ ἑαυτὸν ταπεινῶν ὑψωθήσεται, διϊσχυριζόμενος, καὶ ὅστις πρῶτος εἶναι βούλεται, οὐκ ἐν ἄλλῳ τῳ τῶν ἁπάντων ἢ τῷ πάντων ἔσχατος

Digitized by Google

εἶναι, τοῦ ποθουμένου τύχοι, σοφῶς μάλα ὑποτιθέμενος, καὶ ἵνα τὰ καθ' ἕκαστα, οἷς αὐτὴν ἀνηγόρευσεν ὁ πατὴρ παραδράμω, ὡς δουλικοὺς δηλαδὴ πόδας ἐν δουλικῷ τῷ σχήματι νίψειεν, ὡς παραδοθεὶς ἄγοιτο οὐκ ἐρίζων, οὐδὲ κραυγάζων, ὡς ἀνασκολοπισθείη λογισθεὶς ὡς κακοῦργος, ὡς τὰ ἐν τῷ σταυρῷ θρυλλούμενα, πρόθυμος ἅπαντας καταδέξαιτο, τοῦ θαύματος θνήσκει διὰ ταπείνωσιν, ἐταπείνωσε γάρ, φησιν, ἑαυτὸν, γενόμενος ὑπήκοος μέχρι θανάτου, καὶ ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ ψυχὴ αὐτοῦ ἤρθη· εἶτα τί; ὁ θεὸς διὰ τοῦτο αὐτὸν ὑπερύψωσεν, ἀνίσταται γὰρ διὰ τούτου δηλῶν, ὡς ὑψοποιὸς ἡ ταπείνωσις, καὶ δι' αὐτῆς ἐναργεῖ τὰ μέγιστα· μετὰ ταῦτα ἀνέρχεται, ὅθεν κατῆλθεν, ὑψηλότερον· διὰ τοῦτο καὶ αἱ κατερχόμενον αὐτὸν χωρήσασαι πρῶτον πύλαι ἀνερχομένῳ τούτῳ νῦν οὐκ ἀρκοῦσιν, ὅθεν καὶ ὑψηλότερον αὗται ἀρθῆναι κελεύονται, ἵνα τὸν διὰ τῆς παιδὸς ὑψηλότερον γεγονότα χωρῆσαι δυνηθεῖεν. Εἰδὲς τὰ τῆς ταπεινώσεως κατορθώματα· τὸν θεὸν, οὗ οὐδὲν ὑψηλότερον, ὑψηλότερον ἡμῖν ἀποδείκνυσιν· ἀλλ' ὁ μὲν ὑψοῦται ἐπὶ τοὺς οὐρανούς, ἡ δὲ δόξα αὐτοῦ ἐπὶ πᾶσαν τὴν γῆν καταλείπεται. Δοὺς γὰρ ὁ σωτὴρ ἡμῖν τὸν τῆς ζωῆς θησαυρὸν, ὃν καὶ πρότερον ἔχοντες ἀπωλέσαμεν, ὁ μὲν, ὅθεν κατῆλθε, λαμπρῶς πάλιν ἐπάνεισιν· ταπείνωσις δὲ πρὸς ἡμᾶς καταλείπεται, ὡς ἂν τοῦ μὲν ἀπολαύωμεν, τὸν δὲ ἄσυλον αὐτὸν ἡμῖν αὐτοῖς συντηρῶμεν καὶ ἀναφαίρετον· ἐπεὶ γὰρ ὑπερηφανίᾳ καὶ τῷ τὰ ὑπὲρ ἡμᾶς φαντασθῆναι πρώην αὐτὸν ἐσυλήθημεν, νῦν ταπείνωσις ἡμῖν δίδοται, ἵνα τούτου φύλαξ ἄγρυπνος οὖσα τοὺς ἐπιβουλεύοντας ἀπελαύνῃ, ὃ δὴ καὶ ποιεῖ· τίς γὰρ ταπεινούμενος οὐ μετὰ πολλοῦ τοῦ περιόντος τοῦ κοινοῦ ἐχθροῦ κατευμεγεθεῖ, πασῶν μὲν γὰρ ἀρετῶν ὁ πονηρὸς ἥττηται, ὑπὸ δὲ τῆς ταπεινώσεως οὐκ ἔστιν εἰπεῖν ὅπως κατατροποῦται, καὶ ὅσον

Digitized by Google

ἀνδραποδίζεται· καὶ εἰκότως πλέον πασῶν ἀρετῶν τοῦ ταύτην φθονοῦντος ταπείνωσις περιγίνεται· εἰ μὴ γὰρ δι' αὐτῆς τούτων οὐδεμία συνίσταται, ὥστε καὶ ἣν ἑκάστη ἰσχὺν κέκτηται, παρ' αὐτῆς ἔχει· καὶ ὅσης ἅπασαι, αὕτη μόνη ταύτης κυρία καθέστηκεν, καὶ ὁ ταύτην ἔχων, ἅπαντα κέκτηται· τοῦτο δέ τις ἀκριβὴς μύστης αὐτῆς δηλῶν ἔλεγεν, οὐ τόσας καὶ τόσας ἀρετὰς πεποίηκα, ἀλλ' ἐταπεινώθην καὶ ἔσωσέ με ὁ κύριος. Εἶδες, ἰσχυρῶν βασιλέων ὁ ταπεινούμενος ὑψηλότερος· καθεῖλε γὰρ ὁ ταύτης πατὴρ δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς· ἀρχιερέων αὕτη προσηγορία καὶ κόσμος παντὸς αὐτοῖς ὑψηλότερος. Ἂν Νινευῖτας ταπείνωσις λάβῃ, οὐρανοῦ πολίτας ποιεῖ· λαὸν γὰρ ταπεινὸν σώζει ὁ κύριος· ἂν μοιχοὺς ἅμα καὶ φονεῖς εὕρῃ, ἡμαρτήσαμεν τῷ σῷ πατρὶ λέγοντας, οὐ μόνον τὰ ἁμαρτήματα τούτων ἀφείλετο, ἀλλὰ καὶ τὴν τῶν προφητῶν χάριν πάλιν ἐκείνοις χαρίζεται· ταπεινοῖς γὰρ δίδωσι χάριν ὁ κύριος· ἂν Μανασσῆν ὁρᾷ, τὴν ταπείνωσιν καὶ τὴν [2] κόπρον ἐκείνου τῆς συντριβῆς, πάσας τὰς ἁμαρτίας ἐκείνῳ ἀφίησιν, ἐγγὺς γὰρ ὁ κύριος τοῖς συντετριμμένοις τῇ καρδίᾳ, καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώζει· ἂν λῃστὰς, οὐ μόνον μυρίων κολάσεων, ὧν ἦσαν ἔνοχοι, τούτους ἐλευθεροῖ, ἀλλὰ καὶ πρώτους εἰς παράδεισον τῷ οἰκείῳ πατρὶ συνεισάγει· διὰ μικροῦ καὶ ταῦτα τοῦ ῥήματος, θυσία γὰρ τῷ θεῷ πνεῦμα συντετριμμένον· ἂν πόρνους δικαιοῖ, καρδίαν γὰρ συντετριμμένην καὶ τεταπεινωμένην ὁ θεὸς οὐκ ἐξουθενοῖ· ἂν τελώνας προσδέχεται, ἐν ψυχῇ γὰρ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν· καὶ οὐ μόνον δέχεται, ἀλλὰ καὶ δικαιοτέρους ἀπὸ τοῦ ἱεροῦ τῶν φαρισαίων κατάγει, οὐδενὸς ἄλλου διὰ τούτου δηλουμένου πάντως, πλὴν ὅτι

2 Cod. τὸν.

ταπεινώσεως ἀπούσης ἡ οὐδεμία ὡς εἴρηται, τῶν ἀρετῶν φανῆναι δύναται, ἢ μάταιον ἄχθος, εἰ πάρεισι· ταύτης δὲ παρούσης καὶ ἅπασαι πάρεισιν, ἂν ὀστᾶ νεκροῦ ταπεινοῦ ἐρωτᾶται, εἰ τέθνηκεν, οὐχὶ, ἀλλὰ ζῇ, ἀποκρίνεται, ἀγαλλιάσεται γὰρ ὀστέα τεταπεινωμένα, καὶ οὕπω τὸ ὑπερβάλλον τῆς ἰσχύος αὐτῆς ὁ λόγος δεδήλωκεν· ἀνθρώπους γὰρ θεοὺς καὶ δαίμονας, ὦ τοῦ θαύματος, ἀγγέλους ποιεῖν ταπείνωσις δύναται· εἰ γὰρ ἡ ὑπερηφανία τἀναντία ἀπέδειξεν, εὔδηλον ὡς καὶ ἡ ταπείνωσις τὰ τούτων πάλιν ἐναντία δυνήσεται· δέδωκας γὰρ ὄντως κέρας τῷ κρατερόν σου τῇ παιδί σου, καὶ σώζεις τοὺς υἱοὺς τῆς παιδίσκης σου. Ἡ γοῦν πατέρα τοιοῦτον πλουτήσασα, ἡ ταῖς οὐρανίαις δυνάμεσι τὴν δόξαν φυλάττουσα, ἡ τοὺς μὴ πειθομένους αὐτῇ κατάρασουσα, ἡ τοῖς ἄνω καὶ τοῖς κάτω τὸ εἶναι καὶ τὸ εὖ εἶναι παρέχουσα, ἡ σὺν τῷ πατρὶ τὴν σωτηρίαν τῶν ἀνθρώπων μὴ μόνον οἰκονομήσασα, ἀλλὰ καὶ ἄσυλον ἡμῖν αὐτὴν συντηροῦσα, ἡ ἀρετὰς πάσας ἀπογεννῶσα, ἡ ἁμαρτίας πάσας ἀπορραπίζουσα, ἡ τὸν θεὸν ὑψηλότερον ἡμῖν ἀποδείξασα, ἡ τοὺς ἀνθρώπους θεοὺς ἀποφήνασα, ἡ τοὺς δαίμονας ἀγγέλους ποιεῖν δυναμένη, πρὸς δὴ τὴν τοιαύτην τί πρὸς σύγκρισιν ὑπολέλειπται; πάντως οὐδέν· διὰ τούτων τοίνυν ὄντως ἀσύγκριτος καὶ ἀπαράμιλλος ἡ ταπείνωσις πέφυκεν. Ἀλλ' ὦ ταπείνωσις, ὑψηλὴ καὶ ὄντως αἰθέριος; εἰ μὲν ὑψηλοὺς καὶ ἡμεῖς τοὺς σοὺς ἐπαίνους ἐπελέξαμεν, χάρις τῷ τε σῷ πατρὶ καὶ αὐτῇ, οὕτως ἡμᾶς ἀνυψώσαντι καὶ τοιούτων ἡμᾶς ἀξιώσαντι· εἰ δὲ ταπεινῶς, καὶ οὕτως χάριν ἡμῖν, ὅτι ταπεινοφρονεῖν ἡμᾶς ἔτι βούλεσθε, ἵν' ὑψηλοτέρους ἐν καιρῷ, ὅπερ ἔργον ὑμῖν, ἀποδείξητε.

Cap.

Digitized by Google

Cap. IX.

Ψόγος ὑπερηφανίας.

Εἴπερ καὶ μέρος ὁποιονοῦν τι κακίας διαβάλλειν πάντας εἰκὸς, καὶ κακῶς λέγειν χρὴ τὰ αὐτῶν ἀνατιθεμένους αὐτῷ καὶ τοῖς οἰκείοις καρποῖς περιστέφοντας, ὁποίους δή τινας χρὴ πρὸς τὴν καθόλου κακίαν ἡμᾶς διατίθεσθαι, καὶ ὁπόσον διακωμῳδεῖν ταύτην εἰκὸς, τὰ αὐτῆς ἐξελέγχοντας, ἀλλὰ κατὰ μέρος ἐπεξελθεῖν ταύτῃ τῶν ἀδυνάτων ἓν πέφυκε· πολυκέφαλον γὰρ ὄντως θηρίον καὶ πολυσύνθετον, πολλῷ πλέον τῶν τοῖς μύθοις διατεθρυλλημένων ἐκείνων· διά τοι τοῦτο καὶ σοφώτερον μᾶλλον ἐπεξιτέον, καὶ τὴν ῥίζαν ἐκτμητέον εὑροῦσιν, ὅπως τὰ πολυέλικτα ταύτης ἀναβλαστήματα ἀθρόως χαμαὶ πέσῃ καὶ καταμαρανθείη τῶν ἀξίων ἐπιτυχόντα. Ὑπερηφανία τοίνυν ῥίζα καὶ μήτηρ καὶ πηγὴ καὶ γεννητρὶς καὶ δημιουργὸς καὶ διδάσκαλος καὶ πᾶν εἴτι τοιοῦτον κακίας ἁπάσης πέφυκεν· ὑπερηφανίας οὖν καὶ ἡμεῖς καταδράμωμεν, ἵνα πᾶσαν κακίαν, ὡς εἰκὸς διαβάλλωμεν· ἥτις πρῶτον μὲν οὐ κτίσμα θεοῦ, οὗ τί πρὸς ψόγον μεῖζον ἂν γένοιτο, εἴπερ τὰ θεοῦ κτίσματα οὐ μόνον καλὰ, ἀλλὰ καὶ λίαν· ἡ δ' ὑπερηφανία τοὐναντίον ἅπαν οὐ μόνον κακὴ δηλαδὴ, ἀλλὰ καὶ λίαν κακὴ, ἔπειτα δὲ οὐδὲ κτίσμα τὴν ἀρχὴν αὕτη, οὐδὲ γὰρ οὐσία τις ὑπερηφανίας, ἀλλ' ὄνομα ἀνούσιον καὶ ἀνύπαρκτον, καὶ τῇ ἀπουσίᾳ τοῦ καλοῦ τὴν σύστασιν μόνην ἔχουσα, ὥσπερ σκότος τῇ τοῦ φωτὸς στερήσει, αὐτὴ δὲ καθ' αὑτὴν οὐδόλου ὑφεστηκυῖα· δημιουργὸς δὲ καὶ πατὴρ καὶ διδάσκαλος ὑπερηφανίας διάβολος, ἐκεῖνος γὰρ ταύτην ἐγέννησε, καὶ πρῶτος τὸν ταύτης καρπὸν ἐτρύγησε,[1] τὸν κοπιῶντα γὰρ γεωργὸν πρῶτον δεῖ,

1 Cod. ἐρύγησε.

καὶ τῆς ἀῤῥήτου λαμπρότητος ἐκείνης, ἧς ἀπήλαυεν, ἀθλίως διὰ ταύτην ἐκπέπτωκε, καὶ κολάζεσθαι μετὰ τῶν σὺν αὐτῷ ἀθλίων καταδεδίκασται· οὕτω τοιγαροῦν τὸ ἐχιδνοτόκον τοῦτο γέννημα διαῤῥῆξαν, καὶ ὡς εἰκὸς θανατῶσαν τὸν ἑαυτοῦ γεννητῆρα, καὶ εἴσω τοῦ παραδείσου πρὸς τὸν πρῶτον ἄνθρωπον ἡ ἀναιδὴς εἰσκωμάσασα διὰ τοῦ οἰκείου πατρὸς, καὶ ὑποκλέψασα, πληγῇ κἀκεῖνον τοσοῦτον δεινοτάτῃ καθυποβάλλει, ὡς θεοῦ μόνον δεηθῆναι πρὸς ἴασιν, οὐ μόνον γὰρ τροφῆς παραδείσου καὶ θεοῦ ἐπισκέψεως καὶ ἀθανασίας ἐξέωσεν, ἀλλὰ καὶ ἀθάνατα κολάζεσθαι παρεσκεύασε τὸν ἀθάνατα τρυφᾶν ἠξιωμένον παρὰ [2] τοῦ κτίσαντος. Δραξαμένη γὰρ ἀρχὴν καὶ τὰς ἑαυτῆς πονηρὰς ῥίζας καταφυτεύσασα, ἐπλήρωσε μὲν πᾶσαν τὴν γῆν τῆς σκιώδους καὶ ζοφερᾶς κακίας αὐτῆς· τὰ δὲ κλήματα αὐτῆς μέχρι θαλάττης τῆς ἁλμυρᾶς φημι ἀπιστίας ἐξέτεινε· καὶ ἦν ἂν ἡ βδελυρὰ καὶ ἡμῶν ὡς καὶ τοῦ ἰδίου πατρὸς κατορχηθεῖσα τελείως, εἰ μὴ ὁ τῶν δυνάμεων θεὸς ἐπιστρέψας ἐξ οὐρανοῦ ἐπέβλεψεν ὡς φιλάνθρωπος καὶ εἶδεν, ὃς καὶ καταβὰς τὸν μὲν φραγμὸν, τὸν πονηρὸν δηλαδὴ γεννητῆρα ταύτης καθεῖλεν, αὐτὴν δὲ λυμαινομένην τὰνθρώπινα καὶ κατανεμομένην καθάπαξ τελείως ἠφάνισεν· ἣν δὲ ἄμπελον ἐφύτευσεν, ἡ δεξιὰ αὐτοῦ ἐπεσκέψατο, καὶ θανατωθέντας ἡμᾶς ζωώσας τὸ ὄνομα αὐτοῦ ἐπικαλεῖσθαι, καὶ οὐ θεοὺς ἀλλοτρίους εὐδόκησεν. Αὕτη μήτηρ τῆς πονηρᾶς πλεονεξίας, ἧς αὖθις πονηρότατον γέννημα ἀδικία· οὐδὲ γὰρ ἔστιν, οὐκ ἔστι τοῖς παροῦσι, κἂν ἄπειρα ᾖ ἀρκεῖσθαι τὸν ἅπαξ ταύτης γεγονότα ἐφόλκιον, ἀλλὰ προσάπτειν οἰκίας πρὸς οἰκίας, καὶ ἀγρὸν πρὸς ἀγρὸν ἐπείγεται, οὐχ ἵνα τι, ἀλλ' ἅπαν τοῦ πλησίον ἀφέληται· οἷς οὐ μόνον τὸ τοῦ προφήτου, οὐαὶ, μιστὸς πρόκειται, ἀλλὰ πρὸς τῷ μηδὲν ἀνύσαι, ὥνπερ ἐπι-

2 Cod. περί.

χειροῦσιν, καὶ πολέμοις κατάκρως ἐκτρίβονται. Εἶδες τὴν πονηρὰν ῥίζαν, οὐ μόνον ψυχικὸν, ἀλλὰ καὶ σωματικὸν θάνατον ἐξανθοῦσαν, εἶδες τὴν ὀλεθρίαν σειρῆνα; οὐ μόνον ψυχὴν ἄγχει, ἀλλὰ καὶ σώματα. κατὰ γὰρ τὸν ἑαυτῆς γεννητῆρα τοὺς τιμῶντας αὐτὴν οὕτως οἶδε τιμᾷν, οἷς καὶ ὁ προφήτης μὴ μόνον οὐ συνεσθίειν ἐβούλετο, ὑπερηφάνῳ γὰρ ὀφθαλμῷ, φησὶν, καὶ ἀπλήστῳ καρδίᾳ οὐ συνήσθιεν, ἀλλ' οὐδ' ἐν τῷ αὐτοῦ οἴκῳ τοὺς τοιούτους οἰκεῖν παρεδέχετο· οὐ κατῴκει γὰρ ἐν μέσῳ τῆς οἰκίας μου ποιῶν ὑπερηφανίαν, οἷς καὶ ἐπαρώμενος τὴν φρικωδεστάτην κατ' αὐτῶν ποινὴν τὸν Θεὸν ἐξαιτεῖ, ἔπαρον τὰς χεῖράς σου ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν· διατί; ὅτι οὐ μόνον παρηνόμουν, φησὶν, ὑπερηφανίᾳ, ἀλλὰ καὶ ἕως σφόδρα. ὅτι δὲ μεγίστη τε μωρία αὕτη, ἔδειξε τοῦτο ὁ μέγας κήρυξ τῆς ἐκκλησίας, φόβον τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος βοῶν· ὃς καὶ αὐτὸς ἀποτρόπαιόν[3] τι κακὸν καὶ Θεοῦ πόρρω βάλλον ὑπερηφανίαν εἰδὼς, ἀπεύχεται ἑαυτῷ ταύτην λέγων· ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι· μονονουχὶ διὰ τῆς ἀπαγορεύσεως οὐδὲν δεινότερον ὑπερηφανίας ἀποφαινόμενος. Διὰ ταύτην ὁ τῶν Ἑλλήνων πάλαι βασιλεὺς τοῦ ἰδίου φιλτάτου γενέσθαι φονεὺς κατηνάγκασται· Αἴας μανίᾳ πρῶτον ἑάλω, εἶτα καὶ τέλος ἑαυτὸν διεχρήσατο, τῇ ἑαυτοῦ μόνῃ ῥώμῃ τε καὶ φρονήσει τὰ κατορθούμενά οἱ ἐπιγράφειν τῆς ἀσελγοῦς ταύτης ὑποτιθεμένης,[4] θείας δὲ ῥοπῆς μηδόλως δεῖσθαι πρὸς τὸ ἀριστεύειν, καὶ πεισάσης νεανιεύσασθαι. Ὁ δέ γε Περσῶν βασιλεὺς, ὁ τοσοῦτος

3 De hac voce vide Wyttenb. ad Plut. p. 149. D. Alciphr. III. 40. ἀποτρόπαιος καὶ φοβερός. Heliod. II. 20. ἀποτέμνει τῆς κόμης τὸ περιττότερον — τοῦ μὴ ἀποτρόπαιος καὶ ὕποπτος εἶναι τοῖς ἐντυγχάνουσι. Niceph. Prog. p. 496. l. 4. 4 Cod. ὑποτιθέμενος, scripsi ὑποτιθεμένης, et post ἀριστεύειν inserui καί.

ἰσχύϊ τε καὶ πλούτῳ καὶ στρατεύμασιν, οὐ δι' ὑπερηφανίαν, ᾗ μεταστοιχειοῦν καὶ τὸ πᾶν τοῦτο ἐφιλονείκει, ἀθρόον κατεστρατηγήθη, καὶ κατετροπώθη παντάπασιν; Οἱ δὲ περὶ Πολυνείκην κατὰ Θηβῶν ἐκστρατεύσαντες πάλαι, καίτοι γε καὶ δικαίως δι' ἄλλο τι, ἢ ὑπερηφανίαν πεπτώκασι; τοῖς γὰρ ὑπερηφάνοις ἀνταπόδοσις δίδοται· ταύτης καὶ οἱ περὶ Σεναχερεὶμ τὸν τῶν Ἀσσυρίων [5] ἄρχοντα ὤνιον γίνονται· λαλήσαντος γὰρ ἐκείνου κατά τε τῆς ἁγίας πόλεως καὶ τοῦ θεοῦ ὑψηλὰ εἰς ὑπεροχὴν καὶ μεγαλορρημοσύνην ἐκ στόματος, πέμψας ἄγγελον ἑαυτοῦ ὁ τοῖς ὑπερηφάνοις ἀντιταττόμενος ἀνεῖλεν ἐν μιᾷ καὶ μόνῃ νυκτὶ τῶν Ἀσσυρίων μυριάδας πέντε καὶ ὀγδοήκοντα πρὸς ταῖς ἑκατὸν, καὶ αὐτὸν Σεναχερεὶμ μαχαίρᾳ πρὸς τῶν γνησίων αὐτοῦ σφαγῆναι παρεσκεύασε, καὶ οὕτως, κατὰ τὸν εἰπόντα, ὑπερηφάνων ἐταπείνωσεν ὕβριν ὁ κύριος. Εἶδες τῆς ἀκολάστου τὰπίχειρα; ὃ ταύτῃ δεδουλωμένος οὐ μόνον πασῶν ἀρετῶν ἀμέτοχος, ἀλλὰ καὶ κακίας πάσης ἐργαστήριον [6] γίνεται· εἰ γὰρ ἀρχὴ σοφίας φόβος κυρίου, φόβον δὲ θεοῦ τὸν μὴ πρότερον πάνυ ταπεινωθέντα κατορθῶσαι ἀδύνατον, πῶς ὁ ἐκ διαμέτρου ἐναντιούμενος τῷ δι' οὗ ἀρχὴν σοφία λαμβάνει, σοφίας ὅλως ἐκεῖνος δύναιτ' ἂν ἅψασθαι· ὥσπερ ἂν εἴ τις καὶ ποταμοὺς ὑδάτων ἐκ πυρὸς ὀχετεῦσαι δύνασθαι, ἢ δίχα πτερῶν ὑπερίπτασθαι λέγῃ, ἢ ψυχῆς ἄνευ ζῆν· οὐ μὴν ἀλλὰ καὶ εἴπερ τις μετὰ ταύτης φιλοσοφεῖν δοκεῖ, οὐ μόνον ἀνόνητα ἑαυτὸν κατατρίβει, ἀλλὰ τό τε θηρίον πλέον ἐρεθίζων λανθάνει, καὶ τῷ πυρὶ τὴν ὕλην ἐπιδαψιλευόμενος. Ταύτης τὸ φοβερὸν κέρας καὶ ὁ μέγας διδάσκαλος ἡμᾶς κατακλᾶν βουλόμενος, μηδὲ τὴν ἀριστερὰν, ὅ, τι ποτὲ ποιεῖ ἡ δεξιὰ

5 Cod. constanter Ἀσυρίων. 6 Heliod. II. Delphos ἐργαστήριον ἀνδρῶν σοφῶν vocat: ubi Coray p. 92.

Digitized by Google

γινώσκειν συγχωρῶν, ἡμῖν ὑποτίθεται· καίτοι τί φημι ἀρετὰς οὐκ ἐργάζεσθαι ὑπερηφανίαν ἰσχυριζόμενος, ἀρετὰς ἡ ἀναιδὴς, εἴπερ εὕροι, διασκεδάννυσι, καὶ μαρτυρεῖ τοῦτο σὺν πολλοῖς ἄλλοις καὶ Φαρισαῖος· ὃν γὰρ θησαυρὸν ἐκεῖνος δι' ὅσου τοῦ χρόνου καὶ τοῦ πόνου συνήγαγεν, αὕτη δι' ἑνὸς ῥήματος καὶ ὥρας μιᾶς διεσκόρπισε, καὶ ὁ ἀρεταῖς πρώην περιῤῥεόμενος, αἴφνης ὑπ' αὐτῆς πασῶν ἐκείνων γεγύμνωται, καὶ ὁ πρὸς τὸ ἱερὸν λελαμπρυσμένος ἀνιὼν, ῥυπώδης ἐκεῖθεν ἀθρόον κάτεισιν, ἀκάθαρτος γὰρ ἐν κυρίῳ ἅπας ὑψηλοκάρδιος.

Ὅτι δὲ μήτηρ ὑπερηφανία πάσης κακίας, καὶ διὰ πάντων μὲν τῶν εἰρημένων ἡμῖν βεβαιοῦται· ἄκουσον δὲ καὶ τοῦ προφήτου περὶ τῆς τοῦ κριτοῦ μελλούσης ἡμέρας καὶ δευτέρας καθόλου διεξιόντος, κἀμοὶ μαρτυροῦντος σαφέστατα· παραγίνεται γάρ, φησιν, ἡ ἡμέρα κυρίου, οὐκ ἐπὶ μοιχοὺς καὶ φονεῖς καὶ ἀδίκους καὶ τοὺς καθ' ἕκαστα πονηροὺς, ἀλλ' ἐπὶ τίνας; ἐπὶ πάντα ὑβριστὴν καὶ ὑπερήφανον. καὶ ἐπὶ πάντα ὑψηλὸν καὶ μετέωρον, καὶ ἐπὶ πᾶσαν κέδρον τοῦ Λιβάνου, καὶ ἐπὶ πᾶν δένδρον καὶ ἐπὶ πᾶν ὄρος ὑψηλὸν, καὶ ἐπὶ πᾶν τεῖχος ὑψηλὸν, καὶ πεσεῖται τὸ ὕψος τῶν ἀνθρώπων. Εἶδες, ὅπερ ἐναργέστατα πᾶσαν κακίαν, ὡς ἐγώ φημι, ὑπερηφανίᾳ προσανατίθησιν ὁ προφήτης; εἰ γὰρ ἐπὶ πᾶσαν κακίαν ἡ φοβερὰ ἐκείνη ἡμέρα ἐλεύσεται, καὶ τοῦτ' ἤδει καλῶς καὶ αὐτὸς, πῶς τοῖς ὑπερηφάνοις μόνοις αὐτὴν ἐπισείει; ἢ τοῦτο δηλαδὴ διϊσχυριζόμενος, ὡς οὐδεμία τῶν κακιῶν ὑπερηφανίαν ἐξέφυγε, καὶ ταὐτόν ἐστι πάσης κακίας καταριθμήσασθαι, καὶ ὑπερηφανίαν μόνην εἰπεῖν· εἰ δὲ ταῦτα οὕτως, ὥσπερ μέγεθος οὐρανοῦ ἀσύγκριτον πάντη μεμένηκε, τίνι γὰρ ἂν παραθείη, ὃς πάντα συλλαβὼν ὡς οὐδὲν περιέχει τε καὶ περικυκλοῖ, τὸν αὐτὸν τρόπον οὐδ' ὑπερηφανίαν παραθεῖναί τινι δύναται· πᾶν γὰρ κακίας ἐν ἑαυτῇ συλλαβοῦσα κέκτηται, ἣν

Digitized by Google

φευκτέον πάντως ἐστὶ σθένει παντὶ, οὐχ ὥσπερ πῦρ, ἀλλὰ πλέον πολλῷ δηλαδὴ, καὶ εἰκότως· τὸ μὲν γὰρ μόνων σωμάτων ἅπτεται, ἡ δὲ ψυχὴ μετὰ σωμάτων διαλυμαίνεται δεξιουμένη τοὺς φίλους ἴσα καὶ τῷ πατρί.

Cap. X.

Συγκρίσεις τοὺς δύο μεγάλους φωστῆρας τῆς ἐκκλησίας, Θεολόγον καὶ μέγαν Βασίλειον.

Ἄλλα δύο μεγάλα φῶτα ὁ δημιουργὸς ἡμῖν ἐν τῷ τῆς ἐκκλησίας νέῳ στερεώματι νῦν παρήγαγεν· οὐχ ὥσπερ τὰ πρῶτα ἐκεῖνα ἀλλήλων γένει τε καὶ λαμπρότητι διαφέροντα, ἀλλ' ἐπὶ πᾶσιν ὅμοιά τε καὶ παραπλήσια, καὶ κατ' οὐδὲν θάτερον θατέρου ἀπολειπόμενα, καὶ, οἷον εἰπεῖν, οὐχ ἥλιον καὶ σελήνην, ἀλλ' ἥλιον αὐτοὺς ὁ μέγας ἥλιος τῆς δικαιοσύνης ἀνέδειξεν, ἢ μίαν ἀκτῖνα ἐκ δύο δίσκων ἀποπαλλομένην τε καὶ τὸν κόσμον ὅλον περιαυγάζουσαν, Θεολόγον Γρηγόριόν φημι καὶ μέγαν Βασίλειον, οἵτινες πρῶτον μὲν τοῦ ὀρθοδοξοτάτου καὶ ἡμετέρου κλήρου ὄντες ἐτύγχανον, ἐκ πατέρων ἄμφω τὸν θησαυρὸν τοῦτον διαδεξάμενοι, καὶ ἀμφότεροι γὰρ τὸ ἀπὸ Χριστοῦ γνησίως καὶ ὑγιῶς εἶναι καὶ ὀνομάζεσθαι πεπλουτήκεσαν, καὶ πρὸς τοὺς ἐξ αὐτῶν ὥσπερ τινὰ κλῆρον τὸ χρῆμα παρέπεμψαν, οἳ καὶ πρὸς τοσοῦτον ἀρετῆς ἐληλάκεσαν, ὡς ὁ μὲν κοινὸς διδάσκαλος ἀρετῆς καὶ παιδείας ἐν τῷ Πόντῳ, ὁ δὲ τοῦ Θεολόγου τῆς ἐν Ναζιάνζῳ ἐκκλησίας ποιμὴν καὶ διδάσκαλος προβληθῆναι, καὶ τοὺς ὑφ' ἑαυτοὺς πάντας ἄριστα καὶ ὡς φίλους θεῷ παιδαγωγῆσαι. Ὅσῳ τοίνυν τὸ σέβας αὐτῶν ἓν, καὶ ἡ τῶν πατέρων ἀρετή τε καὶ ἀξία ἐστὶ παραπλήσιος, τοσούτῳ Βασίλειος καὶ Γρηγόριος ὅμοιοι καθεστήκασιν· οὐ μὴν ἀλλὰ καὶ τοῦ μὲν μεγά-

Digitized by Google

λου οἱ πρόγονοι ὑπὲρ τοῦ δι' ἡμᾶς παθόντος διωχθῆναι καὶ χρόνον ὅτι πολὺν ἐν ἐρημίᾳ ταλαιπωρῆσαι ἠξίωνται, ὃς καὶ θαυματουργῶν τοὺς ὑπὲρ αὐτῶν πάσχοντας τούτους ἐδεξιοῦτο μάλα φιλοτίμως τε καὶ λαμπρῶς, ἔτρεφε γὰρ οὐκ ἄρτοις μόνοις, ὥσπερ τινὰς πρότερον, ἀλλὰ καὶ τοῖς τῆς τρυφῆς τε καὶ περιττοῖς, πάντα θηρία ἐδώδιμα εὐχείρωτα ἐκείνοις παραδιδούς· ὁ δέ γε τοῦ Θεολόγου πατὴρ τῷ τῆς παλιγγενεσίας λούτρῳ καθαιρόμενος ἄνωθεν μαρτυρεῖται, ὡς καὶ ὁ λόγος πρότερον· κἀκεῖ μὲν αὐτὸ τὸ ἅγιον πνεῦμα κάτεισιν, ἐνταῦθα δὲ ἀκτῖνά τινα βάλλει, καὶ περιαυγάζει τὸν βαπτιζόμενον, ὡς καὶ πᾶσι τοῖς εὑρεθεῖσιν ἐκεῖ γνωσθῆναι τουτὶ τὸ ἐξαίσιον τερατούργημα, καὶ τῆς περὶ θεοῦ πρὸς τὸν ἄνδρα μεγίστης τιμῆς τοῦτο θέσθαι τεκμήριον· ὅσον οὖν τὸ θαυματουργίαις τοὺς ἀμφοτέρων προγόνους δοξασθῆναι παρὰ θεοῦ πρὸς ὅμοιον εὐφημίας ὕψος ἐκείνους ἐπαίρει, τοσοῦτον καὶ οὗτοι παρ' ἡμῶν ὁμοίως θαυμάζονται. Τοιούτων δὲ μεγάλων καὶ παραπλησίων ἐν πᾶσι γεγονότες πατέρων, πατρίδος οὐχ ὁ μὲν τῆς, ὁ δὲ τῆς ἀνεδόθησαν, ἵνα τινὰ κατὰ τοῦτο γοῦν διαφορὰν ἔχωσιν, ἀλλ' ἄμφω τῆς Καισαρείας βλαστήματα· ἦ πρότερον μὲν ἠύχει πλεῖστα καὶ διάφορα ἑαυτῇ τὰ πλεονεκτήματα, τούτων δὲ τυχοῦσα τῶν προτέρων ὡς εἰκὸς ἐπελάθετο, ἀποκρυψάντων ἐκεῖνα τούτων, ὥσπερ ἀστέρας ἥλιος· καθόσον τοίνυν ἡ πατρὶς αὐτῶν μία, κατὰ τοσοῦτον καὶ οὗτοι ἓν ἄμφω ὄντες τυγχάνουσιν. Ἐκ τοιαύτης δὲ θαυμαστῆς καὶ μιᾶς πατρίδος ἀναφανέντες ἑκάτερος ὑπὸ τῷ ἰδίῳ πατρὶ τήν τε κατὰ θεὸν σοφίαν καὶ τὴν ἔξωθεν ἐκπαιδεύονται, οὐ γὰρ ὁ μὲν τήνδε, ὁ δὲ τήνδε τῶν τεχνῶν ᾑρετίσαντο, ἀλλ' ἄμφω πρὸς ἀρετὴν καὶ λόγον ἀπέκλιναν· ὅσῳ δὴ τὸ ἑκάτερον τῷ ἰδίῳ πατρὶ διδασκάλῳ ῥήσασθαι, καὶ τὰς αὐτοῦ ἐπιστήμας μετέρχεσθαι ταὐτὸν ἔγνωσται, τοσούτῳ καὶ οὗτοι παρόμοιοι

Digitized by Google

ἀλλήλοις γνωρίζονται· ἐπεὶ δὲ τὸ τῶν πατέρων πᾶν ἐν λόγοις ἐν βραχεῖ συνελέξαντο, ἔσπευδον δὲ καὶ τῆς πατρικῆς εὐχῆς αὐτοὺς ἀξιῶσαι, καὶ τοῦτο πρῶτον ἀντὶ τῶν εἰς αὐτοὺς τραφείων ἐκείνοις ἀνταποδοῦναι, τὸ νικῆσαι πᾶσι καλοῖς τοὺς γεννήτορας, ἀπανίστανται πατρίδος, γονέων, συγγενείας, φίλων, συνηθείας, πάντων, οἷς πᾶς τις ἀφύκτως κατέχεται, καὶ διὰ παιδεύσεως ἀκόρεστον ἔρωτα ὑπερόριοι γίνονται. καὶ πολλοῖς ἐν τῇ ἀλλοδαπῇ καὶ διαφόροις τῶν τότε διδασκάλων ὡμιληκότες, τελευτῶντες ἄμφω πρὸς τὴν ἑστίαν τῶν λόγων κατάγονται, ἔνθα καὶ διατρίβοντες ἓν ἦσαν, ἓν ἐφρόνουν, ἓν ἔπνεον, καὶ τῷ μεγέθει μὲν καὶ τάχει τῆς φύσεως, καὶ σπουδῇ καὶ διηνεκεῖ μελέτῃ, καὶ ἠθῶν εὐρυθμίᾳ καὶ φρενῶν βαθύτητι, καὶ ψυχῆς παραστήματι καὶ τοῖς ἄλλοις ἅπασιν, ὅσοις γενναία ψυχὴ γνωρίζεται, πάντων ὑπεραιρόμενοι καὶ πᾶσι περιῳδόμενοι καὶ λίαν ὑπεραστράπτοντες. Τὸ δέ γε μέγιστον μέσον ἑτεροδόξων τὸ σέβας ἀκραιφνῶς καὶ απειλικρινημένον φυλάττοντες καὶ τὴν ἀρετὴν ὅσαι ὧραι ἀντίσης ἐπαύξοντες, καὶ οἷον εἰπεῖν Λὼτ αὐτόχρημα ὄντες ἐν μέσῳ Σοδόμων, ἀλλὰ ταχέως καὶ Ἀθηναίων ἅπαν τὸ ἐν λόγοις φιλότιμον, ὡς οὐδένες ἄλλοι τῶν ἐκεῖσε ἀφικνουμένων συλλεξάμενοι, πατρίδος αὖ καὶ πατέρων μνημονεύουσι, καὶ ταχέως πρὸς Καισάρειαν ἐκεῖθεν ἀμφότεροι ἐπανήκουσιν· ὅσον τοίνυν τὸ ἄμφω πατρίδος ὁμορίας ἀπαναστῆναι διὰ τὴν αὐτὴν καὶ μίαν αἰτίαν, ἔρωτα δηλαδὴ τῆς ἐγκυκλίου παιδεύσεως, καὶ εἰς τὴν αὐτὴν καταχθῆναι καὶ ταὐτὰ σπουδάζειν, καὶ ἐν πᾶσιν ὁμοφρονεῖν καὶ αὖθις ὁμοίως ἐπανελθεῖν, ὅθεν ἄμφω ἐξῆλθον, οὐδὲν διαφέρει πρὸς ἑαυτὸ, τοσοῦτον καὶ οἱ ταῦτα πράξαντες ἀλλήλων οὐδὲν διαφέρουσιν· ἐπανελθόντες δὲ οὐχ ὁ μὲν τόνδε τὸν βίον αἱρεῖται, ὁ δὲ ἕτερον, οὐδ' ὁ μὲν γάμοις προσομιλεῖν, ἄτερος δὲ παρθενίαν ἀσκεῖν ᾑρετίσαντο, ἀλλ' ἄμφω

Digitized by Google

τὸν ἀσκητικὸν εἴτουν ἀγγελικὸν βίον ἐκλέγονται, καὶ παρθενίαν σύνοικον ἐξέτι παίδων ἐκτήσαντο· ὅσον ἄρα βίος αὐτοῖς ὁ αὐτὸς, τοσοῦτον ἑκάτερος ἑκατέρῳ παρόμοιοι. οὕτω δὲ βιοῦντες, καὶ τὴν ἀρίστην φιλοσοφίαν καὶ ὑψηλὴν ἐπίσης ἀκριβῶς μετερχόμενοι πᾶσαν κοσμικὴν καὶ ἀνθρωπίνην δόξαν ἀπέπτυσαν, καὶ οὐδὲ ἐν ὀνείροις ὁρᾶν ταύτην ἠνέσχοντο, ἀλλ' ἐπείπερ λύχνοι ὄντες, καὶ ἐκ τοῦ τῆς ἀρετῆς ἀκροτάτου ὕψους λαμπρῶς φρυκτωροῦντες, λαθεῖν οὐκ ἠδύναντο. καὶ ἄκοντες τῷ τῆς ἐκκλησίας κλήρῳ ἐγκαταλέγονται· ὥσπερ τοίνυν τοῦ δόξαν ἀνθρωπίνην ὁμοίως ἐκφεύγειν καὶ πάλιν ταύτην ὁμοίαν ἐκβιαθῆναι δέξασθαι αἰτίαν οὐ διαφέρον, ἀλλ' ἓν ἀμφοῖν, δηλονότι ἡ ἀρετὴ, διὰ ταύτην γὰρ καὶ ἀπέφευγον, καὶ ἑάλωσαν, οὕτω καὶ αἱ ταῦτα πράξαντες καὶ παθόντες, ἓν ἄμφω σαφῶς μεμαρτύρηνται· καὶ λειτουργεῖν τῷ θείῳ ταχθέντες, οὐ τὴν τυχοῦσαν ἐκείνῳ λειτουργίαν προσάγουσιν· ἀλλ' οἵαν κἀκεῖνος πρότερον κατελθὼν ἑαυτῷ λελειτούργηκε· τῶν γὰρ λογικῶν προβάτων, ὡς πρώην εἰδωλολατρίᾳ καὶ ἀπιστίᾳ, οὕτω καὶ τηνικαῦτα παντοδαπαῖς ταῖς αἱρέσεσι διασπαρέντων εἰς ἐρημίαν ὄντως καὶ βάραθρα, οὗτοι ὡς ἐκεῖνος τὸ πρὶν τούτους συνήγαγον, καὶ εἰς χλόην ὀρθοτάτην εὐσεβείας ἐξέθρεψαν, καὶ ἐπὶ ὕδατος ἀνέψυξαν ἀναπαύσεως, πᾶσαν αἵρεσιν ἐκ μέσου πεποιηκότες, καὶ τοὺς ἱερέας ἐκείνων καὶ ἄρχοντας ἐν ῥομφαίᾳ τοῦ λόγου ἀπεκτονότες, δι' ἧς καὶ τὸν πρῶτον αὐτῶν ἄρχοντα τελείως κατέσφαξαν· ἡ δέ γε πρὸς θεὸν λειτουργία τούτων μία τυγχάνουσα ἕνα τούτους ἄμφω σαφῶς μαρτυρεῖ· οὕτω τοιγαροῦν βιοῦντες καὶ τοιαῦτα κατὰ τοῦ κοινοῦ ἐχθροῦ καὶ τῶν ὑπασπιστῶν αὐτοῦ τὰ τρόπαια περιφανῶς ἀνιστάντες, ποιμένες ὁ μὲν τῆς Κωνσταντίνου, ὁ δὲ μεγάλης τῆς μητρὸς Καισαρείας βασιλικῆς νεὼσει θεοῦ χρίονται· ὥσπερ οὖν ἥ τε τὸ ἀξίωμα ἀμφοτέροις

Digitized by Google

δοῦσα χάρις μία, καὶ τὸ δοθὲν ἓν καθέστηκεν, οὕτω καὶ οἱ τοῦ τοιούτου ἀξιωθέντες εἰσὶν ἕν, κἂν διαγνωρίζωνται· ἀλλὰ τῆς ἀκροτάτης ταύτης βαθμίδος ἅμφω ἁψάμενοι, καὶ διδάσκαλοι εὐσεβείας προβληθέντες, οἱ καὶ πρὸ τούτου τυγχάνοντες, καὶ οἷον εἰπεῖν τὰ τίμια ξύλα παρὰ τὰς τῶν γραφικῶν ὑδάτων διεξόδους παρὰ τοῦ μεγάλου φυτηκόμου φυτευθέντες, οὐ μόνον τὸν καρπὸν αὐτῶν ἐν καιρῷ αὐτῶν ἔδωκαν [1] αὐτοπροσώπως δηλαδὴ, ὡς ὁ διδάσκαλος αὐτῶν πρώην τοὺς θεοκαπήλους τελείως τοῦ ἱεροῦ ἀπελάσαντες καὶ τούτου ἐν μέσῳ τὴν εὐσέβειαν τρανῶς διδάξαντες, καὶ τὸν τῆς ἀληθείας λόγον ὀρθοτομήσαντες ἄριστα, ἀλλὰ καὶ τὰ φύλλα αὐτῶν οὐκ ἀπορρυῆναι παρῆκαν, τοὺς τῆς παιδείας λόγους φημὶ, οὓς εἰς καλλωπισμὸν καὶ φυλακὴν τοῦ τῆς ἀρετῆς καρποῦ, ὡς ἔφημεν, συνελέξαντο· ἀλλὰ τί; κατὰ πάσης βδελυρᾶς αἱρέσεως καὶ αὐτοῖς κατεχρήσαντο, βιβλία κατ᾽ αὐτῶν συντεταχότες, καὶ τὰς παρ᾽ ἐκείνων πικρὰς ἀντιθέσεις εὐχερέστερον ἢ ἀράχνης παίγνια διαλύοντες· εἶτα τὸ ὑπὲρ ἡμῶν τῆς οἰκονομίας ἅπαν μυστήριον πανηγυρικοῖς λόγοις ἅμφω κατακοσμοῦσι, μάρτυρας περιστέφουσιν, ὁσίους ἐπισεμνύνουσιν, ἀρετὰς πάσας καταγλαΐζουσι, καὶ πᾶσαν θείαν γραφὴν διαλιτοῦσί [2] τε καὶ ἀνακαθαίρουσι, καὶ οἷον εἰπεῖν ἀληλεσμένην τροφὴν τοῖς τὰ τοιαῦτα γλιχομένοις ἐσθίειν ἐκτίθενται, τοῖς αὐτοῖς ὀνόμασι, τοῖς αὐτοῖς ἐνθυμήμασιν ἐν ἅπασι χρώμενοι, ἅτε καὶ χάριν μίαν πλουτοῦντες· ὑφ᾽ ἧς διαθερμαινόμενοι περιεκελάδουν τὸν τῆς ἐκκλησίας τερπνότατον λειμῶνα, οἱ θεοῦ τέττιγες, σειρή-

---

1 Cod. *δέδωκεν.* 2 Cod. διαλυτοῦσι. scripsi *διαλιτοῦσι*, i. e. simplicem reddunt. Licet non inveniatur in lexicis haec forma, tamen anonymo nostro potuit in mentem venire, ex adjectivo λιτὸς formare verbum λιτόω, ut ex λευκὸς formatur λευκόω. Alii fortasse malunt: *διαλύουσι.*

Digitized by Google

νων ἐξηχοῦντες κελάδημα, καὶ Ὀδυσσέας πάντας τοὺς πλανωμένοτς δηλαδὴ τῷ τῆς ἀλμυρᾶς ἀπιστίας πελάγει ἀφύκτως χειρουμένους. οἱ δὲ τοὺς αὐτοὺς ὁμοίως καὶ κατὰ τὸν αὐτὸν τρόπον νικήσαντες, καὶ ὅμοια κατ' ἐκείνων τὰ τρόπαια ἀνεγείραντες, καὶ ἐν ἅπασι τὰ αὐτὰ κατορθώσαντες, πῶς οὐχ ἓν ὄντες ἐλέγχονται; οὕτως οὖν ἅπαντα τὸν βίον αὐτῶν κυρίῳ καθιερώσαντες, καὶ ἀρεταῖς παντοίαις σφᾶς αὐτοὺς ἡλίου λαμπροτέρους λίαν ἀπεργασάμενοι, εἰς χεῖρας ἐκείνου εἰρηνικῶς καὶ ἄμφω τὰ πνεύματα παρατίθενται, καὶ πρῶτοι ἐν ἀρχιερεῦσιν ἁγίοις γνωρίζονται, καὶ τῆς ἴσης τιμῆς παρ' αὐτῷ κατηξίωνται, ἐπίσης ὧδε τὸν ἐκεῖ θεραπεύοντα θεραπεύσαντες· ὅσον τοίνυν βίος καὶ τελευτὴ καὶ τὰ πρὸς τοῦ παμβασιλέως γέρα ὅμοια τοῖς ἀριστεῦσι τούτοις καθέστηκε, τοσοῦτον κἀκεῖνοι τὸ ἓν ἄμφω πεφύκασιν, ὧν δὴ τὸ ὑπερέχον ἅμα καὶ πρὸς ἀλλήλους παντάπασιν ἐξισάζον καὶ ἡ ἐκκλησία δηλοῦντες οὐ τῆς κοινῆς ἐπωνυμίας καὶ τούτους ἠξίωσαν, ἀλλὰ προσηγορίαις τοὺς ἄνδρας ἐδεξιώσαντο, τῆς μὲν πάντων ἁγίων κοινῆς πλεῖστα διαφερούσαις, ἀλλήλων δὲ φωναῖς μὲν ἴσως σημασίαις δὲ οὐδαμῶς, τὸν μὲν γὰρ Θεολόγον, τὸν δὲ μέγαν καλῶς προσηγόρευσαν. Εἰ δὲ Θεολόγος καὶ μέγας οὐδὲν διαφέρουσιν ὁρᾷν πάρεστιν· οὐδεὶς μέγας κληθήσεται, εἰ μὴ μεγάλα πάντως ἐργάσεται· τοῦ δὲ Θεολογεῖν μεῖζον οὐδέν· ὁ τοίνυν Γρηγόριος Θεολογήσας μέγας ἐλέγχεται, καὶ πάλιν οὐδεὶς Θεολόγος, εἰ μὴ περὶ Θεοῦ φιλοσοφήσας φανείη· τὸ δὲ μεγάλα λαλεῖν Θεολογεῖν ἐστιν· ὁ τοίνυν Βασίλειος μεγάλα λαλήσας, Θεολογῶν μεμαρτύρηται, εἰ δὲ τὸ Θεολογεῖν μεγάλα λαλεῖν καὶ τὸ μεγάλα λαλεῖν Θεολογεῖν ἀποδέδεικται, οὐδὲν διοίσει Θεολόγος Γρηγόριος καὶ μέγας Βασίλειος, ἢ μέγαν Γρηγόριον καὶ Θεολόγον Βασίλειον λέγειν· ἄλλως τε οὔτε Γρηγόριος τοῦ μεγάλα λαλεῖν, οὔτε Βασίλειος Θεολογίας ἀφίστα-

το. Γρηγόριος οὖν ὁ Βασίλειος, καὶ Βασίλειος ὁ Γρηγόριος, εἰ δέ γε βούλει Βασίλειος καὶ Γρηγόριος, ὁ Βασίλειος ὁ καὶ Γρηγόριος, καὶ Βασίλειος ὁ Γρηγόριος· οὕτω καὶ ὀνομάτων μέχρις ἓν τὼ ἄνδρε πεφύκατον· ἀλλὰ τἀκείνων μὲν πάντα πειρᾶσθαι λέγειν, μαγία περιφανὴς, ὡς τὸ πρᾶγμα λίαν ἀμήχανον· ἃ δὲ δύναται λέγειν, καὶ ὅμοια δύνασθαι ταῦτα δεικνύειν, ὡς οὐδὲν εὐχερέστερον.

Cap. XI.

Ἠθοποιΐα.

Τίνας ἂν λόγους εἶπεν Ἡρακλῆς μανίᾳ ληφθεὶς, καὶ δοῦλος τῷ Εὐρυσθεῖ καταστάς.

Ὄντως ἅπαντα ἐν πᾶσιν ἀστάθμητα, καὶ ἄναλλα τὰ πάντα καὶ ἄνισα, καὶ ἀδικία πάντων κρατεῖ, καὶ περὶ πᾶν πρεσβεύεται· οὐκ ἀνθρώποις μόνοις, ἀλλά γε καὶ παρ' αὐτοῖς τοῖς θεοῖς, καὶ πλέον ἐν τούτοις τἄδικα πολιτεύεται, ὅσῳ καὶ τὸν εὐθυνοῦντα οὐκ ἔχουσι· καταχρῶνται γοῦν τῇ αὐτονομίᾳ ἐπὶ τὰ πονηρὰ, καὶ ἀδεῶς τἄτοπα πράττουσι καὶ τὴν ἐξουσίαν ἐπὶ τὸ ἀδικεῖν συνέριθον κέκτηνται· τὰ δὲ κατ' ἐμὲ τοῦτο πάντα δηλοῖ, ὃς θνητῆς μὲν ὁμολογῶ προελθεῖν, ἀλλ' ὑπάτῳ θεῶν συνελθούσης· καὶ Ἀλκμήνη μὲν θείας φύσεως ἀληθῶς οὐ μετέσχεν, ἀλλ' ὁ Ζεὺς πάντων θεῶν ὑπερέσχεν, ὅθεν τὸ τῆς μητρὸς ἔλλειμμα τὸ τοῦ πατρὸς ὑπερέχον ἀναπληρῶσαι ἐχρῆν, καὶ τὸν ἐξ αὐτῶν προελθόντα ἐμὲ γεγονέναι ἀθάνατον, ἐπεὶ καὶ ἡ Σεμέλη θνητή· ἀλλ' ὁ ἐξ αὐτῆς τε καὶ τοῦ Διὸς πάντως ἀθάνατος· καὶ τὸ τῆς μητρὸς θνητὸν οὐδὲν τὸν Διόνυσον εἶναι θεὸν διεκώλυσεν· ἐγὼ δὲ ὁ τοὺς αὐτοὺς ἐκείνῳ κεκτημένος γονέας, τί ὦ τῆς ἀδικίας, μὴ ὅτι γε οὐ θεὸς ἀλλὰ καὶ ἀνθρώπου ἐκ προγόνων θνητοῦ δοῦλος εἶναι καταδεδίκασμαι, καὶ ὁ ἄνωθεν Ἡρακλῆς τῷ κά-

Digitized by Google

τωθεν Εὐρυσθεῖ δουλοῦται αἰσχρῶς, ὃν εἰ δοῦλον εἶχεν αὐτός, ἦν ἂν οὐδέν. Ὡς ἀπόλοιτο ἡ Ἥρα καὶ τὸ ταύτης ζηλότυπον· μαίνεται πρὸς τοὺς ἐπὶ τῇ μητρὶ ἔρωτας τοῦ πατρὸς, καὶ τὸν Δία τρῶσαι μὴ δυναμένη [1] ὅλην τὴν τῆς μήνιδος φαρέτραν κατ' ἐμοῦ ἐκκενοῖ, καὶ τὸν τὴν αὐτῆς εὐνὴν ἐξυβρικότα τιμωρήσασθαι ἀδυνατοῦσα τὸν οὐδὲν ἀδικήσαντα πλήττει καιρίως ἐμέ. Τί γὰρ αὐτὸς αἴτιος, εἰ ὁ Ζεὺς μίγνυται τῇ μητρὶ, καὶ ζηλοτυποῦσα ἔκφρονά με ποιεῖ· καὶ τοῦτο δὴ τὸ περιᾳδόμενον· ἄλλου μαινομένου ἄλλος δεσμεῖται, καὶ τὸ δεινότατον, ὅτι κἀκεῖνος ταῦτα ὁρῶν οὔθ' ὡς ἀδίκως πάσχοντα, οὔθ' ὡς δι' [2] αὐτὸν οὔθ' ὡς υἱοῦ ὅλως ἀντιλαμβάνεται· ἀλλὰ καὶ παραχωρεῖ μαίνεσθαι κατ' ἐμοῦ· καὶ διὰ τὴν αὐτοῦ μανίαν ἐμὲ μανίᾳ καθυποβαλεῖν αὐτῇ συγχωρεῖ· ἐγὼ δὲ τὴν μάστιγα ταύτην οὐ τοσοῦτον ὡς δεινὴν, ὅσον ὡς ἄδικον οὐ φέρων εἰς Πυθίου ἀπέρχομαι, θαρρῶν ἐκεῖθεν γοῦν τῶν δικαίων τυχεῖν, καίτοι καὶ τοῦτο ὅσον εἰς λύπης λόγον, τοὺς ἐκ τοῦ αὐτοῦ γεννηθέντας τὸν μὲν θεὸν μέγαν καὶ σοφὸν καὶ ἰατρὸν, καὶ μάντιν εἶναί τε καὶ ὀνομάζεσθαι· τὸν δὲ θνητὸν καὶ δοῦλον βροτοῦ, καὶ δυστυχῆ, καί τι πλέον ἢ ἔκφρονα· καὶ τὸν μὲν σοβαρῶς ἐπ' ἀργυρηλάτου τρίποδος ὑπερκαθῆσθαι, καὶ παρὰ πάντων δορυφορεῖσθαί τε καὶ προσκυνεῖσθαι, καὶ πᾶσιν, εἰς ὅ τι ἕκαστος βούλοιτο ἂν, βοηθεῖν δύνασθαι, ἐμὲ δὲ τὸν [3] περὶ ψυχῆς θέειν, καὶ μηδὲ ἑαυτῷ δύνασθαι βοηθεῖν, καὶ ὑπὲρ τοῦ μὴ πάσχειν ἐκείνου δεῖσθαι· ὅμως πρὸς τοῖς ἄλλοις φέρω καὶ ταῦτα καὶ ὡς εἷς τῶν πολλῶν ὁ τοῦ Διὸς Ἡρακλῆς ἱκέτης τοῦ ἀδελφοῦ γίνομαι. κἀγὼ μὲν αἰτῶ λύ-

1 Cod. δυνάμενος. 2 Cod. δ' αὐτόν. scripsi δι' αὐτόν. 3 sc. δρόμον. Arsen. Viol. p. 331. λαγωὸς τὴν περὶ τῶν κρεῶν τρέχει, — — λέγεται δὲ ἐπὶ τῶν διακινδυνευόντων ταῖς ψυχαῖς, καὶ πρὸς τοῦτο καρτερῶς ἀγωνιζομένων.

Digitized by Google

σιν δικαίαν τῆς ἀδίκου μανίας. ὁ δὲ τί; προσεπιτίθησι τοῖς δεινοῖς ἔτι δεινότερον, καὶ λύσιν ἀνεῖλε τῆς μανίας αἰσχροτέραν πολλῷ, καὶ τὸν θεῖον δεσμὸν ἐκφυγεῖν ἔγωγέ τοι ζητῶν προσεπιδεσμοῦμαι καὶ ἀνθρωπίνῳ, καὶ τὴν Ἥραν ἐκφυγεῖν θέλων, οὔτε ταύτην ἐξέφυγον, καὶ τῷ καθάρματι τούτῳ ἀνδράποδον ἄγομαι. Ἐβουλήθην μὲν οὖν τῆς Πυθίας ἐπιέναι τὴν δάφνην σειούσης, καὶ τὰ τοιαῦτα ληρούσης τόν τε τρίποδα τοῦ ποδὸς λαβόμενον ἀνατρέψαι καὶ ταύτην ἐπικαταβαλεῖν, καὶ συμπατήσας τέλεον ἐκτρῖψαι τὴν ὄντως ἐπίτριπτον· εἶτα καὶ τὸν νεὼν ἐκ βάθρων αὐτῶν ἀνασπᾶσαι καὶ σύν γε τοῖς ἀναθήμασι καὶ τῷ θεῷ τοῦ Παρνασοῦ κάτω βαλεῖν, ὡς αὐτὰ μάντεως δεῖσθαι, ὅπως ἐκεῖθεν ἀνελθεῖν δυνηθείεν· ὅμως δ' ἐπέσχον ἐμαυτὸν τῆς ὁρμῆς, καὶ κατελθὼν ἐκεῖθεν δουλοῦμαι τῷ λήρῳ τούτῳ, καὶ τὰ δοκοῦντά οἱ ἀναντιῤῥήτως τελῶ, τέλος τῆς Πυθικῆς παραληρήσεως ἰδεῖν βουλόμενος· ἂν μὲν οὖν τελεσθέντων τῶν διωρισμένων ἀγώνων τῆς νόσου ἀπαλλαγῶ, εἰ δ' οὔ, τὸ ῥόπαλον τοῦτο τοὺς κατ' ἐμοῦ λυττήσαντας, ὡς εἰκὸς, μετελεύσεται, καὶ δικαίως τιμωρήσομαι τοὺς ἀδίκως ἐμὲ νῦν ἐλαύνοντας· εἰ μηδὲν γὰρ ἕτερον, τοῖς γοῦν νεὼς πάντας αὐτῶν ἀνατρέψω, καὶ τὰ ξόανα τούτων συντρίψω. καὶ εἴ τινα θύοντα τούτοις καταλάβω, τοῖς θύμασιν αὐτὸν ἐπιθύσω, καὶ οὕτως τὸ ὄνομα τούτων τῆς γῆς ἐξαρῶ, καὶ τότε ἥ τε τῆς Ἥρας ἰσχὺς ἐλεγχθήσεται, καὶ ὁ Ἀπόλλων, εἰ τὰ μέλλοντα ὁρᾷ, φανήσεται.

Cap. XII.

Ἔκφρασις τοῦ ἐν τῷ βαπτιστοῦ σεμνείῳ τεμένους τοῦ τὴν κολυμβήθραν περιέχοντος.

Πάντας μὲν οἴκους ἁπλῶς εἰκὸς ἐπαινεῖν, ἐπὶ οὐ σμικρᾷ θεραπείᾳ τῶν ἀνθρώπων ἐξευρημένους, τοσοῦ-

Digitized by Google

τον δὲ πλέον, ἐν οἷς τὸ θεῖον οἰκεῖ τε καὶ θεραπεύεται, ὅσον ἀνθρώπων θεὸς διενήνοχε, καὶ ἀπὸ [1] γῆς οὐρανὸς φύσει τε καὶ τόπῳ διέστηκεν. Οὐρανοὶ γὰρ πάντως καὶ οὗτοι, εἴπερ καὶ τὸν οὐράνιον ἐκολπώσαντο, τοσούτῳ δ' αὖθις τῶν ἑκασταχοῦ πάντων πλέον τὸν ἐν τῷ τοῦ βαπτιστοῦ φροντιστηρίῳ ἑστηκότα καὶ τὴν κολυμβήθραν περιέχοντα, ἐν ᾗ ὁ τῇ φύσει κεκαθαρμένος τὸν παρὰ φύσιν ῥύπον ἡμῶν ἀπεσμήξατο, ὅσῳ τῶν ἄλλων ἁπάντων ἐξαισιώτερος, καὶ κόσμοις παντοίοις καὶ ξέναις χάρισι βέβριθε, καὶ οἷα τῷ παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων ὡραίῳ κάλλει καθιερωθεὶς, οὐδενὸς ὡραΐσματος τῶν ὁπόσα τῷ παρόντι βίῳ, λειπόμενος οὕτω δὲ περίκλυτος ὢν, καὶ τοῦ κρείττονος χώρου τετύχηκε. Τῆς γὰρ αὐλῆς τὸ μέσον ἐπέλαβε, καὶ ὥσπερ κέντρον μεσαίτατον ταύτης ὑπερανέστηκεν, ὥστ' ἰδὼν τὴν μὲν πᾶσαν αὐλὴν σώματι καινῷ τινι ἂν εἰκάσειας. τὸν δὲ ναὸν τουτονὶ καρδίᾳ, τῷ καλλίστῳ μέρει τοῦ σώματος, καὶ δι' οὗ πᾶν συνίσταται· ἢ μᾶλλον τὴν μὲν κατ' ἀσπίδα φαίης ἐσχηματίσθαι, τὸν δὲ οἷά τινα χρυσοῦν ὀμφαλὸν μέσον αὐτῆς ἐμπεπάρθαι· ἐξαίσιον οἷον ἀποστίλβοντα, καὶ ταῖς ἡλιακαῖς ἀκτῖσιν ἐρίζοντα. Ψηφίσι γὰρ χρυσοπάστοις τὸ πλεῖστον μέρος αὐτῆς κατακέκασται, αἷς καὶ προσβαλουσῶν τῶν τοῦ ἡλίου βολῶν, ἀμηχανόν ἐστιν εὑρεῖν, ὁποτέρωθεν ἐξανισχουσι, καὶ τίνι προσβάλλουσι, πότερον ἐκ τοῦ δίσκου ταῖς ψηφίσιν, ἢ ἐκ τῶν ψηφίδων τῷ δίσκῳ· οἶμαι δὲ οὐκ ἀξιῶσαι τοὺς ἐντὸς περὶ τῷ φροντιστηρίῳ οἴκους καὶ χώρους· ἑνί γέ τινι μέρει τἄγαλμα τουτὶ περιγραφῆναι, ὥστε μόνον ἐκεῖνον τούτου κατατρυφᾶν, ἀλλ' ὥσπερ

---

1 Cod. ἐπὶ γῆς cfr. Pausan. III. 25. 7. Ἀρίων ὁ κιθαρῳδὸς χαλκοῦς ἐπὶ δελφῖνος. Riccard. ἀπὸ. ad marg. ἐπί. Sopat. ζητήμ. p. 292. ὁ ἀποκήρυκτος πλεονεκτήσει τὸν ἀπὸ τῆς οἰκίας. lege ἐπὶ, ut Par. et Med. cfr. ep. crit. p. 39.

Digitized by Google

κοινὸν κτῆμα τούτων καὶ καύχημα μέσον αὐτῶν πάντων ἑστάναι, ἵν' ἕκαστος τὸ ἴσον αὐτοῦ ἀπολαύοιεν, καὶ μηδεὶς τῶν ἄλλων πλείονος ἔχοιτο, ὡς ἀδικῶν ἐν τούτῳ πάντας περὶ τὰ μέγιστα· καὶ οὕτω μὲν, ὡς ἔφημεν, ἕστηκε· περὶ δὲ τοῦτον κυπάριττοι πάντη ἀναπεφύκεσαν, ὑπερανεστηκυῖαι τῆς τοῦ ναοῦ ὀροφῆς, τοσοῦτον τούτου ἀφεστηκυῖαι, ὅσον τὸν βουλόμενον μεταξὺ ἀπροσψαύστως περινοστεῖν, καὶ ἀπὸ μὲν ῥίζης ἄχρι τῆς κορυφῆς πάντη ἀνατρέχουσιν ὄρθιαι, ἄκραις δὲ κόμαις ἐπινενεύκασι πρὸς τὸν νεὼν, καὶ οἷον εἰπεῖν δακτυλοδεικτοῦσι, μονονοὺ φωνὰς ἀφιᾶσιν ἐν τοῖς ὑπὸ τῶν πνοῶν ὑποψιθυρίσμασιν,[2] ὡς οὗτος ὁ ἐντὸς βαπτιζόμενος μετὰ μικρὸν ἐν ἡμῖν στρωθήσεται· καὶ ἐπὶ τῷ λόγῳ εἴποις ἰδὼν τὰ φυτὰ περισκαίρειν, καὶ οἷον εἰπεῖν ἐπαγάλλεσθαι· κατεσκεύασται δ' ὁ ναὸς ἐπὶ πλευραῖς ἴσαις ἀλλήλαις τέσσαρσι· τοσαύταις γὰρ στοαῖς τὸ πᾶν κτίσμα ἀπήρτισται· ἑκάστη στοὰ ἑκάστης πλευρᾶς ἐπελάβετο, ἐπὶ ταῖς ἀλλήλων ἑνώσεσιν· εὐφυῶς πως αἱ στοαὶ ἡρμοσμέναι τυγχάνουσιν· οὐκ ἂν εἴποις ἰδὼν τὸ κτίσμα τετράστοον, ἀλλ' ἓν σῶμά σοι τὸ πᾶν δόξειεν, οὕτως ἡ τέχνη ἠκρίβωται τῷ δομήτορι· ὄροφος ἐφύπερθεν τῶν στοῶν ἐκτετάννυσται· ἔργον καὶ τοῦτο δομήτορος τὰ κάτω μέρη τῷ κτίσματι ὅσον ἀπὸ γῆς μέχρι τινὸς πέριξ πάντη λίθοις λευκοῖς κατεστήρικται, καὶ οἷα πόδες, ἰσχυροτέραις ὕλαις ἐμπεπέδωται,[3] καὶ ῥῖον εἰπεῖν καταπέφρακται· ὁ δὲ ἑρμογλύφος πῶς ἂν εἴποις, τοὺς λίθους ἀπέξεσέ τε καὶ ἀπεστίλβωσεν, ἢ πῶς αὐτοὺς τοῖς λαξεύμασι κατεποίκιλεν. Τὴν λαξευτικὴν ἑτέρα διαδέχεται τέχνη· καὶ τὰς στοὰς ἐπιλούει ψηφίσιν ὡς ἔφημεν, καὶ οἷα χρυσῷ ἐπενδύει τὰ κτίσματα· τὰ δ' ὅλα χρυσῷ καταπέπασται· ὅλα ἐξήστραπται, ὅλα τοῦ ἡλίου κα-

2 Cod. ὑποψιθηρίσμασιν. 3 Cod. ἐμπεπεδίλωται.

καταπεφρόνηκεν· ὁ δὲ γεγραφὼς ἐπὶ τοῖς τοίχοις εἰκόνας θείας διαφόρων ἁγίων συνέθησι, καὶ στήλας βασιλικὰς, οὐκ ἐκ χρωμάτων δὲ κατασκευάστων, ἀλλ' ἐκ ψηφίδων καὶ αὗται γεγράφαται,[4] παντοῖα χρώματα φέρουσῶν, καὶ ὅσοις εἰκόνα συγκεῖσθαι εἰκός· οὕτω τὸ πᾶν κατεψήφωται. Ὁ μέντοι φραγμὸς τῶν στοῶν ἄλλης τέχνης ἐξεύρημα, ἑκάστης γὰρ τὸ ἄκρον κύρτωμα ὑπερανέχουσι κίονες, μεταξὺ δὲ τῶν κιόνων ξύλα λεπτὰ εἰς κάλλος ἐξεσμένα καὶ τετορευμένα εὐφυῶς πως ἀλλήλοις καὶ τοῖς κίοσιν ἥρμοσται, καὶ φραγμὸς ταῦτα τῇ τ' ἄρκτῳ καὶ μεσημβρίᾳ γίνεται· τὰς δ' ἑτέρας δύο πύλαι ἐμφράττουσιν, οἶμαι δ' οὐκ ἀπᾴδον οὐδὲ περιττὸν, καὶ ταύτας τὴν μὲν ἐκ δύσεως, τὴν δ' ἐξ ἀνατολῶν ἠνεῴχθαι· ἀλλ' ἡ μὲν τοῖς ἐκ ζόφου δυτικοῦ τῆς ἀσεβείας προσελθοῦσι καὶ τῷ θείῳ λούματι προσδραμοῦσι γνησίως ἀνα- πετάννυται καὶ τῇ κολυμβήθρᾳ τούτους δῶρον δωρεῖται πολύτιμον· εἶτα μυστικῶς τὸν ῥύπον ἀπολουθέντας καὶ λαμπρυνθέντας, ἡ ἑτέρα τούτους παραπέμπει πρὸς τὴν ἐξ ὕψους ἀνατολήν. πλείονος καὶ καθαρωτέρας λαμπηδόνος κατατρυφήσοντας· οὕτως οὐδὲν ἀργὸν τοῦ ναοῦ καὶ λόγου λειπόμενον, καὶ τὰ μὲν ἐκτὸς τοῦ νεὼ ὡδὶ παντοίαις τέχναις μεμέρισται, καὶ ὡσανεί τις ἔρανος φιλοτιμίας αὐτῶν ἀνεγήγερται· εἰσιόντι δὲ τοῦ ναοῦ εὐθὺς τοὔδαφος πᾶν λίθων λευκῶν σοι τοῖς ἐκκρίτοις ἐπέστρωται· μέσον δὲ τούτου χθαμαλή τις κιονὶς ἐνεπάρη, καθ' ἥσπερ ἡ κολυμβήθρα ἐρήρεισται· ἡ δὲ καὶ αὐτὴ λίθος λευκὴ λελαξευμένη ὡς τὸ εἰκὸς, καὶ θαυμάσιον ἀποστίλβουσα, καὶ ὄντως μαρμαῖρον, ἵν' οὕτως εἴπω, τὸ μάρμαρον· θάλαμος δὲ τέρας ἄλλο τι ταύτην ἐμπεριείληφε· περὶ γὰρ αὐτὴν κτίσμα τι μικρὸν ὅσον ἀπὸ γῆς μέχρι τινὸς ἀνεστηκὸς, καὶ ταύτης ἱκανὸν διεστὼς περιελίττεται, καὶ χορείαν[5] ὡσανεί τινα ἀναρτίζει· ἐπὶ δέ γε τού-

4 sc. opere musivo. 5 Cod. χωρείαν.

του κιονίδες τινὲς διασταδὸν κατὰ στίχον στηρίζονται, ἅπερ ἄκραις κεφαλαῖς κεκυρτωμένην ὀροφὴν δομήτορος ἔργον ἀνέχουσιν, ἐνταῦθα γὰρ λιθοξόος δομήτορι ὑπεξίσταται· καὶ δομήτωρ λιθοξόῳ ὑποχωρεῖ, ὁ μὲν γὰρ στρώννυσι τοὔδαφος, ὁ δὲ τὸ τοιχίδιον περιΐστησιν· εἶτ' ἐν μέρει τῷ μὲν οἱ κίονες ἀνατρέχουσι, τῷ δ' αὖ κυρτοῦται ἡ ὀροφὴ, καὶ οὕτως ὁ θάλαμος ἀπαρτίζεται· τῆς δ' ὀροφῆς ἔνδον ταύτης ὁ γραφεὺς ὕλα χρώματα συγκεράννυσι, καὶ τὸν βαπτισμὸν τοῦ σωτῆρος ἐκεῖ καταζωγραφεῖ· ὅστις δὴ καὶ κατὰ καιρὸν τῆς θείας κάτω κολυμβήθρας ὕδατος ἐμπλησθείσης ἁγίου, ἔνδον εὐθὺς τοῦ ὕδατος ὁρᾶται, αἰσθητῶς ὡσανεὶ βαπτιζόμενος, καὶ ὁ τοῖς ἄνω ἀεὶ ἐμφιλοχωρῶν θεὸς κάτω δι' ἐμὲ τηνικαῦτα γίνεται καὶ προσπελάζει τῇ γῇ· φιλῶ σου τὴν χεῖρα γραφεῦ· εἰ δέ γε βούλει τὴν ἐπίνοιαν, καθ' ὑδάτων γὰρ γράφεις, ὅπερ πολλῷ τῶν λίαν ἀδυνάτων ἐστίν. Ὁ μέντοι γε λοιπὸς χῶρος περιειλεῖται τῷ ξένῳ τούτῳ θαλάμῳ ἐκτὸς, καὶ ὥσπερ στέφανος αὐτὸν περιτρέχει, καὶ προνάῳ τούτου τινὶ ἔοικεν. Ἐπὶ μέντοιγε τὴν ὄροφον τούτου πάλιν ὁ γραφεὺς τῆς σφετέρας τέχνης πᾶν τὸ φιλότιμον πινακηδὸν ἐξαντλεῖ, καὶ πᾶν ὅτι περ συμβάλλον τῷ θείῳ βαπτισμῷ καταγέγραφε· τὸν βαπτιστὴν τὸν λαὸν ἐκδιδάσκοντα, τοὺς προσερχομένους βαπτίζοντα· ἴδοις ἐκεῖ τὸν κεκαθαρμένον ὥσπερ ἕνα τῶν ῥυπαρῶν αἰτοῦντα τὸ βάπτισμα, τὸν δὲ βαπτιστὴν πρὸς τὴν αἴτησιν μέχρι τινὸς ἀπαρνούμενον· ἐκεῖ Ἠλίας κατὰ πῦρ σὺν πυρὶ ἀέροβατῶν καὶ μηδόλως φλεγόμενος, ὅπερ καὶ σαφῶς μαρτυρεῖ τῷ περὶ αὐτὸν πάλαι θαύματι· τὸ μὲν γὰρ πάλαι τῆς ἀληθείας τὸν ζηλωτὴν πυρὶ κατέχεσθαι, καὶ μηδὲ φλέγεσθαι, θείας πάντως δυνάμεως· τὸ δὲ μὴ καὶ νῦν γεγραμμένον ἐνταῦθα τῆς γραφῆς ἀσθένεια πέφυκεν· ἀδυνατεῖ γὰρ πρὸς φύσιν πυρὸς ἡ τέχνη· συμβαίη τοίνυν θεϊκὴν ἰσχὺν τὴν ἀσθένειαν τῆς γραφῆς

ωσπερ διατυποῦν καὶ μιμεῖσθαι, οὕτως ἡ γραφὴ καὶ τῆς ἀληθείας ἐπιτυγχάνουσα ἐπαινετὴ, καὶ ταύτης ἀποτυγχάνουσα ἐπαινετωτέρα καθέστηκε· μετὰ τοῦτο τὸν Ἰακὼβ σὺν γυναιξί τε καὶ θρέμμασι δραπετεύοντα τὸν κηδεστὴν ἔγραψεν, ἔτι δὲ καὶ αὐτὸν τὸν Λάβαν τούτους καταλαμβάνοντα, καὶ τοὺς σφετέρους θεοὺς ζητοῦντα, οὕσπερ ἡ Ῥαχὴλ κλέψασα ὑπὸ τῷ σάγματι τῆς ὄνου κατέκρυψε, πόθον πολὺν εἰς αὐτοὺς τρέφουσα, ὅνπερ ὕστερον πρὸς τὸν ἀληθῆ θεὸν νουνεχῶς μετεκέντρισεν. ἐπὶ τούτοις ὁ Ἰσραὴλ τὴν Αἴγυπτον φεύγει διὰ τῆς ἐρυθρᾶς, ὁ δὲ Φαραὼ ὑποβρύχιος γίνεται· καὶ ὁ Μωϋσῆς τῷ Ἰσραὴλ ἡγούμενος, μετὰ χεῖρας τὴν θαυματοποιὸν ῥάβδον ἔχων, καὶ μετὰ μικρὸν αὐτὴν[6] ἐμβάλλων τῷ ὕδατι, καὶ μεταβάλλων αὐτοῦ τὴν πόσιν τοῖς μὴ μεταβαλλομένοις τὴν γνώμην· μετὰ τοῦτο πάλιν ὁ Ἰσραὴλ ἐφ' ἁμάξης τὴν πολύκρουνον πέτραν φέρων· ὥσπερ ζημίαν ἡγούμενοι, ἂν μὴ μεθ' ἑαυτῶν τὸν ἔλεγχον τῆς σφετέρας ἀπιστίας φέρωσι· ταύτης γὰρ οὐκ ἀφιστάμενοι, οὐδὲ τῆς στηλιτευούσης ταύτην πέτρας διίστανται· εἶτα τούτοις τὴν αἰτηθεῖσαν Αἰγυπτιακὴν τροφὴν ὁ γραφεὺς δίδωσι, καὶ σοφῶς καὶ εὐστόχως, εἴπερ ἐν ἄλλῳ τῷ πηλῷ τέ καὶ χρώμασιν ἐν ταύταις ἐχρήσατο· τοιαῦται γὰρ αὗται τῷ τε μάννα καὶ τοῖς ἑτέροις συνεξεταζόμεναι· πρὸς δὲ καὶ ἵν' ἐσθίοντες τοῦ πηλοῦ καὶ τῆς πλινθίας ἀναμιμνήσκωνται, καὶ οἷς μοχθοῦντες οἱ ἄθλιοι, τοιούτοις ἐτρέφοντο· καὶ ἁπλῶς εἰπεῖν, ὁπόσα τύποι καὶ ὑπογραμμοὶ τοῦ θείου βαπτίσματος, πάντα τῷ γραφεῖ ἐκεῖ καταγέγραπται· ἀλλ', ὦ γραφεῦ, τίνος χάριν τὰς γραφὰς ταύτας ἦρας ὑψοῦ καὶ πρὸς τῇ ὀροφῇ, ἀλλ' οὐ τοῖς τοίχοις κάτω ἐνέγραψας, τί σοι τὸ πρᾶγμα βούλεται; τί τὸ τοῦ τόπου σοι ἀπλησίαστον; ὑποτοπάζω σου τὸ μηχάνημα· οὐ τηνάλλως[7] ἐπιβάλλω

6 Cod. αὐτόν 7 Cod. τηνάλως.

τοῖς σοῖς σκαιωρήμασιν, οὗ με τὸν Θεμιστοκλέα λάθοις, ὦ Ἄπολλον· σὺ μὲν ἀνείλες λοξὰ, ἐγὼ δὲ καταξανῶ σου τὸ αἴνιγμα· ἄκουε δή· οἶσθα τὴν μὲν σὴν τέχνην, ἀπατῶσαν μὲν ὄψιν, ἠττωμένην δ' ἀφῆς· τὰ δὲ σὰ τοῖς χρώμασι πεπλασμένα ὕδωρ καὶ πῦρ, τὰς φύσεις ἀνταμειψάμενα, καὶ τὸ μὲν κατάξηρον ὂν, τὸ πῦρ δὲ ὑπέρψυχρον, ἔνθεν τι καὶ τῆς μὲν ἀφῆς τὰ σὰ στοιχεῖα διέστησας, ἵν' ἀποδραπετεύῃ τὸν ἔλεγχον, τῇ δ' ὄψει μόνῃ ἀπήρτησας, ἵν' ἀπατᾷ καὶ ἀληθῶς ταύτῃ κρίνηται· ἔχω σου πάντως τὸν νοῦν· οὐκ ἀποτυγχάνω σου τοῦ σκοποῦ, ἀλλ' ἐπαινῶ σε τῆς τέχνης, δι' ἧς τοιαῦτα ταύτῃ μιμῇ· ὑπερεπαινῶ σε τῆς ἐπινοίας, ἐν ᾗ τῇ τέχνῃ σαυτῷ τε καὶ τῷ διὰ πάντων κεχαρισμένῳ τούτῳ ναῷ οὐ τὸν τυχόντα περιῆψας ἢ σμικρὸν ἔπαινον.

Cap. XIII.

Θέσις, εἰ γεωργίᾳ χρηστέον.

Ὁ τὸ συνέχον καὶ συνιστὰν τὸν ἡμέτερον βίον ζητῶν τὴν γεωργίαν εἰς νοῦν λαβέτω μοι· αὕτη γὰρ μετὰ τὰς ἄνωθεν ψήφους ἡμῖν τὸ εἶναι κεχάρισται· ἥτις προστάγμα μὲν τοῦ δημιουργοῦ ἐκ τῶν ἀγράπτων καθέστηκεν, ἔργον δὲ ἄνωθεν παρ' αὐτοῦ δεδομένον τἀνθρώπῳ· ἐργάτης γὰρ καὶ οὐκ ἄλλου τινὸς πλασθεὶς ὁ ἄνθρωπος, πλὴν τοῦ παρ' ἐκείνου ὑπὲρ αὐτῆς φυτευθέντος περιᾳδομένου παραδείσου τέτακται, ἐν ᾧπερ ἔργον οὐδὲν ἕτερον, ἢ πάντως γεωργία καθέστηκεν· εἰ δὲ κτίσμα μεῖζον οὐδὲν τοῦ ἀνθρώπου, ἔργον δ' οὐδὲν ἕτερον ἢ γεωργία παρὰ τοῦ δημιουργοῦ τούτῳ δεδώρηται, καὶ ταῦτ' οὔπω πταίσαντι, τῇ τε δηλαδὴ τοῦ δωρουμέ-

τί οὖν τηνάλλως ὀδύρομαι. Par. τηνιάλως. Nicol. Ethop. 14. p. 593. l. 12. τί ταῦτα διατρίβω τηνάλλως; Cod. τηνάλως.

νου ὑπεροχῇ καὶ τῇ τοῦ δεχομένου ἀξίᾳ, πάντων ἔργων ὑπερκεῖσθαι ἰσχυρῶς ἡ γεωργία ἐλέγχεται· καὶ παρ' ἀνθρώποις τὸ καλὸν τοῦτο πολιτευόμενον, τί τῶν λυσιτελῶν οὐκ ἐργάζεται; πρῶτον μὲν ὅσον τὸ καθ' αὑτὴν ἀθανάτους τοὺς θνητοὺς ἀπεργάζεται, τὸ ζῆν πᾶσι ζώοις παρεχομένη, εἴπερ διὰ μὲν τῆς ζωῆς τὸ ἀθάνατον περιγίνεται, διὰ δὲ τὸ ζῆν τὸ φαγεῖν, τὰς δὲ τροφὰς ἡ γεωργία παρέχεται, ζῆν δὲ παρασχοῦσα καὶ καλῶς ζῆν προσαπένειμε, σοφοὺς ἡμᾶς ἀπεργαζομένη, δι' ὧν γὰρ αὕτη τῶν πρὸς χρείαν πάντων εὐπορεῖν δίδωσιν, ἐπιστημῶν καὶ τεχνῶν καὶ παντοίων ἐπιτηδευμάτων ἀκωλύτως ἀντέχεσθαι προξενεῖ· ἡ γὰρ ἐκείνων ἀπορία τῶν τοιούτων καλῶν πάντων κώλυμα· ἐπείπερ τοῖς ταύτης δωρήμασι λήξασι συλλήξαιεν ἂν καὶ πᾶν ὅ τι κάλλιστόν τε καὶ χρησιμώτατον· σὺν τούτοις δὲ καὶ ἀνδρίας ἡ γεωργία σοι πρόξενος· εἰ γὰρ ἐξ ἀτροφίας ἀσθένειά καὶ νέκρωσις τοῖς σώμασι περιγίνεται, ἐκ τροφῆς δηλονότι ῥώμη τούτοις προσγίνεται· τὸ μέγιστον σπουδαίους ἡμᾶς ἡ γεωργία ἐργάζεται· οἷς γὰρ ταναγκαῖα πάντα παρεχομένη τῶν σωματικῶν ἡμᾶς ἀπαλλάττει φροντίδων, αἵπερ πρὸς ἀρετὴν πολλάκις πρόσαντες γίνανται, φιλοσοφεῖν ἀκωλύτως παρέχεται· εἰ δὲ πρόσταγμα γεωργία τοῦ κρείττονος, ἔργον δὲ τῷ τῶν ἁπάντων κτισμάτων τιμιωτάτῳ, πρώτως παρὰ [1] τοῦ δημιουργοῦ δεδομένον, σοφίαν δὲ καὶ ἀνδρίαν ἐργάζεται, ζωῶν δὲ καὶ ἀμφοτέρων αἰτίως φαίνεται, πῶς οὐ τὸ πᾶν αὕτη συνέχει καὶ πάντων ὑπέρκειται; Ναί φησιν, ἀλλ' ἡ γεωργία ἔσθ' ὅτε ζημίας παραίτιος γίνεται· στοιχείων ἀνωμαλία τὰ τοιαῦτα οὐ γεωργία ἐργάζεται· πλείστου γὰρ αὐχμοῦ ἢ ὄμβρου ῥαγδαίου ἐπικρατήσαντος, ἢ ἀνέμων δυσπνοίας ἢ τοιαύτης ἄλλης ἐκτροπῆς ἐπεισπεσούσης, τὰ δεινὰ ταῦτ' εὐθὺς εἰσκομάζει, ὧν πάντων οὐχ ἡ γεωρ-

1 Cod. περί.

γία, ἀλλὰ τὰ στοιχεῖα αἴτια πάντως καθέστηκεν, ὥστε ἔλαθες σαυτὸν γεωργίᾳ προφέρων, ἃ στοιχείων ἀδικήματα πέφυκε. δοκεῖς δέ μοι ὁ ταῦτα λέγων ῥᾳδίως καὶ τῷ τρώσαντι συγχωρήσας τὸν ἀδίκως παρ' ἐκείνου τρωθέντα ἐλέγχειν, καὶ τὸν φονέα παραδραμὼν ἐγκαλεῖν τῷ κειμένῳ, ὅτι ἀδίκως πεφόνευται· καὶ ἁπλῶς τὸν ἀδικηθέντα δίκας εἰσπράττειν, ὅτι ἠδίκηται· ἄλλ' οὔτε τὰ τοῦ πράξαντος πλημμελήματα τῷ παθόντι προσαναθεῖναι δίκαιον, καὶ ἄλογον, εἰ τῇ γεωργίᾳ τὰς ἐκτροπὰς τοῦ καιροῦ λογιούμεθα· εἰ δὲ καὶ γεωργίαν ταῦτα θησόμεθα, οὐ περὶ τοῦτο ἀργίαν αὐτῆς καταψηφίζεσθαι δίκαιον, οὐδὲ γάρ τις τοῦ βαδίζειν ἐπαύσατο καὶ ἀκίνητος πάντη μένειν ἠγάπησεν, ὅτι βαδίζων προσέπταισε, καὶ τὸν ὀφθαλμὸν ἢ τὴν χεῖρα τυχὸν ἐξέκοπτεν· οὐδέ τις ἀτροφίαν πᾶσαν στέργει καὶ ἄσιτος πάντη κάθηται, ὅτι τινὰ ἐσθίοντα ψιχὸς παρεμπεσούσης ἀπελθεῖν ἔγνωκεν· οὐ γὰρ ὅτι τοῖς πράγμασι δυσχερῆ τινα πρόσεστι, διὰ τοῦτ' ἀποστατέον [2] αὐτῶν, ἀλλὰ μᾶλλον ὅτι χρήσιμα ἀνθεκτέον ἐκείνων, τῶν ἐπισυμβαινόντων αὐτοῖς δυσχερῶν ὀλίγα φροντίζοντας· εἰ δὲ πᾶσι μὲν πράγμασι δυσχερῆ τινα πρόσεστι, πάντα δὲ πράττομεν ἄνθρωποι πρὸς μὲν τὸ χρήσιμον ἐκείνων ὁρῶντες· περὶ δὲ τοῦ τέλους αὐτῶν τὰς ἐλπίδας χρηστὰς τρέφοντες, τοσούτῳ γεωργίας μάλιστα πλέον πάντων ἀντιληπτέον ἐστὶν, ὅσῳ καὶ πάντων λυσιτελέστατον πέφυκε. Ναί φησιν, ἀλλὰ τοὺς πλουσίους πένητας ἡ γεωργία ἐργάζεται. Ἀφορίας ταῦτα τἀπίχειρα, καὶ καιροῦ οὐ γεωργίας τὰ συναντήματα· σὺ δ' ἔοικας κατηγορεῖν γεωργίας, ὅτι μὴ καὶ καιρῶν αὐτῶν βασιλεύει, καὶ τὰ ἄστατα φύσει ὅτι οὐκ ἐπὶ τοῖς αὐτοῖς μένειν παρασκευάζειν δεδύνηται· ἔα τοὺς καιροὺς ἐκτρέπεσθαι καὶ μεταβάλλειν συχνὰ, ὅτι τοῦτο φύσις αὐτοῖς, μὴ ζήτει παρὰ γεωρ-

2 Cod. ἀποστέον.

Digitized by Google

γίας, ἃ τῆς γεωργίας ἀφέστηκε, μὴ ἄλλα διάβαλλε δι' ἀλλότρια πταίσματα, καὶ καιρῶν τὴν πενίαν προξενούντων, γεωργία μὴ κακιζέσθω σοι ὡς τοὺς μετέρχομένους δῆθεν ἐκτρίβουσα, οὐ μὴν, ἀλλὰ καὶ πλοῦτον μᾶλλον οἶδεν ἡ γεωργία οὐ πενίαν χαρίζεσθαι· καιρῶν γὰρ προελθόντων ἐπηρείαις ἀνταγωνίζεται, καὶ ἅπερ καιροῦ ἀταξία καὶ ὕβρις διελυμήνατο, ταῦτα γεωργία ἐπανεσώσατο, τοῖς ἑαυτῆς φαρμάκοις ἐξιωμένη, οὓς ἡ τῶν στοιχείων ἀνωμαλία τραυματίας ἀπέδειξε· πῶς οὖν πενίας ἐργάτης, ἢ πενίας ὀλετὴρ πέφυκεν; εἰ δὲ πενίας ἡ γεωργία φθορεύς, πλούτου δηλαδὴ πρόξενος. Ναί φησιν, ἀλλ' ἐργώδες τὸ πρᾶγμα, ἐργῶδες, καὶ ποίας ἀποδημίας στέλλεσθαι προξενεῖ, ἢ πόσας χώρας καὶ λιμένας μεταμείβειν ἀναγκάζει ἡ γεωργία; οὐκ ἔνθα οἰκεῖς, ἐκεῖ σοι καὶ ταύτην ἐργάζεσθαι πρόκειται; ὅπου γὰρ ἐνδιαιτᾷ γῆ· ἔνθα δὲ γῆ, γεωργεῖν ἔξεστι· τί δὲ; ἀποδημεῖς μὲν οὐδαμῶς, πονεῖς δὲ περὶ τὴν ἐργασίαν αὐτῆς, καὶ μὴν βοῦς μὲν τὸν αὐτῇ προσόντα πόνον ὑφίσταται, σὺ δ' οὐδὲν ἢ τοὺς καρποὺς συγκομίζῃ· καὶ νεφέλαι μὲν ἄρδουσι, σὺ δὲ τὰς ἀποθήκας πληροῖς, καὶ ἥλιος καὶ ἀὴρ ἅμα γῆν συνεκτρέφουσι, σὺ δ' ἀπολαύεις αὐτῶν· ὥστε οὐκ ἐργῶδες, ὃ μηδὲ ὅτι γε πόλεμον οὐδένα σοι προξενει, ἀλλὰ καὶ μετὰ ῥᾳστώνης ὅτι πολλῆς πάντ' ἀγαθὰ δίδωσιν· εἰ δ' ἔτι φιλονεικεῖς, ὡς ἐργῶδες ἡ γεωργία, χάρις σοι τοῦ ὑπερφυοῦς ἐγκωμίου, ὅπερ πλέκων νῦν αὐτὴν ἀναδεῖς, εἰ γὰρ τἀγαθὰ πάντα πόνῳ προσγίνεσθαι σαφῶς μεμαρτύρηται, καὶ ἰδρώτων ἄνευ τῶν χρηστῶν οὐδὲν ἀναφαίνεσθαι πᾶσιν ἀνωμολόγηται, πῶς πόνοις σὺ τὴν γεωργίαν κατορθοῦσθαι λέγων οὐκ ἐναβγέστατα βεβαιοῖς, ὅτι τῶν χρηστῶν ἓν καὶ αὐτὴ πέφυκεν· ὥστε δι' ὧν πειρᾷ διαβάλλειν τὴν γεωργίαν, δι' αὐτῶν ἐπαίρων ταύτην σαυτὸν λανθάνεις· καὶ οἷς προτείνεις ἐπαινέτης ταύτης ἀντὶ κατηγόρου γινόμενος

Digitized by Google

οὐκ αἰσθάνῃ· εἰ μὲν οὖν ἐπαινέσων μὲν γεωργίαν, συνηγορήσων δ' ἐμοὶ, ἄνθρωπε, νῦν ἀνέστης, τί σχῆμα ἀνέβαλες ἀντιλέγοντος, καὶ πρόσωπον κατηγοροῦντος ὑπέδυς, καὶ οὐ ταῦτα μεταβαλὼν, καὶ τὴν σκηνὴν ῥίψας, καθαρῶς συνεπαινεῖς μοι τὴν γεωργίαν, οὐδέσιν ἄλλοις ἢ τούτοις αὐτοῖς, ἃ προτείνεις νῦν, χρώμενος· εἰ δὲ τοὐναντίον κατηγορήσων μὲν αὐτῆς, ἐμοὶ δ' ἀντερῶν, ἕτερα προβαλοῦ, ἃ νῦν ἀνθυποφέρεις παρεὶς, ὡς οὐ ψόγους, ἀλλὰ μεγίστους ἐπαίνους γεωργίας τυγχάνοντα, καὶ εἰκότως αὐτὴν ἐπαινεῖς, ἐπαινετὸν γὰρ γεώργια καὶ λυσιτελέστατον, ὡς οὐδὲν ἕτερον· τοῦ κρείττονος πρόσταγμα γὰρ, καὶ πρῶτον ἔργον ἀνθρώπῳ, καὶ ἀρετὰς πάσας παράγουσα, καὶ πλοῦτον διδοῦσα, καὶ τοῖς ψέγειν αὐτὴν πειρωμένοις, μὴ ὅτι γε χάραν οὐδεμίαν ἐῶσα, ἀλλὰ καὶ ὅσων ἐπαίνων παρ' ἐκείνων τυγχάνουσα· διά τοι τοῦτο καὶ ἀντιληπτέον πάσης γεωργίας ἐστίν.

Digitized by Google

Digitized by Google

Digitized by Google

UNIVERSITY OF MICHIGAN
3 9015 06292 4454

DO NOT CIRCULATE

DO NOT CIRCULATE

Digitized by Google



Digitized by Google